Digitized by the Internet Archive
in 2011 with funding from
University of Toronto

http://www.archive.org/details/platonisphilosop10plat

Rev. H. Carr C S B.

St Michaels College

Toronto

Ont.

ΠΛΑΤΩΝ

PLATONIS PHILOSOPHI
QUAE EXSTANT

GRAECE AD EDITIONEM HENRICI STEPHANI
ACCURATE EXPRESSA
CUM MARSILII FICINI INTERPRETATIONE
ACCEDIT VARIETAS LECTIONIS
STUDIIS SOCIETATIS BIPONTINAE



VOLUMEN DECIMUM

BIPONTI
Ex Typographia Societatis
CIↃIↃCCLXXXVII

4961

JUN 18 1973

CONTINUATIO
NOTITIAE LITERARIAE
Io. Alb. Fabricii
auctioris
DE SINGULIS LIBRIS PLATONIS.

I. ΚΡΙΤΙΑΣ, ἢ Ἀτλαντικὸς, ἠθικός. Appendix veluti Timaei, diligentius perſequens narrationem de *Atlantide inſula*, cuius in Timaeo facta fuerat mentio. Per hanc Atlantidem *Olaus Rudbeckius* T. I Atlanticae c. 7. *Sueoniam* intelligit argumentis variis & nonnulla ſpecie lectori blandientibus auctoriſque ſignificantibus ingenium. At plerique alii *Americam* innui a Platone exiſtimant, quam ſententiam propugnavit Ianus *Bircherodius* in ſched. de orbe novo non novo. Altdorf. 1683.

Neque, ſi fabulae ſemper aliquid veri habentes a fabuloſis diſcernantur, (qualia illa de Meropide terra Aeliano H. V. III, 18, & Apollodoro ap. Strabonem p. 207 ed. Caſaub. videntur) Iac. *Perizonius* ad Aelianum, & qui ei aſſurgit Chriſtoph. *Cellarius* in additamento ad vol. II Notitiae O. A. valde ab ea opinione abſunt, *quod veteres quaſi per nebulam de America partim ex antiqua traditione ab Aegyptiis vel Carthaginienſibus acceperint, partim ex ratiocina-*

tione de forma & ſitu orbis terrarum aliquid collegerint, ſupereſſe in hoc orbe etiam alias terras, praeter Aſiam, Africam & Europam; cf. Ariſtot. de mundo c. 3.

Exſtat & G. C. *Kirchmaieri* Exerc. de Platonis Atlantide Witeb. 1685, qui putat a Platone reſpici tractus extremos verſus auſtrum atque occidentem. Mittimus aliorum de Atlantide errores. Submerſam iam pridem terrae motu Atlantidem ſuam Plato haud uno loco diſerte teſtatur; itaque operam & oleum forte perdunt, qui eam quaerunt in terris hodie exſtantibus; niſi tota ſit fabuloſa narratio, ac de induſtria conficta vel ab Aegyptiis ſacerdotibus, quod viſum Mallinkroto p. 95 Paralipom. de Hiſt. graecis: vel a Platone ipſo vel Solone; quod tamen non credibile, etſi bella, quae ante 9000 annos ab Atlanticis geſta Plato ſcribit, fabulis accenſenda ſunt. (Clar. Tiedemannus certe in Argumento huius dial. cuncta ab auctore ficta exiſtimat; atque totum dial. inter fabulas Romanenſes eaſque politicas refert.) Non abſolutum eſſe hunc dialogum, ſed a Platone morte praevento imperfectum relictum dolet *Plutarchus* in vita Solonis. Similiter Solon, cum λόγον ἀτλαντικὸν carmine Graecis explicare conſtituiſſet, ſive quod aliud deinde maluit agere, ſive prae ſenio, & operis deterritus magnitudine, id facere omiſit.

II. ΠΑΡΜΕΝΙΔΗΣ, ἢ περὶ ἰδεῶν, λογικός. Subtilis diſſertatio *de Ideis & eſſentia rerum intelligibili.* Fingit Parmenidem cum Socrate confabulantem, licet hoc temporum rationi adverſari notavit *Athenaeus* L. XI, p. 505, & *Macrobius* L. I, c. 1 Saturnal.

Exſtat *Procli* Commentarius MS. Aſclepiodoto inſcriptus; & *Damaſcii*, teſte Geſnero in Bibl. & Labbeo in Bibl. nova MSS. ſed *Marini* periit, & *Firmi* Caſtricii quoque ac *Galeni*, ut e Damaſcio in vita Iſidori ap. Photium p. 571 ed. Hoeſchel. colligo. Sane *Galenus* ſcripſerat libros III πρὸς τοὺς ἑτερῶς ἢ Πλάτων περὶ ἰδεῶν δόξαντας,

ut ipſe teſtatur de libris propriis T. IV, p. 368. Ceterum fallitur Menagius ad Laërt. III, 58 affirmans, Marinum putaſſe hunc dialogum inſcribendum περὶ Θεῶν, non περὶ εἰδῶν. Potius ſenſus eſt, Marinum adverſus Procli ſententiam contendiſſe, quod Platonis Parmenides non ſit interpretandus περὶ Θεῶν, ſed περὶ εἰδῶν. Ita Suidas & Photius. *Scipionis Agnelli* diſceptationes de Ideis, in tres libros diſtributae viderunt lucem Venetiis 1615, 4. Conſule etiam, ſi placet, quae de Ideis ex Platonis mente diſputat *Seneca* Epiſt. 58 & 65.

Graece prodiit „Parmenides ſ. de Ideis, & uno rerum omnium principio, Platonis dialogus cum verſione Ficini, ſtudio Io. Guil. *Thomſon*, Oxonii 1728, 8.“ Ipſe quidem editor in Graeco textu multa ſe emendaſſe profitetur, partim ingenio ſuo, partim Procli commentario uſus.

Ad exemplar Stephanianum clar. Io. Frid. *Fiſcherus* edidit *Parmenidem* inter dialogos tres Lipſ. 1774, 8 abſque verſione, ſed cum animadv. crit. ſed is non viderat Thomſoni curas. Quare Marc. Guil. *Müller*, Ionis editor, etiam Parmenidem denuo curaturus erat, ſed morte immatura d. XXV Oct. 1785 praeventus eſt. *Italice* vertit & illuſtravit Parmenidem Platonicum cum diſſ. praelim. Antonius *Contius* Abbas, patricius Venetus 1748, 4; ſed eum aeque ut Serranum, quod ad intelligentiam dialogi attinet, correxit philoſophus Patavinus doctior Iac. *Stellini*, in expoſitione breviori Parmenidis, in Opp. variorum T. V. 1783 edito. Facile his caremus, poſt ea quae doctiſſimus Diet. *Tiedemannus* in nova Bibl. philol. & crit. Goetting. Vol. I faſc. II p. 246 ſq. & in Argumentis Platonis p. 339 - 356 ſubtilius veriuſque diſputavit.

III. ΣΥΜΠΟΣΙΟΝ, ἢ περὶ ἔρωτος, ἠθικός. *Convivium* ſive *de amore*. Ita vulgo hic dialogus inſcribitur, tum in editionibus, tum apud Laërtium, licet verum titulum Platonici Sympoſii eſſe περὶ ἀγαθοῦ, *de bono*, contendit

* *

B
353
1781

Lambecius lib. IV de Bibl. Vindob. p. 2. Sane *de amore* tota eſt diſputatio, quod per ſe nec bonus ſit, nec malus, optimus autem in bona ac divina unice feratur. *Philo* quidem Iudaeus, alias Platonis ſtudioſiſſimus, de vita contempl. Opp. p. 898 ob hoc Sympoſium, quod impendi monet amori, non illi, quo viri in mulieres inſaniunt, aut hae in viros, ſed quo viri in maſculos aetate minores, convicium amoris maſculi in Platonem recte coniici exiſtimat. Vix vero videatur ſobrius maxime caſtuſque adeo philoſophus in hac re peccaſſe. Itaque alii, ut *Bruckerus*, putant eum peius ſcripſiſſe, quam vixiſſe, (cf. Seneca de vita beata c. 18) moremque Athenienſium libidine iſta inſanientium ad amorem honeſtum traducere voluiſſe. Quod quidem ſignificare videtur Cicero, qui Platonis caſtitatem non minus, quam philoſophiam imitatus, putat tamen, *amoris* vocabulum redolere *levitatem;* itaque ait Tuſc. IV, c. 34: *Philoſophi ſunt exorti (& auctore quidem noſtro Platone, quem non iniuria Dicaearchus accuſat) qui amori auctoritatem tribuerent. Stoici vero & ſapientem amaturum eſſe dicunt: & amorem ipſum conatum amicitiae faciundae ex pulchritudinis ſpecie definiunt. qui ſi quis eſt in rerum natura ſine ſollicitudine, ſine deſiderio, ſine cura, ſine ſuſpicione, ſit ſane. vacat enim omni libidine. haec autem de libidine oratio eſt.* Neque *Nepos* in Alcibiade II, 2 alium amorem, quam caſtum & honeſtum amicitiae ſignificare videtur, quo magiſtri virtutis complexi ſint adoleſcentulos; qualis fuerit cura paterna in filios. Ita ille de Alcib. *Ineunte adoleſcentia amatus eſt a multis more Graecorum: in eis a Socrate, de quo mentionem facit Plato in Sympoſio. namque eum induxit commemorantem, ſe pernoctaſſe cum Socrate, neque aliter ab eo ſurrexiſſe, ac filius a parente debuerit.* cf. *Gellium* XVII, c. 20; ibique locum de *honeſto amore* ex Sympoſio latine redditum. *Athenaeus* L. I Dipnoſoph. obſervavit numerum convivarum XXIII. Plures anachroniſmos in convivio Platonis notavit Ariſtides Orat. II Platonica T. III p. 475 ſq. & Athenaeus V, p. 187, 192, 216 ſq. cf. Caſaubonum ad Athen.

V, 18. Ariſtophanem in eo comice ſugillatum, atque adeo ſui in Comoedia profectus ſpecimen editum a Platone, tradit *Olympiodorus* in vita ipſius. *Diophanis* defenſio pro Alcibiade in Platonis ſympoſio memoratur a Porphyrio in Plotini vita c. 15. Ceterum apud antiquos vulgati moris fuiſſe in conviviis eruditas ventilare quaeſtiones, antequam pſaltriarum, citharistriarum & ſaltatricum uſus in illis obtineret, notatum poſt alios Apoſtolio VIII, 3 proverb.

Graece Sympoſium cum Philebo e rec. H. Stephani & cum animadv. criticis recudendum curavit clar. Io. Frid. *Fiſcher* Lipſ. 1779, 8.

Latine poſt Ficinum, & ante Serranum ſapientius vertit Ianus *Cornarius*, verſumque edidit Platonis Sympoſium cum illo Xenophontis Baſil. 1548, 8. (Sed poſt fata eius filius an. 1561 totum Platonem Cornarii latinum cum eclogis publicavit;) cf. praef. noſtram vol. I, p. LXXXVIII ſq.

Gallice, additis etiam Commentariis, Ludovicus *Regius* (le Roy) Pariſ. 1559, 4; & priora capita Sympoſii pulchre vertit Io. *Racine*, quae in eius operum Pariſ. 1768, 8 ſub finem T. V leguntur. Racinius hanc opellam ſuſceperat in gratiam feminae humanitatis antiquae ſtudio aeque ut natalium ſplendore illuſtris Mariae Magdalenae de Rochechouart, filiae Gabrielis Rochechouartii Ducis de Mortemar; quae ipſa dein verſionem a Racinio inchoatam ad finem cap. XXIX uſque pari felicitate perduxit. Itaque *Racinio - Rochechouartiana* haec verſio inſerta legitur in Bibl. veterum philoſ. Gallice ſcripta, quae Pariſiis prodiit 1771, 8, T. V, p. 519.

Anglice Floyer *Sydenhamus*, qui & textum notis criticis & ipſas res egregie, quamvis fuſe, illuſtravit Londini 1761, dein cum Synopſi Platonis, Ione & Hippia utroque 1767, I vol. dial. Platonis inſcripſit; cf. praef. noſtram vol. III, p. 4.

Ficini, *Stephani*, *Cornarii*, *Bembi*, Italici interpretis, eorumque, qui Gallice reddiderunt, & maxime qui Anglice tranſtulit Sydenhami curis tanquam ſubſidiis uſus vir ele-

* * *

ganter doctus, Frid. Aug. *Wolf*, Prof. hodie Halenſis, novam Stephaniani textus editionem (in eo tamen nimium correctam, quod conſuetam lectionem ad dialectum Atticam revocaverit) cum notis pulchre ad ſapientiae & Graecitatis ſtudium rurſus excitandum facientibus, ſed in pudorem ſeculi, quo iuvenes ſic dicti ſtudioſi, etiam a Latii ſtudiis male feriantur, germanice ſcriptis, publicavit hoc tit. Πλατωνος Συμποσιον. Platons Gaſtmahl ein Dialog. hin und wieder verbeſſert, und mit kritiſchen und erklärenden Anmerkungen herausgegeben von F. A. Wolf. Leipzig — 1782, 8. In Praef. auctor ſubſidia, quibus quomodo uſus ſit, ſignificavit; ſed & introductiones duas praemiſit, alteram quae ad hiſtoriam remque literariam dialogi, eiuſdem conſilium, & rationem, collocutores, tempuſque pertinentia exponit, alteram quae argumentum dialogi explicat tanquam epitome. In qua conficienda ipſi praeiverant clar. *Meiners* in vermiſchten philoſ. Schriften T. I, p. 90, & Cenſor edit. Fiſcherianae in Bibl. crit. P. I, p. 35. Nemo autem hodie poſt doct. Tiedemanni ſcriptionem deſiderat quidquam ad dialogi intelligentiam.

Denique ſub idem tempus Germanice reddidit totum dialogum probatior interpres I. G. *Schulteſs*, Turici 1782, 8 mai.

Io. Pici Mirandulani in Platonis convivium ſive potius in *Hieron. Benivieni* hymnum de amore ad mentem Platonis compoſitum libri tres hetruſca lingua ſcripti leguntur in Pici Operibus, quos a *Stanleio* Anglice verſos *Olearius* latine reddidit in Hiſt. Philoſ. p. 357 - 380.

IV. ΦΑΙΔΡΟΣ, ἢ περὶ τοῦ καλοῦ, ἠθικός. *De pulchro falſo ac vero, eiuſque amore* contra Lyſiam. Cuius Cicero meminit de Orat. I, c. 7, Tuſcul. I, c. 23, Divin. I, c. 37, in Oratore c. 4, 12 & 13, ubi extrema verba Socratis in Phaedro loquentis latine exprimit, & de opt. gen. Or. c. 5, f. 17. Laërtius L. III, 25, ſect. 38 ex Ariſtoxeno refert, hunc primum fuiſſe ex iis, quos Plato ſcri-

pſit; habere enim quaeſtionem in illo propoſitam nonnihil μειρακιῶδες, ſive iuvenile. Eodem in loco *Dicaearchus* dicitur ſcribendi characterem in hoc dialogo, ὡς φορτικὸν ſive vehementiorem reprehendiſſe, ſiquidem, ut *Olympiodorus* auctor eſt, totus ſpirat dithyrambum. Ita enim in Platonis vita: Ὅτι τοὺς διθυράμβους ὁ Πλάτων ἤσκετο, δῆλον ἐκ τοῦ Φαίδρου τοῦ διαλόγου πάνυ πνέοντος τοῦ διθυραμβώδους χαρακτῆρος, ἅτε τοῦ Πλάτωνος τοῦτον πρῶτον γράψαντος διάλογον, ὡς λέγεται. Facilius eius rei veniam impetraverit Plato, ſi iuvenis ſcripſerit Phaedrum, ut dialogorum primum. Nonnullas etiam deſcriptiones, nimirum Iliſſi, viticiſque & graminei ſtrati, ut alienas & ſupervacuas taxat *Plutarchus* in Erotico. Utrum Dicaearchus librum ſcripſerit Φαίδρου περισσὰ, in quo ſuperflua & φορτικὰ Phaedri notaverit Platonici, ut coniiciebat Simeo *Boſius* ad Ciceronis XIII, 39 ad Atticum, & Menagius p. 152 ad Laërtium, valde incertum eſſe arbitror: & *Reineſius* III, 3 var. Lectt. putavit, reſpici Phaedri Epicurei, qui apud eundem Cic. memoratur (ad Div. XIII, 1; Philipp. V, 5; de Fin. V, c. 1 extr. de Legg. I, c. 20) librum περὶ Θεῶν, quae lectio ante Boſium uſitata fuit; cf. Notas Variorum ad Cic. XIII, 39 ad Att. Porro Athenaeo iudice L. XI, p. 505 Phaedrus Socratis aetate vivus eſſe non potuit, nedum ab illo amari; ſed eiuſmodi anachroniſmos iam plures in Platone obſervatos adnotavimus. Alii quaedam in Phaedro minus caſte ac pudice dicta, carpere non dubitarunt, e quibus illuſtris *Nicolſonus* in collatione cum Deiſta, Anglice edita P. II, p. 40: *A man finds there* (*in the Phaedrus of Platon*) *ſo much of the* ἐρῶν *and the* ἐρώμενος, *with ſuch odd alluſions tho that execrable vice, that one had need of a very vertuous thougths and a very charitable mind to allegorize all the ſtrange metaphors of that diſcourſe into a chaſt meaning.* Phaedri amores Platoni obiectos notat etiam Laërtius III, 29 & 31.

Procli Commentarius in Phaedrum, cuius meminit L.

V in Timaeum p. 329 intercidit. *Hermiae* ſive *Hermeae Ammonii* Commentariorum libri III MSti exſtant in variis Bibliothecis, ut in Vindobonenſi Caeſarea, Medicea. Locum ex iliis profert *Allatius* c. 8 vitae Homeri & alibi. Rhetorica praecepta & de Rhetoribus antiquis iudicium ex Phaedro Platonis excerpſit & latine retulit *Beſſarion* Lib. I in calumniatorem Platonis c. 4. Platonicam de amore honeſto doctrinam illuſtrat praeter alios *Leo Hebraeus* tribus dialogis in T. I ſcriptt. artis Cabbal. ex bibliotheca Io. Piſtorii Baſil. 1587, fol. qui ex Italico in alias quoque linguas translati leguntur, ut latinam, tum Gallicam a Dionyſio Silveſtro 1551, 8 &c. Denique rectius videas explicatam huius dialogi rationem & ſententiam in Argg. Platonis Tiedemanniani.

ΤΙΜΑΙΩ ΤΩ ΛΟΚΡΩ

ΠΕΡΙ ΨΥΧΑΣ ΚΟΣΜΩ

ΚΑΙ ΦΥΣΙΟΣ

ΤΙΜΑΙΩ ΤΩ ΛΟΚΡΩ

ΠΕΡΙ ΨΥΧΑΣ ΚΟΣΜΩ

ΚΑΙ ΦΥΣΙΟΣ.

TIMAEI LOCRI

DE ANIMA MUNDI

id eſt natura.

ARGUMENTUM.

Hoc libello Ficini carent exemplaria. Fuit autem hic Timaeus Locrus, Pythagoreus philoſophus, purioris philoſophiae, ut apparet, peritiſſimus: ut non immerito eum quaſi archetypum in phyſicis rebus explicandis ſibi propoſuerit Plato. Quo tempore vixerit, dubitatur. quidam Platone antiquiorem, quidam ei σύγχρονον fuiſſe arbitrantur.

ΤΙΜΑΙΟΣ ὁ Λοκρὸς τάδε ἔφα· δύο αἰτίας εἶμεν τῶν συμπάντων· νόον μὲν, τῶν κατὰ λόγον γιγνομένων· ἀνάγκαν δὲ, τῶν βίᾳ καττὰς δυνάμεις τῶν σωμάτων. του- p. 93 a.

TIMAEUS Locrus haec dixit: Duas eſſe rerum omnium cauſas: Mentem quidem, earum, quae ratione quadam naſcuntur, & Neceſſitatem, earum, quae exſiſtunt vi quadam, ſecundum corporum potentias & facultates. Harum rerum,

τέων δὲ, τὸν μὲν, τᾶς τἀγαθῶ Φύσιος εἶμεν, θεόν τε ὀνομαίνεσθαι, ἀρχάν τε τῶν ἀρίστων· τὰ δ' ἐπόμενά τε καὶ συναίτια, εἰς ἀνάγκαν ἀνάγεσθαι. τὰ δὲ ξύμπαντα, ἰδέαν,
b. ὕλαν, αἰσθητόν τε, οἷον ἔκγονον τουτέων. καὶ τὸ μὲν, εἶμεν ἀγένατόν τε καὶ ἀκίνατον, καὶ μένον τε, καὶ τᾶς ταυτῶ Φύσιος, νοατόν τε καὶ παράδειγμα τῶν γεννωμένων,
p. ὁκόσα ἐν μεταβολᾷ ἐντί. τοιοῦτον γάρ τι τὰν ἰδέαν λέγε-
94 σθαί τε καὶ νοεῖσθαι. τὰν δ' ὕλαν, ἐκμαγεῖον καὶ μητέρα,
a. τιθάναν τε καὶ γενναtικὰν εἶμεν τᾶς τρίτας οὐσίας. δεξαμέναν γὰρ τὰ ὁμοιώματα εἰς ἑαυτὰν, καὶ οἷον ἀναμαξαμέναν, ἀποτελεῖν πάντα τὰ γεννάματα. ταύταν δὲ ταν ὕλαν ἀΐδιον μὲν ἔφα, οὐ μὰν ἀκίνατον· ἄμορφον δὲ καθ' αὑτὰν καὶ ἀσχημάτιστον, δεχομέναν δὲ πᾶσαν μορφάν. τὰν δὲ περὶ τὰ σώματα, μεριστὰν εἶμεν, καὶ τᾶς θατέρω φυσιος.
b. ποταγορεύοντι δὲ τὰν ὕλαν, τόπον καὶ χώραν. δύο ὧν αἰδε

id est, Naturae bonorum, optimum esse quoddam rerum optimarum principium, & Deum vocari: ea vero, quae consequuntur, & tanquam adiuvantes causae accedunt, ad Necessitatem reduci. omnia enim esse Ideam, Materiam, Sensile, veluti illarum foetum. & hanc quidem esse ingenitam & immobilem. Esse praeterea in hac naturae universitate quiddam, quod maneat, & intelligibile sit, rerum genitarum, quae quidem in perpetuo quodam mutationum fluxu versantur, exemplar. huiusmodi nimirum in his rerum singularum vicissitudinibus constans & perpetuum exemplar Ideam dici, & mente comprehendi. Materiam autem esse expressum rerum simulacrum, & matrem & nutricem, & ad generationem tertiae essentiae aptam. cum enim effigies rerum in sese susceperit, & veluti impresserit, hos foetus producere. Hanc vero Materiam aiebat esse sempiternam, nec vero mobilem: & ab omni forma & figura per se immunem & liberam, quaslibet tamen formas recipientem. circa vero corpora dividuam esse, & alterius naturae participem. Appellant autem Materiam, Locum & Sedem. Duo

ἀρχαὶ ἐναντίαι. ἂν τὸ μὲν εἶδος λόγον ἔχει ἄῤῥενός τε καὶ πατρός· ἡ δ' ὕλα, θήλεός τε καὶ μητέρος. τρίτα δὲ εἶναι, τὰ ἐκ τούτων ἔκγονα. τρια δὲ ὄντα, τρισὶ γνωριζεσθαι· τὰν μὲν ἰδέαν, νόῳ κατ' ἐπιστάμαν· τὰν δ' ὑλαν, λογισμῷ νόθῳ· τῷ μήπω κατ' εὐθυωρίαν νοεισθαι, ἀλλὰ κατ' ἀναλογίαν. τὰ δ' ἀπογεννάματα, αἰσθήσει καὶ δόξᾳ. πριν ὧν ὠρανὸν γενέσθαι, λόγῳ ἦσαν ἰδέα τε καὶ ὕλα, καὶ ὁ θεὸς δαμιουργὸς τῶ c.
βελτίονος. ἐπεὶ δὲ τὸ πρεσβύτερον κάῤῥον ἐστὶ τῷ νεωτέρῳ, καὶ τὸ τεταγμένον πρὸ τῶ ἀτάκτω, ἀγαθὸς ὢν ὁ θεὸς, ὁρῶν τε τὰν ὕλαν δεχομέναν τὰν ἰδέαν καὶ ἀλλοιουμέναν, παντοίως μὲν, ἀτάκτως δὲ, ἐδειτ' εἰς τάξιν αὐτὰν ἄγεν, καὶ ἐξ ἀοριστων μεταβολᾶν, εἰς ὡρισμέναν καταξᾶσαι· ἵν' ὁμόλογοι ταὶ διακρισιες τῶν σωμάτων γίγνοιντο, καὶ μὴ κατ' αὐτόματον τροπὰς δέχοιντο. ἐποιησεν ὧν τόνδε τὸν κόσμον ἐξ ἁπάσας τᾶς ὕλας, ὅρον αὐτὸν κατασκευάξας τᾶς τῶ d.

haec igitur ſunt contraria principia. Idea quidem, [id eſt, Forma] rationem habet maris & patris: Materia autem, feminae & matris: tertiam vero eſſe eſſentiam, ea, quae ex his, ut foetus, naſcuntur. Cum haec tria ſint, tribus quoque modis cognoſci: Formam quidem, mente & ſcientia: Materiam, adulterina quadam ratiocinatione, (quod videlicet non recta quadam & aequa rei animadverſione, ſed ex proportione quadam & collatione intelligatur:) Foetus vero, qui ex illis naſcuntur, ſenſu & opinione. Antequam igitur Coelum exſtaret, ratione erant Forma & Materia, & quidem Deus ille erat melioris opifex. Quandoquidem igitur antiquius iuniore praeſtantius eſt, & id quod ordinatum eſt inordinato: Deus, cum nimirum bonus ſit, & videret, Materiam recipere formam, & alterari, varie quidem, ſed tamen inordinate; vidit quoque opus eſſe, ut eam ipſe in ordinem reduceret, & ex indefinitis mutationibus ad certam definitamque conſtitueret, ut corporum diſtinctiones mutua ratione inter ſe reſponderent, neque temere viciſſitudines ultro citroque reciperent. Hunc igitur mundum ex omni

ὄντος φύσιος, διὰ τὸ πάντα τἄλλα ἐν αὐτῷ περιέχεν, ἐνα,
μονογενῆ, τέλειον, ἔμψυχόν τε καὶ λογικόν· (κρέσσονα γὰρ
τάδε ἀψύχω καὶ ἀλόγω ἐξόν) καὶ σφαιροειδὲς σῶμα· τελειό-
τερον γὰρ τῶν ἄλλων σχημάτων ἦν τοῦτο. δηλούμενος ὢν
ἄριστον γέννημα ποιεῖν, τοῦτον ἐποίει θεὸν γενητόν, οὔποκα
φθαρησόμενον ὑπ' ἄλλω αἰτίω, ἔξω τῶ αὐτὸν συντεταγ-
e. μένω θεῶ, εἴποκα δήλετο αὐτὸν διαλύειν. ἀλλ' οὐ γὰρ τἀγα-
θῶ ἐσιν ὁρμᾶν ἐπὶ φθορὰν γεννάματος καλλίσω. διαμένει
ἄρα, τοιόσδε ὢν, ἄφθαρτος καὶ ἀνώλεθρος καὶ μακάριος.
κράτισος δ' ἐσι γενητῶν, ἐπεὶ ὑπὸ τῶ κρατίσω αἰτίω ἐγένε-
το, ἀφορῶντος οὐκ εἰς χειρόκμητα παραδείγματα, ἀλλ' εἰς
τὰν ἰδέαν καὶ ἐς τὰν νοατὰν οὐσίαν· πόθ' ἅνπερ τὸ γεννώ-
p. μενον ἀπακριβωθὲν, κάλλισόν τε καὶ ἀπαρεγχείρητον γί-
95 γνεται. τέλειος δ' ἀεὶ κατὰ τὰ αἰσθητά ἐσιν, ὅτι καὶ τὸ
a.

materia creavit Deus, univerſique naturam terminum ipſum circumſcripſit atque definiit : quod videlicet omnia alia in ſe ipſo complectatur, quippe quod unum ſit unigenitum, perfectum, anima & ratione praeditum, (ſic enim melius erat futurum, quam illud, quod animae & rationis eſt expers) globoſo corpore. (haec enim figura omnibus figuris perfectior eſt.) Cum igitur Deus vellet pulcherrimum foetum producere, hunc effecit Deum genitum, nunquam corrumpendum ab alia cauſa, praeterquam a Deo, qui ipſum compoſuit, ſi quando voluerit ipſum diſſolvere. At non eſt boni genitoris, ad ſui foetus, & pulcherrimi quidem illius, perniciem impelli. Permanet igitur mundus conſtanter talis, qualis eſt creatus a Deo, ab omni corruptione liber & interitu, beatus, optimus rerum omnium genitarum : quandoquidem ab optima cauſa exſtitit, proponente ſibi non exemplaria quaedam manuum opificio edita, ſed illam ideam intelligibilemque eſſentiam : ad quam videlicet cum res ipſae exquiſita quadam ratione effectae fuerint, pulcherrimae exſtiterunt, & huiuſmodi, ut nova quadam opera emendari minime debeant. Perfectus vero ſemper eſt mundus,

παράδειγμα τῆνο αὐτοῦ περιέχον πάντα τὰ νοατὰ ζῶα ἐν
αὐτῷ, οὐδὲν ἐκτὸς ἀπέλιπεν ἄλλο, ὅρος ὢν νοατῶν παντε-
λὴς, ὡς ὅδε ὁ κόσμος αἰσθητῶν. ςερεὸς δὲ ὢν, ἁπτός τε καὶ
ὁρατὸς, γᾶς μεμόρακται, πυρός τε καὶ τῶν μεταξὺ ἀέρος
καὶ ὕδατος. ἐκ παντελέων δὲ συνέςακε σωμάτων, τάπερ ὅλα
ἐν αὐτῷ ἐντὶ, ὡς μή ποκα μέρος ἀπολειφθῆμεν ἐκτὸς αὐτῶ· b.
ἵνα ᾖ αὐταρκέςατον τὸ τῶ παντὸς σῶμα, ακήρατον τῶν ἐκ-
τὸς κηρῶν. οὐ γὰρ ἦν δίχα τουτέων ἄλλα, καὶ τῶν ἐντός.
τὰ γὰρ καττὰν ἀρίςαν ἀναλογίαν συντεθέντα ἐν ἰσοδυνα-
μίᾳ, οὔτε κρατεῖ ἀλλήλων ἐκ μέρεος, οὔτε κρατέεται· ὡς τὰ
μὲν, αὔξαν, τὰ δὲ φθίσιν λαμβάνεν· μένει δ' ἐν συναρμογᾷ
ἀδιαλύτῳ κατὰ λόγον ἄριςον. τριῶν γὰρ ὠντινωνοῦν ὁρων
ὅταν καὶ τὰ διαςάματα καττὸν αὐτὸν ἐςάθη λόγον ποτ' c.
ἄλλαλα, τότε δὴ τὸ μέσον ῥυσμῶ δικαν ὁρήμεθα ποττὸ πρᾶ-

rerum ſenſilium comparatione: quoniam & exemplar illud, quod & omnia animalia in ſe ipſo complectitur, nihil extra reliquit aliud: hoc vero exemplar intelligibilium perfectus eſt terminus, quemadmodum hic mundus, ſenſilium. Eſt porro ſolidus, & huiuſmodi, ut & tangi & cerni poſſit: ac proinde Terram ſortitus eſt & Ignem, &, quae inter terram & ignem media intercedunt, Aërem & Aquam. E perfectis autem conſtitutus eſt corporibus, quae tota in ipſo exſiſtunt, ut nulla quidem pars extra ipſum relicta ſit: ut ſit Univerſi corpus abſolutiſſimum, ut in ipſo nihil deſiderari poſſit, & interitui nullo modo obnoxium, extra omnem leti noxam. Non enim alia quaepiam ſunt ſeorſim a terra & igne, & duobus aliis intermediis elementis. Nam ipſa ex optimae proportionis formula, aequali quadam inter ſe poteſtate continentur, ut neque contineant, neque contineantur ex parte inter ſe mutuo, ut alia incrementum, alia diminutionem capiant; ſed profecto indiſſolubili quadam compage, optimae cuiuſdam rationis vinculo conſtricta permaneant. Cum enim tres quidam exſiſtant termini, & intervalla quoque eadem illa ratione inter ſe diſtent: tunc vide-

τον ὅ, τι περ τὸ τρίτον ποτ' αὐτό· κἂν πάλιν καὶ παραλλαξ
κατ' ἐφάρμοσιν τόπων καὶ τάξιος. ταῦτα δ' ἀριθμήμενα
μὴ μετ' ἰσοκρατείας, ἀμάχανον παντί· εὖ δ' ἔχει καὶ κατὰ
σχῆμα καὶ κατὰν κίνασιν. καθ' ὃ μὲν σφαῖρα ὄν, ὡς ὅμοιον
αὐτὸ αὑτῷ, πάντα εἶμεν, καὶ πάντα τἄλλα ὁμογενέα σχή-
d μματα χωρεῖν δύνασθαι· καθὰν δὲ ἐγκύκλιον μεταβολὰν ἀπο-
διδὸν δι' αἰῶνος. μόνα δὲ ἁ σφαῖρα ἐδύνατο καὶ ἀρεμέουσα καὶ
κινουμένα ἐν τᾷ αὐτᾷ συναρμόσεν χώρᾳ, ὡς μή ποκα ἀπο-
λιπεῖν, μήτε λαμβάνεν ἄλλον τόπον, τῷ ἐκ μέσου ἴσον εἶ-
μεν πάντα. λειότατον δ' ὂν ποτ' ἀκρίβειαν καττὰν ἐκτὸς
ἐπιφάνειαν, οὐ ποτιδέεται θνατῶν ὀργάνων, ἃ διὰ τὰς χε-
ρείας τοῖς ἄλλοις ζώοις ποτάρτηταί τε καὶ διᾶκται. τὰν δὲ
e. τῶ κόσμω ψυχὰν μεσόθεν ἐξάψας ἐπάγαγεν ἔξω, περικα-

licet medium radii inſtar videmus ad primum eſſe, quod tertium eſt ad ipſum : & contraria vice, commutatiſque congruenter intervallis, ſervato locorum ordine. Haec autem recenſere, ita ut numeri & quaſi articuli harum proportionum intelligantur, nequaquam fieri poteſt, niſi res quaedam pari poteſtate praeditae, ſubiecta oculis deſcriptione, opponantur. quae quidem docendi ratio opportuna eſt & ad figurae & ad motus rationem repraeſentandam. Quatenus igitur Mundus globoſa eſt figura, ſibique adeo undiquaque ſimilis, omnes certe alias figuras, quae quidem unius ſint generis, capere poteſt. Iam & ex illo circulari motu perpetuum quendam tenorem conſervat. ſola enim globoſa illa ſive circularis figura poteſt, & dum quieſcit, & dum movetur, in eodem loco apta quadam commenſuratione componi, ut nunquam vel deficiat, vel in alium quempiam commigret locum : quoniam videlicet omnia paribus ab ipſo medio diſtent intervallis. Cum porro laeviſſimus ſit & prorſus aequabilis, ut nihil ad ſummam perfectamque aequabilitatem deſiderari in eo poſſit : minime indiget mortalibus inſtrumentis, quae ad facilem expeditumque uſum ceteris animantibus aptata ſunt & accommodata. Animam autem

λύσας αὐτὸ ὅλον αὐτᾷ, κρᾶμα αὐτὰν κερασάμενος ἔκ τε τᾶς ἀμερίστω μορφᾶς καὶ τᾶς μεριστᾶς οὐσιας· ὡς ἓν κρᾶμα ἐκ δυο τουτέων εἶμεν· ᾧ ποτέμιξε δυο δυνάμεις, ἀρχὰς κινασιων, τᾶς τε ταυτῶ καὶ τᾶς τῶ ἑτέρω. ἃ καὶ δυσμικτος ἔκσσα, οὐκ ἐκ τῶ ῥᾴτω συνεκίρνατο. λόγοι δ' οἱδε πάντες ἐντὶ κατ' ἀριθμὼς ἁρμονικὼς συγκεκραμένοι· ὡς λόγως κατὰ μοῖραν διαιρήκει ποτ' ἐπισάμαν, ὡς μὴ ἀγνοεῖν ἐξ ὧν ἁ ψυχὰ καὶ δι' ὧν συνεστάκει. ἀν οὐχ ὑστέραν τᾶς σωματικᾶς οὐσιας συνεταξατο ὁ θεὸς, ὥσπερ λέγομες ἄμμες, (πρότερον γὰρ τὸ τιμιώτερον καὶ δυνάμει καὶ χρόνῳ) ἀλλὰ πρεσβυτεραν ἔπσιει, μιαν ἀφαιρέων τὰν πρώταν μονάδων οὖσαν τεττόρων, ποτὶ ὀκτὼ δεκάσι καὶ τρισιν ἑκατοντάσι. ταύτας δὲ τὰν τε διπλασιαν καὶ τριπλασιαν ῥᾷον συλλογίξασθαι, ἑξαμένω τῶ πράτω. δεῖ δ' εἶμέν πως πάντας σὺν τοῖς πλη- p. 96 a. b.

mundi in ipſius medio indidit Deus, & extra eduxit: ipſumque univerſum ipſa contexit, certo quodam temperamento contemperatam, ex forma nimirum individua, & ex dividua eſſentia, ut unum quoddam temperamentum ex his duobus exſiſtat: cui duas potentias immiſcuit, motuum principia, Eiuſdem videlicet & Alterius. quae quidem anima, cum difficulter ſuſcipiat mixtionem, neque facile etiam ad huius temperamenti formulam coaluit. Hae autem omnes rationes ſunt contemperatae ad numeros harmonicos: quas & ipſe rationes opifex congruenter diſtinxit, certis ſcientiae auſpiciis: ut quidem minime incognitum eſſe poſſit, ex quibus haec mundi anima ſit conſtituta. Hanc vero non ultimam ordinavit Deus poſt corpoream ipſam eſſentiam, quemadmodum nos affirmamus: (illud enim, quod honoratius eſt atque auguſtius, & poteſtate & tempore prius eſt) ſed antiquiorem creavit. & quidem hoc ordine: Cum primae eſſent unitates quatuor, unam ex illis aufert, ad octo Denarios & tres Centenarios. huius autem duplum & triplum facile eſt colligere, primo numero conſtituto. Omnes autem numeros cum ſuis ſupplementis & ſeſquioctavis oportet eſſe,

ῥώμασι καὶ τοῖς ἐπογδόοις ὅρους ξ̄ καὶ λ̄. τὸν δὲ σύμπαντα
ἀριθμὸν γενέσθαι μυριάδας ιᾱ, καὶ τεττόρων χιλιάδων ἑξα-
c. κοσίων ϛξ̄. ταὶ δὲ διαιρέσιες αὗται ἐντὶ, μυριάδες ιᾱ ϡ χ ϛξ̄.
τὰν μὲν οὖν τῶ ὅλω ψυχὰν ταὐτά πως διείλε. Θεὸν δὲ, τὸν
μὲν αἰώνιον νόον ὁρᾷ μόνος τῶν ἁπάντων ἀρχαγὸν καὶ γε-
νέτορα τουτέων· τὸν δὲ γενητὸν ὄψει ὁρέομες, κόσμον τε
τόνδε καὶ τὰ μέρεα αὐτῶ ὁκόσα ὠράνια ἐντί. τάπερ αἰϑέρια
ὄντα, διαιρετὰ διχᾷ· ὡς τὰ μὲν, τᾶς ταυτῶ Φύσιος εἶμεν· τὰ
δὲ, τῶ ἑτέρω. ὧν τα μεν, ἐξωϑεν ἄγει πάντα ἐν αὐτοις τὰ
d. ἐντὸς, ἀπ' ἀνατολᾶς ἐπὶ δυσιν τὰν καϑ' ἅπαν κίνασιν· τὰ δὲ
τᾶς τῶ ἑτέρω, ἐντὸς ἀπὸ ἑσπέρας, τὰ ποϑ' ἑω μὲν ἐπανα-
φερόμενά τε καὶ καϑ' αὐτὰ κινεόμενα. συμπεριδινέεται δὲ
κατὰ συμβεβηκὸς τᾷ ταυτῶ φορᾷ, κράτος ἐχοίσᾳ ἐν κόσμω
κάρρον. ἁ δὲ τῶ ἑτέρω φορὰ, μεμερισμένα καϑ' ἁρμονικὼς
λόγως, ἑπτὰ κύκλως συντέτακται. ἁ μὲν ὦν σελάνα πο-

terminos ſex & triginta: omnem autem numerum fieri, Centena & quatuordecim millia, ſexcenta nonaginta quinque. Diviſiones autem hae ſunt, Centena quatuordecim millia, ſexcenta nonaginta quinque. Univerſi igitur animam hunc in modum fere diviſit. Deum porro ſola mens videt in his omnibus ſane rebus, principem auctoremque & parentem horum omnium. Id autem, quod genitum eſt, oculis videmus, & hunc mundum per ipſius partes. quarum quidem praecipuae ſunt Coeleſtes: quae & ipſae bifariam dividuntur, ut quidem nonnullae ſint Eiuſdem naturae, nonnullae, Alterius. Harum aliae quidem extrinſecus ducunt omnes in ipſis internas, ab Oriente ad Occidentem, univerſo quodam motu: eae vero, quae ad motum Alterius pertinent, intra ab Occidente ad Orientem revertuntur, & peculiari quodam motu moventur. circumrotantur autem per accidens Eiuſdem motu, qui in mundo praeſtantiorem habet poteſtatem. At motus ille Alterius, per harmonicas rationes diſtributus, ſeptem circulorum ordinibus diſtinguitur. Luna ſiquidem, omnium maxime infima, & ad terram accedens propius,

τὴν ἑστάτα ἕκαστα ἐμμήνου τὴν περίοδον ἀποδίδωτι· ὁ δ' ἅλιος μετὰ ταύτην ἐνιαυσιαίῳ χρόνῳ τὸν αὐτῶ κύκλον ἐκτελεῖ. c.
δύο δ' ἰσόδρομοι ἀελίῳ ἐντὶ, Ἑρμᾶ τε καὶ Ἥρας τὸν, Ἀφροδίτας καὶ Φωσφόρον τοὶ πολλοὶ καλέοντι. νομῆς γὰρ καὶ πᾶς ὄμιλος οὐ σοφὸς τὰ περὶ τὰν ἱερὰν ἀστρονομίαν ἐντὶ, οὐδ' ἐπισάμων ἀνατολᾶν τᾶν ἑσπερίων καὶ ἑῴων. ὁ γὰρ αὐτὸς, πόκα μὲν ἕσπερος γίγνεται, ἑπόμενος τῷ ἁλίῳ τοσσοῦτον ὀκόσον μὴ ὑπὸ τᾶς αὐγᾶς αὐτῶ ἀφανισθῆμεν· πόκα δὲ, ἕῳος, αἴκα προαγέηται τῶ ἁλίω, καὶ προανατέλλῃ ποτ' ὀρθρον. Φωσφό- p.
ρος ὢν πολλάκις μὲν γίγνεται ὁ τᾶς Ἀφροδίτας, διὰ τὸ 97
ὁμοδρομεῖν ἁλίῳ. οὐχ εἷς δὲ, ἀλλὰ πολλοὶ μὲν τῶν ἀπλα- a.
νέων, πολλοὶ δὲ τῶν πλαζομένων. πᾶς δὲ ἐν μεγέθει ἀσὴρ ὑπὲρ τὸν ὁρίζοντα πρὸ ἁλίου προγενόμενος, ἀμέραν ἀγγέλλει. τοὶ δ' ἄλλοι τρεῖς, Ἄρεός τε καὶ Διὸς καὶ Κρόνου, ἔχοντι ἴδια τάχεα καὶ ἐνιαυτὼς ἀνίσως· ἐκτελέοντι δὲ τὸν δρόμον, περὶ καταλάψιας ποιεύμενοι, φάσιάς τε, καὶ κρύψιας, καὶ b.

menſtruum peragit circulum: Sol autem poſt hanc annuo tempore ſuum circulum abſolvit. Duo vero pari cum Sole curſu eunt, Mercurii & Iunonis aſtrum: quod Veneris ſive Luciferum vulgus vocat. neque enim quilibet hominum coetus rerum aſtronomicarum, ex certae cognitionis legibus, eruditus eſt, neque ortuum aut occaſuum diſcrimina perite novit. Idem enim aliquando Veſperus eſt, [i. e. occiduus] dum Solem ſequitur, hactenus ut nobis conſpicuus ſit Sole lucem ſuam abſcondente: aliquando Eous vocatur, [i. e. orientalis] cum Solem adventantem antecedit, & ſub diluculum prior oritur. Lucifer igitur ſaepenumero eſt Veneris ſtella, quod eodem cum Sole curſu feratur. Non tamen unus ipſe eſt Lucifer. nam id praeſtant multae ſtellae & fixarum & inerrantium. omne enim iuſta magnitudine aſtrum, quod ſuper horizontem ante Solem exſtat, diem denuntiat. Iam vero alii tres planetae, Martis nimirum, Iovis & Saturni, habent peculiares celeritates & inaequales annos. Curſus autem ſuos iuſtis ſpatiis conficiunt, ita ut certa ex-

ἐκλείψιας, γεννῶντες ἀτρεκέας τε ἀνατολὰς καὶ δύσιας· ἔτι δὲ φάσιας φανερὰς ἁμᾶς ἢ ἑσπερίας ἐκτελέοντι ποτὶ τὸν ἄλιον, ὃς ἀμέραν ἀποδιώκει τὸν ἀπ' ἀνατολᾶς ἐπὶ δύσιν αὐτῶ δρόμον· νύκτα δὲ, τὰν ἀπὸ δύσιος ἐπ' ἀνατολὰν κίνασιν κατ' ἄλλο ποιέεται, ἀγόμενος ὑπὸ τᾶς ταυτῶ φορᾶς· ἐνιαυ-
c. τὸν δὲ, καττὰν αὐτῶ καθ' ἑαυτὸν κίνασιν. ἐκ δὲ τουτέων τῶν κινασιων, δύο ἐασσᾶν, τὰν ἕλικα ἐκτυλίσσει, ποτέρπων μὲν κατὰ μίαν μοῖραν ἐν ἀμερησίῳ χρόνῳ, περιδινεύμενος δὲ ὑπὸ τᾶς τῶν ἀπλανέων σφαιρας, καθ' ἑκάσαν περίοδον, ὄρφνας καὶ ἀμέρας. χρόνω δὲ τὰ μέρεα, τάσδε τὰς περιόδως λέγοντι, ἃς ἐκόσμησεν ὁ θεὸς σὺν κόσμῳ. οὐ γὰρ ἦν πρὸ κόσμω ἄστρα· διόπερ οὐδ' ἐνιαυτός· οὐδ' ἀρᾶν περίοδοι, αἷς
d. μετρέεται ὁ γενναὸς κόσμος οὗτος. εἰκὼν δέ ἐστι τῶ ἀγεννάτω χρόνω, ὃν αἰῶνα ποταγορευομες. ὡς γὰρ ποτ' ἀΐδιον

plorataque cognitione percipi poſſint: quippe qui certis temporibus & appareant, & lateant, & deficiant, veroſque ortus & occaſus generent. Iam & manifeſtas apparitiones orientales & occiduas perficiunt ad Solem: qui diem ex eo curſu reddit, dum ab oriente ad occidentem pergit: noctem vero alio contrario modo, ex occidentis ad orientem motu: quatenus Sol videlicet ex illo Eiuſdem motu defertur: annum vero, quatenus ſuo & peculiari motu. Ex duobus his motibus Sol duplicem curſum peragrat, dum univerſo quidem illo motu coeli circumfertur, & ſpiram gyrumque obliquo quodam motu involvit. hoc quidem ſecundum unam partem dierum tempora & diſcrimina deſignat: illo vero, dum fixarum ſtellarum motu rapido circumvolvitur, ad unumquemque circuitum, noctem & diem facit. Sunt vero hae Temporis partes, quas Circuitus vocant. Deus autem tempus cum ipſo mundo ordinavit. non enim erant aſtra ante tempus, neque proinde annus, neque anni tempeſtates certis circuitibus diſtinctae, quibus genitum hoc tempus definitur. Eſt autem tempus ingeniti temporis imago, quod Aeternitatem vocamus. Quemadmodum enim haec

παράδειγμα τὸν ἰδανικὸν κόσμον ὁδε ὠρανὸς ἐγεννάθη, οὕτως ὡς πρὸς παράδειγμα τὸν αἰῶνα ὅδε χρόνος σὺν κόσμῳ ἐδαμιουργήθη. Γᾶ δ' ἐν μέσῳ ἱδρυμένα, ἕσια θεῶν, ὅρος τε ὄρφνας καὶ ἀμέρας γίνεται· δυσιάς τε καὶ ἀνατολὰς γεννῶσα κατ' ἀποτομὰς τῶν ὁριζόντων, ὡς τὰ ὄψει καὶ τᾷ ἀποτομᾷ τᾶς γᾶς περιγραφόμενα. πρεσβύτα δ' ἐντὶ τῶν e.
ἐντὸς ὠρανῶ σωμάτων. οὐδέποκα ὕδως ἐγενάθη δίχα γᾶς, οὐδὲ μάντοι ἀὴρ, χωρὶς ὑγρῶ. πῦρ τε ἔρημον ὑγρῶ καὶ ὕλας ἃς ἐξάπτοι, οὐκ ἂν διαμένοι. ὥστε ῥίζα πάντων καὶ βάσις ἁ γᾶ ἐρήρεισαι ἐτὶ τᾶς αὐτᾶς ῥοπᾶς. ἀρχαὶ μὲν ὧν τῶν γεννωμένων, ὡς μὲν ὑποκειμενον, ἁ ὕλα· ὡς δὲ λόγος μορφᾶς, τὸ εἶδος. ἀπογεννάματα δὲ τουτέων ἐσὶ τὰ σώματα, γᾶ τε καὶ ὕδως, ἀήρ τε καὶ πῦρ. ὧν ἁ γένεσις, τοιαύτα. p.
ἅπαν σῶμα ἐξ ἐπιπέδων ἐσί· τοῦτο δὲ ἐκ τριγώνων, ὧν τὸ 98
μὲν ὀρθογώνιον ἰσοσκελὲς ἡμιτετράγωνον, τὸ δὲ, ἀνισόπλευ- a.

Universitas ad intelligibilis mundi exemplar creata est, ita hoc tempus ad aeternitatem, veluti ad exemplar quoddam, cum mundo ab opifice fuit constitutum. Terra porro in medio stabilita, Deorum sedes, terminus est noctis & diei: occasus & ortus generat, prout coeli medium orbium illorum, qui ὁρίζοντες [i. e. finientes] vocantur, quasi abscissionibus dividitur. sic enim ex vario terrae aspectu eos circumscribimus atque definimus. Antiquissimum vero est omnium, quae in hac universitate sunt, corpus. neque enim Aqua nata est sine terra, neque vero Aër sine humido. Ignis autem humido, veluti materia, qua inflammetur, destitutus, haudquaquam possit consistere. quocirca omnium radix & firmamentum aliorum, Terra eodem momento firmata est. Rerum igitur creatarum, ut subiectum, est Materia: veluti autem ratio proportioque formae, est Idea. Harum autem foetus, Corpora: nimirum Terra, Aqua, Aër, Ignis: quorum quidem huiusmodi est generatio atque productio. Omne corpus ex planis constat: hoc vero ex triangulis: quorum alter quidem est ex rectis angulis aequalium laterum, semi-

ρον, ἔχον τὰν μέζονα δυνάμει τριπλασίαν τᾶς ἐλάσσονος. ἃ δ' ἐλαχίστα ἐν αὐτῷ γωνία, τρίτον ὀρθᾶς ἐσί· διπλασία δὲ ταύτας, ἃ μέσα. δύο γὰρ τρίτων ἄδ' ἐσίν. ἃ δὲ μεγίστα ὀρθά, ἀμιόλιος μὲν τᾶς μέσας ἔασσα, τριπλασία δὲ τᾶς ἐλαχίστας.

b. τοῦτο δ' ὧν τὸ τρίγωνον, ἀμιτρίγωνόν ἐστιν, ἰσοπλεύρῳ τριγώνῳ, δίχα τετμημένῳ καθέτῳ, ἀπὸ τᾶς κορυφᾶς ἐς τὰν βάσιν, ἐς ἴσα μέρεα. δύο ὀρθογώνια μὲν ὧν ἐντὶ ἑκατέρῳ· ἀλλὰ ἐν ᾧ μέν, ταὶ δύο πλευραὶ ταὶ περὶ τὰν ὀρθάν, μόναι ἴσαι· ἐν ᾧ δὲ, ταὶ τρεῖς πᾶσαι ἄνισοι. σκολιὸν δὲ τοῦτο μὲν καλεέσθω· κεῖνο δὲ ἀμιτετράγωνον, ἀρχὰ συστάσιος γᾶς. τὸ γὰρ τετράγωνον ἐκ τουτέων, ἐκ τεττόρων ἡμιτετραγώνων

c. συντεθειμένον. ἐκ δὲ τῶ τετραγώνω γεννᾶσθαι τὸν κύβον, ἑδραιότατον καὶ σαθαῖον πάντη σῶμα, ἓξ μὲν πλευρὰς, ὀκτὼ δὲ γωνίας ἔχον. καττοῦτο δὲ, βαρύτατόν τε καὶ δυσκίνατον ἃ γᾶ, ἀμετάβλητόν τε σῶμα εἰς ἄλλα, διὰ τὸ ἀκοινώνευτον

quadrangulus: alter autem inaequalium laterum, qui habet maiorem angulum potentia triplum minoris. minimus vero in ipso angulus, tertia recti pars est: huius autem duplum, medius est. hic enim duarum tertiarum partium est: maximus autem rectus ad mediam sesquialteram proportionem habet: triplus autem est ad minimum. Hic igitur triangulus, semiquadrangulus est, quatenus cum aequilatero triangulo comparatur, perpendiculo bifariam abscisso a vertice ad imum, in partes aequales. duo igitur utrique sunt rectanguli: at in uno, duo quidem latera, quae quidem in recto sunt, aequalia sunt tantum, in altero autem omnia tria inaequalia. Haec vero figura Obliqua vocetur. Ille autem semiquadrangulus primordium fuit constituendae terrae. nam quadrangulus ex his quatuor videlicet quadrangulis componitur. ex quadrangulo vero cubus generatur, omnium corporum firmissimum & maxime statarium, ut nullam in partem moveri possit: utpote quod sex latera, octo autem habeat angulos. Hac nimirum constitutione Terra elementum est & gravissimum & difficulter mobile: huiusmodi quidem certe,

εἶμεν τῶ ἄλλω γένεος τῶ τριγώνω. μόνα γὰρ ἁ γᾶ ἰδίαν
ϛοιχεῖον ἔχει τὸ ἀμιτετράγωνον. τοῦτο δὲ ϛοιχεῖον τῶν ἄλ-
λων σωμάτων ἐϛὶ, πυρὸς, ἀέρος, ὕδατος. ἑξάκις γὰρ συντε-
θέντος τῶ ἀμιτριγώνω, τρίγωνον ἐξ αὐτῶ ἰσόπλευρον γίνε-
ται. ἐξ ὧ ἁ πυραμὶς, τέσσαρας βάσιας καὶ τὰς ἴσας γωνίας d.
ἔχοισα, συντίθεται, εἶδος πυρὸς εὐκινατότατον καὶ λεπτο-
μερέϛατον. μετὰ δὲ τοῦτο, ὀκτάεδρον, ὀκτὼ μὲν βάσιας, ἐξ
δὲ γωνίας ἔχον, ἀέρος ϛοιχεῖον. τρίτον δὲ, τὸ εἰκοσιεδρον, βα-
σίων μὲν εἴκοσι, γωνιῶν δὲ δώδεκα, ὕδατος ϛοιχεῖον, πολυ-
μερέϛατον καὶ βαρύτατον. ταῦτα δ' ὧν ἀπὸ ταυτῶ ϛοιχείω
συγκειμενα εἰς ἄλλαλα τρέπεται. τὸ δὲ δωδεκάεδρον εἰκόνα τοῦ
παντὸς ἐϛάϛατο, ἔγγιϛα σφαῖρα ἐόν. πῦρ μὲν ὧν διὰ τὰν λε- e.
πτομέρειαν διὰ πάντων ἦκεν, ἀήρ τε διὰ τῶν ἄλλων, ἔξω πυρός·
ὕδωρ δὲ, διὰ τᾶς γᾶς. ἅπαντα δ' ὧν πλήρη ἐντὶ, οὐδὲν κε-
νεὸν ἀπολείποντα. συνάγεται δὲ τᾷ περιφορᾷ τοῦ παντὸς,

ut in aliud corpus tranſmutari nullo modo poſſit, quod nullam habeat cum ullo triangulorum genere communitatem. ſola enim terra proprium habet & peculiare elementum, Semiquadrangulum. Hoc porro elementum eſt aliorum corporum, ignis, aëris, aquae. ſexies enim compoſito ſemiquadrangulo, triangulus ex ipſo aequalibus fit cruribus: ex quo pyramis, quae quatuor baſes & aequales angulos habet, componitur, ſpecies ignis maxime mobilis & tenuiſſimarum partium. Poſt hoc autem, id, quod octo conſtat ſedibus, octo quidem baſes, octo vero angulos habens, eſt Aëris elementum. Tertium autem, quod viginti ſedes habet, baſes quidem viginti, angulos autem duodecim, Aquae elementum eſt, plurimarum partium atque graviſſimarum. Haec igitur ab eodem elemento compoſita, inter ſe commutantur. At id, quod duodecim conſtat ſedibus, imaginem Univerſi ſtatuit, quippe quod ad ſphaericam figuram proxime accedat. Ignis igitur ob partium tenuitatem per omnia penetrat: aër item per alia elementa, excepto igne: aqua autem, per terram. Omnia igitur plena ſunt, nec vacui quidquam relinquunt,

καὶ ἠρεισμένα τρίβεται μὲν ἀμειβαδὸν, ἀδιάλειπτον δὲ ἀλλοίωσιν ποτὶ γενέσιας καὶ Φθορας ἀποδίδωτι. τούτοις δὲ πο-
p. τιχρεόμενος ὁ θεὸς τόνδε τὸν κόσμον κατεσκεύαξεν· ἁπτὸν
92 μὲν, διὰ τὰν γᾶν· ὁρατὸν δὲ, διὰ τὸ πῦρ· ἄπερ δύο ἄκρα. δὶ
a. ἀέρος δὲ καὶ ὕδατος συνεδήσατο δεσμῷ κρατίςῳ, ἀναλογίᾳ, ἃ καὶ αὐτὰν καὶ τὰ δι' αὐτᾶς κρατεόμενα συνέχεν δύναται. εἰ μὲν ὦν ἐπίπεδον εἴη τὸ συνδεόμενον, μία μεσότας ἱκανά ἐςιν· εἰ δέ κα ςερεὸν, δύο χρήζει. δυσὶν ὦν μέσοις δύο ἄκρα προσαρμόξατο, ὅκως εἴη ὡς πῦρ ποτ' ἀέρα, ἀὴρ ποτὶ ὕδωρ,
b. καὶ ὕδωρ ποτὶ γᾶν· καὶ κατ' ἐναλλαγὰν, ὡς πῦρ ποτὶ ὕδωρ, ἀὴρ ποτὶ γᾶν· καὶ ἀνάπαλιν, ὡς γᾶ ποτὶ ὕδωρ, ὕδωρ ποτ' ἀέρα, καὶ ἀὴρ ποτὶ πῦρ· καὶ κατ' ἐναλλαγὰν, ὡς γᾶ ποτ' ἀέρα, ὕδωρ ποτὶ πῦρ. καὶ ἐπεὶ δυνάμει ἴσα ἐντὶ πάντα, τοὶ λόγοι αὐτῶν ἐν ἰσονομίᾳ ἐντί. εἷς μὲν ὦν ὅδε ὁ κόσμος δαίμονίῳ δεσμῷ τὸ ἀνάλογόν ἐςιν. ἕκαςον δὲ τῶν τεττόρων σω-

Rapido autem illo univerſi motu circumaguntur, & firmata teruntur quidem viciſſim, indeſinentem vero alterationem ad ortus & interitus perficiunt. Horum miniſterio & opera utens Deus hunc mundum conſtruxit: qui quidem mundus propter terram tangi poteſt, videri autem propter ignem: quae duo ſunt extrema. Per aërem vero & aquam, firmiſſimi cuiuſdam vinculi proportione, mundum colligavit, qua & ipſa, & quae per ipſam comprehenduntur, conſtringi continerique poſſint. Si igitur id, quod colligatur, planum fuerit, una medietas ſatis eſt: ſin vero ſolidum, duobus indiget. Duobus igitur mediis duo extrema adaptavit, ut eſſent, veluti ignis ad aërem, aër ad aquam, aqua ad terram: & viciſſim, ut ignis ad aquam, aër ad terram. & viciſſim, veluti terra ad aquam, aqua ad aërem, & aër ad ignem: & viciſſim, velut terra ad aërem, aqua ad ignem. Quandoquidem autem omnia ſunt potentia aequalia, ipſorum rationes totae ſunt in aequalitate. Unus igitur hic mundus felicis cuiuſdam & plane divini vinculi proportione conſiſtit. Horum porro quatuor corporum unumquodque

μάτων πολλὰ εἴδεα ἔχει. πῦρ μὲν, φλόγα, καὶ φῶς, καὶ αὐγὰν, διὰ τὰν ἀνισότητα τῶν ἐν ἑκάστῳ αὐτῶν τριγώνων. e.
κατ' αὐτά τε καὶ ἀὴρ, τὸ μὲν, καθαρὸν καὶ αὔον, τὸ δὲ, νοτερὸν καὶ ὁμιχλῶδες. ὕδωρ τὲ, τὸ μὲν, ῥυτὸν, τὸ δὲ πακτόν· ὁκόσον χιών τε καὶ πάχνα, χάλαζά τε καὶ κρύσταλλος. ὑγρόν τε, τὸ μὲν ῥυτὸν, ὡς μέλι, ἔλαιον· τὸ δὲ, πακτὸν, ὡς πίσσα, κηρός. πακτῶν δὲ εἴδεα, τὸ μὲν, χυτόν· χρυσὸς, ἄργυρος, χαλκὸς, κασσίτερος, μόλιβδος, σαγών· τὸ δὲ, θραυστόν· θεῖον, ἄσφαλτον, νίτρον, ἅλες, στυπτηρία, λίθοι τοὶ ὁμο- d.
γενέες. Μετὰ δὲ τὰν τῶ κόσμω σύστασιν, ζώων θνατῶν γένεσιν ἐμαχανάσατο, ἵν' ᾖ τέλεος, ποτὶ τὰν εἰκόνα παντελῶς ἀπειργασμένος. τὰν μὲν ὦν ἀνθρωπίναν ψυχὰν ἐκ τῶν αὐτῶν λόγων καὶ δυναμίων συγκερασάμενος καὶ μερίξας, διένειμε τᾷ φύσει τᾷ ἀλλοιωτικᾷ παραδούς· διαδεξαμένα δ' αὐτὸν ἐν τῷ ἀπεργάζειν θνατά τε καὶ ἐφαμέρια ζῶα, ὧν τὰς ψυχὰς ἐπιῤῥύτως ἐνάγαγε, τὰς μὲν, ἀπὸ σελάνας, τὰς δ', e.

multas ſpecies habet. Ignis quidem, flammam, lucem, ſplendorem, propter triangulorum, qui in unoquoque ipſorum ſunt, inaequalitatem. Eodem etiam modo & aër, partim quidem purus & ſiccus, partim humidus & nebuloſus. Aqua etiam, quaedam fluida eſt, quaedam congelata, veluti nix, grando, glacies. Humor autem, alius eſt humidus, ut mel, oleum: alius compactus, ut pix, cera. Compacti vero ſpecies, alia, fuſilis, ut aurum, argentum, aes, ſtannum, plumbum, ferri defaecati genus, quod σταγόνα vocant: alia, fragilis, ut ſulphur, bitumen, nitrum, ſal, alumen, & lapides eiuſdem generis. Iam vero poſt mundi conſtitutionem, mortalium animantium generationem molitus eſt Deus, ut ad imaginem illam perfectus eſſet plane atque abſolutus. Humanam igitur animam ex iiſdem rationibus atque potentiis contemperatam atque diviſam diſtribuebat, Naturae alteratrici hoc tributo miniſterio: quae, acceptis harum rerum mandatis, ipſius opificis quaſi vicem obivit in mortalibus & diurnis animalibus efficiendis, quorum animas quaſi per fluxum quendam in-

ἀπὸ ἀλίω· τὰς δὲ, ἀπὸ τῶν ἄλλων τῶν πλαζομένων ἐν τῷ τῶ ἑτέρω μοίρᾳ· ἔξω μιᾶς τᾶς τῶ αὐτῶ δυνάμιος, ἃν ἐν τῷ λογικῷ μέρει ἔμιξεν, εἰκόνα σοφίας τοῖς εὐμοιρατοῦσι. τᾶς μὲν γὰρ ἀνθρωπινας ψυχᾶς τὸ μὲν, λογικόν ἐξι καὶ νοερὸν, τὸ δ', ἄλογον καὶ ἄφρον. τῶ δὲ λογικῶ τὸ μὲν κρέσσον, ἐκ τᾶς ταυτῶ φύσιος· τὸ δὲ χέρειον, ἐκ τᾶς τῶ ἑτέρω. ἑκάτερον δὲ περὶ τὰν κεφαλὰν ἵδρυται μένον, ὡς τἄλλα μέρεα τᾶς
p. ψυχᾶς καὶ τῶ σώματος ὑπηρετεῖν τούτῳ, καθάπερ ὑπ' αὐ-
100 τῶ τῶ σκάνεος ἅπαντος. τῶ δ' ἀλόγω μέρεος τὸ μὲν θυμοει-
a. δὲς, περὶ τὰν καρδίαν· τὸ δ' ἐπιθυματικὸν, περὶ τὸ ἦπαρ. τοῦ δὲ σώματος, ἀρχὰν μὲν καὶ ῥίζαν μυελῶ εἶμεν ἐγκέφαλον, ἐν ᾧ ἃ ἁγεμονία· ἀπὸ δὲ τούτω, ἀπόχυμα ῥεῖ διὰ τῶν νωτίων σπονδύλων τὸ λοιπὸν, ἐξ ὧ εἰς σπέρμα καὶ γόνον μερίζεσθαι. ὀξέα δὲ, μυελῶν περιφράγματα. τουτέων δὲ σκέπαν
b. μὲν τὰν σάρκα καὶ προκάλυμμα. συνδέσμοις δὲ ποττὰν κίνη-

ſtillabat: ita alias quidem a Luna, alias a Sole, alias a ceteris, quae in Alterius parte oberrant, aſtris deducebat. Unam animam excepit, quae Eiuſdem potentia praedita eſt, quam in parte illa rationis participe admiſcuit, imaginem ſapientiae his, qui bono fato utuntur. nam humanae animae altera pars rationis eſt particeps & intelligens: altera, rationis expers atque inſipiens. Eius vero, quae rationis eſt particeps, melior potiorque pars de Eiuſdem natura eſt: deterior vero, Alterius. Utraque autem circa caput ſedem habet, ut reliquae tum animae tum corporis partes huic inſerviant, quemadmodum ſub ipſo corporis tabernaculo univerſo. At partis eius, quae rationis eſt expers, ea pars, quae ad iram prona eſt, circa cor: ea, quae concupiſcit, circa iecur ſedem habet. Iam vero cerebrum, eſt principium & radix medullae, in eoque etiam eſt animae principatus. Ab hoc autem diffuſio quaedam manat per dorſi vertebras, quaſi prono alveo, ut inde ad ſemen generationemque materia ſufficiatur. Oſſa autem, medullarum munimenta ſunt: caro, horum tegmen & cooperimentum eſt. Articulos autem nervis connexuit

σιν τοῖς νεύροις σύναψε τὰ ἅρθρα. τῶν δ' ἐντοσθίων τὰ μὲν, τροφᾶς χάριν, τὰ δὲ, σωτηρίας. Κινασίων δὲ, τῶν ἀπὸ τῶν ἐκτὸς, τὰς μὲν ἀναδιδομένας εἰς τὸν φρονέοντα τόπον, αἰσθήσιας εἶμεν· τὰς δ' ὑπ' ἀντιλαψιν μὴ πιπτοίσας, ἀνεπαισθήτως, ἢ τῷ τὰ πάσχοντα σώματα γεωδέστερα εἶμεν, ἢ τῷ τὰς κινάσιας ἀμενηνοτέρας γίγνεσθαι. ὁκόσαι μὲν οὖν ἐξίσαντι τὰν φύσιν, ἀλγεινὰι ἐντί· ὁκόσαι δὲ ἀποκαδίσαντι ἐς αὐ- c. τὰν, ἁδοναὶ ὀνυμαίνονται. τᾶν δ' αἰσθησίων τὰν μὲν ὄψιν ἁμμιν τὸν θεὸν ἀνάψαι εἰς θέαν τῶν ὡρανίων, καὶ ἐπιστάμας ἀνάλαψιν· τὰν δ' ἀκοὰν, λόγων καὶ μελῶν ἀντιλαπτικὰν ἔφυτεν· ἃς χρησκίμενος ἐκ γενέσιος ὁ ἄνθρωπος οὔτε λόγου ἐτι τρέθαι δυνάσεται. διὸ καὶ συγγενεστάταν τῷ λόγῳ ταύταν αἴσθασιν φαντὶ εἶμεν. ὁκόσα δὲ πάθεα τῶν σωμάτων ὀνυμαίνεται, ποτὶ τὰν ἁφὰν κλήϊζεται, τᾷ δὲ ῥοπᾷ ποτὶ τὰν d. χάραν. ἁ μὲν γὰρ ἁφὰ κρίνει τὰς ζωτικὰς δυνάμιας, θερ-

per ligamenta ad motum. Ex internis autem inſtrumentis quaedam alimenti gratia, quaedam ſalutis fecit. Ex motibus autem, qui ab externis proficiſcuntur, hi, qui ad ſapientem illum locum tribuuntur, ſenſibus ſunt expoſiti: qui vero ſub perceptionem non cadunt, ſenſus effugiunt: ſive quod corpora, quae afficiuntur, magis ſint terrea, ſive quod motus ſint imbecilliores. Quicunque igitur motus ſint, naturam excedunt, dolorem pariunt: quicunque autem ad ipſam reſtituuntur, Voluptates nominantur. At vero ex ſenſibus viſum quidem nobis accendit Deus ad rerum coeleſtium contemplationem ſcientiamque comparandam. Auditum autem creavit, accommodatum inſtrumentum ad ſermones & concentus percipiendos: cuius ſenſus beneficio ſi homo ab ipſo ortus primordio deſtitutus ſit, ſermonis quoque emittendi facultate deſtituetur. Itaque maxime cognatum ſermoni hunc ſenſum eſſe aiunt. Quaecunque vero affectiones corporum nominantur, tactus ratione appellationem ſortiuntur: ipſa vero inclinatione, ad locum. tactus enim vitales facultates diiudicat, caliditatem, frigiditatem: ſiccitatem, humidita-

μότατα, ψυχρότατα· ξηρότατα, ὑγρότατα· λειότατα, τραχύτατα· εἴκοντα, ἀντίτυπα· μαλακά, σκληρά. βαρὺ δὲ καὶ κοῦφον ἀφὰ μὲν προκρίνει, λόγος δ' ὁριζει, τᾷ εἰς τὸ μέσον καὶ ἀπὸ τῶ μέσω νεύσει. κάτω δὲ καὶ μέσον, ταυτὸν φαντί. τὸ γὰρ κέντρον τᾶς σφαίρας, τοῦτό ἐσι τὸ κάτω· τὸ δ' ὑπὲρ
e. τούτω, ἄχρι τᾶς περιφερείας, ἄνω. τὸ μὲν ὦν θερμὸν, λεπτομερές τε καὶ διαιρετικὸν τῶν σωμάτων δοκεῖ εἶμεν· τὸ δὲ ψυχρὸν, παχυμερέστερον πόρων καὶ συμπιλωτικόν ἐσι. τὰ δὲ περὶ τὰν γεῦσιν ἔοικε τᾷ ἁφᾷ. συγκρίσει γὰρ καὶ διακρίσει, ἔτι δὲ τᾷ ἐς τὼς πόρως διαδύσει, καὶ τοῖς σχημάτεσσιν, ἢ τρυφνὰ, ἢ λεῖα. ἀποτάκοντα δὲ καὶ ῥύπτοντα τὰν γλῶτταν, τρυφνὰ φαίνεται· μετριάζοντα δὲ τᾷ ῥύψει, ἁλμυρά· ἐκ-
p. πυροῦντα δὲ, καὶ διαῤῥέοντα τὰν σάρκα, δριμέα. τὰ δ' ἐναν-
101 τία, λεῖά τε καὶ γλυκέα, κεχύλωται. Ὀσμᾶς δὲ εἴδεα μὲν
a. οὐ κεχώρισαι. διὰ γὰρ στενῶν πόρων διηθεῖται, στερροτέρων ὑν-

tem : lenitatem, aſperitatem : cedentia, renitentia : mollia, dura. Tactus autem grave & leve praeiudicat : ratio vero definit atque determinat, ea inclinatione, quae & ad medium & a medio tendit. Deorſum vero & medium idem omnino eſſe aiunt. nam centrum ſphaerae, ipſum eſt illud Deorſum : quod vero ſupra hoc eſt uſque ad circumferentiam, Surſum vocant. Calidum igitur tenuiſſimarum eſt partium, & vim habet atque facultatem corporum diſparandorum. Frigidum vero, craſſiorum eſt partium, & meatus conſtringit. Guſtus autem tactui ſimilis eſt. nam concretione & diſcretione, praeterea & ſubtili quodam ad meatus ingreſſu, & figuris, aut acerba ſunt, aut lenia, ea quae ad guſtum pertinent. Nam ea, quae vim habent inducendi ſtuporem in linguam, eiuſque abſtergendae, Acerba ſentiuntur : quae vero moderate linguam abſtergunt, Salſa : at quae linguam inflammant, & in carnem penitus immanant, Acria. at contraria & laevia & dulcia, in ſuccum eliqueſcunt. Odoris porro ſpecies diſtinctae non ſunt. per anguſtos enim meatus percolantur, qui ſolidiores quidem ſunt, quam ut contrahi & diſpeſci

τῶν ἢ ὡς συνάγεσθαι καὶ διΐζασθαι, σάψεσι καὶ πέψεσι γᾶς τε καὶ γεοειδέων, εὐώδεά τε καὶ δυσώδεα εἶμεν. Φωνὰ δ' ἐξὶ μὲν πλᾶξις ἐν ἀέρι, διϊκνευμένα ποτὶ τὰν ψυχὰν δι' ὤτων, ὧν τοὶ πόροι διήκοντι ἄχρις ἥπατος χωρέοντες. ἐν τούτοις πνεῦμα, οὗ ἀ κίνασις ἀκοά ἐξι. Φωνᾶς δὴ καὶ ἀκοᾶς, ἀ μὲν, b. ταχεῖα, ὀξεῖα, ἀ δὲ βραδεῖα· μέσα δ' ἀ συμμετροτάτα. καὶ ἀ μὲν πολλὰ καὶ κεχυμένα, μεγάλα· ἀ δὲ ὀλίγα καὶ συναγμένα, μικρά. ἀ δὲ τεταγμένα ποτὶ λόγως μωσικὼς, ἐμμελής· ἀ δὲ ἄτακτός τε καὶ ἄεργος, ἐκμελής τε καὶ ἀνάρμοξος. Τέταρτόν τι γένος αἰσθητῶν, πολυειδέσατον καὶ ποικιλώτατον. ὁρατὰ δὲ λέγεται· ἐν ᾧ χρώματά τε παντοῖα, καὶ κεχρωσμένα μυρία. πρᾶτα δὲ, τέττορα· λευκὸν, μέλαν, c. λαμπρὸν, φοινικοῦν. τἄλλα γὰρ ἐκ κιρναμένων τούτων γενᾶται. τὸ μὲν ὦν λευκὸν διακρίνει τὰν ὄψιν. τὸ δὲ μέλαν συγκρίνει· ὅκως περ τὸ θερμὸν διαχεῖ τὰν ἁφὰν, τὸ δὲ ψυχρὸν συνάγει δύνατα· καὶ τὸ μὲν ςρυφνὸν, συνάγει τὰν

possint putrefactionibus & concoctionibus terrae, rerumque terrearum. sunt vero vel iucundi, vel iniucundi odoris. Vox autem, ictus in aëre [aëre intermedio] ad animum perveniens per aures: quarum aurium meatus procedentes ad iecur usque contingunt. in his est spiritus, cuius motus est auditus. Vocis vero & auditus alia velox, alia acuta, alia tarda: gravis media, nullis tamen certae mensurae terminis definita: & alia quidem multa & diffusa, magna est: alia pauca & contracta, parva: alia vero ad rationes Musicas ordinata, concinna est: alia confusa & a ratione aliena, absurda est atque intemperata. Quartum autem genus eorum, quae sub sensus cadunt, varias habet atque multiplices species. ea porro dicuntur visibilia: quo genere & varii colores, & coloratae res quam plurimae comprehenduntur. Primi autem colores sunt quatuor, albus, niger, splendidus, puniceus. reliqui enim ex his permixtis generantur. Albus igitur color visum dispescit, niger componit atque coagmentat: quemadmodum Calidum diffundit tactum: frigidum contra potest

γεῦσιν, τὸ δὲ δριμὺ, διαιρεῖν πέφυκε. τρέφεται δὲ τὸ σκᾶνος τῶν
ἐναερίων ζώων καὶ συνέχεται, τᾶς μὲν τροφᾶς διαδιδομένας
διὰ τῶν φλεβῶν εἰς ὅλον τὸν ὄγκον, κατ' ἐπιῤῥοὰν· οἷον δι'
d. ὑγετῶν ἀγομένας καὶ ἀρδομένας ὑπὸ τῶ πνεύματος, ὃ διαχει αὐτὰν ἐπὶ τὰ πέρατα φέρον. Ἁ δ' ἀναπνοὰ γίνεται, μηδενὸς μὲν κενεῶ ἐν τᾷ φύσει ἐόντος, ἐπιῤῥέοντος δὲ καὶ ἑλκομένω τῶ ἀέρος ἀντὶ τῶ ἀποῤῥέοντος διὰ τῶν ἀοράτων σωμιων, δι' ὧν καὶ ἁ νοτὶς ἐπιφαίνεται, τινὸς δὲ καὶ ὑπὸ τᾶς φυσικᾶς θερμότατος ἀπαναλουμένω. ἀνάγκα ὦν ἀντικαταχωρῆμεν τὸ ἴσον τῷ ἀναλωθέντι· εἰ δὲ μὴ, κενώσιας εἴμεν.
e. ὅπερ ἀμάχανον. οὐδὲ γὰρ ἔτι εἴη κασσύῤῥοον καὶ ἐν τὸ ζῶον, διαιρουμένω τῶ σκάνεος ὑπὸ τῶ κενῶ. ἁ δ' ὁμοία ὀργανοποιία γίνεται καὶ ἐπὶ τῶν ἀψύχων, κατὰν τᾶς ἀναπνοᾶς ἀναλογίαν. ἁ γὰρ σικύα καὶ τὸ ἤλεκτρον, εἰκόνες ἀναπνοᾶς ἐν-

contrahere: & acerbum quoque guſtum contrahere, acre vero diducere ſolet naturali quadam facultate. Porro animalium eorum, quae aërem inſpirant, corpus & nutritur & conſervatur, dum alimentum per venas in univerſam corporis molem diſtribuitur, & defluxione quadam veluti per canales derivatur, & a ſpiritu irrigatur, qui eum ad extremos uſque fines efficaci quodam motu diffundit. Reſpiratio autem fit, cum nihil vacui in natura ſit: aër autem per oſcula, quae videri non poſſunt, & attrahitur, & influit in eius vicem, qui effluxit. ex illis etiam meatibus mador ſudorque perſpicue exiſtit in ſuprema cutis parte. Iam cum & aliquid de ipſo a naturali calore abſumatur, neceſſe eſt viciſſim introduci aequalem motum eius, qui conſumtus eſt. quod niſi fieret, vacuum aliquid daretur in rerum natura: quod fieri nullo modo poteſt. non enim perpetuo illo motu, quo ſolet animal quaſi fluere, vires ſuas reficere atque inſtaurare poſſet, ut unum videlicet perduret, ſi corporis tabernaculum a vacuo divideretur. Similis autem inſtrumentorum ſolet eſſe molitio, & in ipſis quidem inanimis, ex ea reſpirationis reciproca proportione. cucurbitula enim & ſuccinum imagi-

τί. ῥεῖ γὰρ διὰ τῶ σώματος ἔξω διὰ πνεύματα, ἀντ- p.
επεισάγεται δὲ διὰ τᾶς ἀναπνοᾶς τῷ τε ςόματι καὶ ταῖς 102
ῥισὶν· εἶτα πάλιν, οἷον εὔριπος, ἀντεπιφέρεται εἰς τὸ σῶμα. a.
τὸ δὲ ἀνατείνεται καττὰς ἐκροάς. ἀ δὲ σικύα, ἀπκυαλαθέν-
τος ἀπὸ τῶ πυρὸς τῶ ἀέρος, ἐφέλκεται τὸ ὑγρόν· τὸ δ' ἠλε-
κτρον, ἐκκριθέντος τῶ πνεύματος, ἀναλαμβάνει τὸ ὅμοιον
σῶμα. Τροφὰ δὲ πᾶσα, ἀπὸ ῥίζας μὲν τᾶς καρδιας, παγᾶς
δὲ τᾶς κοιλίας, ἐπάγεται τῷ σώματι· ὃ καὶ εἰκα πλειω τᾶς b.
ἀποῤῥεούσας ἐπάρδοιτο, αὔξα λέγεται· εἰκα δὲ μείω, Ὄλισις.
ἀ δ' ἀκμὰ, μεθόριον τουτέων ἐςὶ, καὶ ἐν ἰσόταται ἀποῤῥοᾶς
καὶ ἐπιῤῥοᾶς νοέεται. λυομένων δὲ τῶν ἁρμῶν τᾶς συγκρίσιος,
εἰκα μηκέτι δίοδος ᾖ πνεύματι, ἢ τροφὰ μὴ διαδίδοται,
θνάσκει τὸ ζῶον. πολλαὶ δὲ κᾶρες ζωᾶς καὶ θανάτου αἰτιαι.
ἓν δὲ γένος νόσος ὀνυμαίνεται. νόσων δ' ἀρχαὶ μὲν, αἱ τᾶν
πράτων δυναμίων ἀσυμμετρίαι, εἰκα πλεονάζοιεν ἢ ἐλλεί-
ποιεν ται ἁπλαῖ δυναμιες, θερμότας, ἢ ψυχρότας, ἢ ὑγρό- c.

nes ſunt reſpirationis. nam fluunt per corpus foras ſpiritus, viciſſim autem introducuntur per reſpirationem & ore & naribus. deinde rurſus, velut Euripus, viciſſim feruntur in corpus. illud vero ſecundum influxiones diſtenditur. At cucurbitula, conſumto igne ab aëre, attrahit humorem: ſuccinum vero, excreto ſpiritu, ſuſcipit ſimile corpus. Omne vero alimentum a radice quidem cordis, a fonte vero ventriculi in corpus inducitur. quod etiam, ſi plus irrigatur, quam defluat, Incrementum dicitur: ſi vero minus, Imminutio. Vigor autem in horum confinio conſiſtit, & in defluxionis ac influxionis aequalitate intelligitur. Cum autem conſtitutionis compages diſſolvuntur, ſi non amplius tranſitus eſt ſpiritui, aut alimentum minime diſtribuitur, animal interit. Multae vero ſunt peſtes & noxae vitae, & mortis cauſae. unum autem genus nominatur Morbus. morborum vero princeps & primaria cauſa, eſt primarum facultatum intemperies atque perturbatio: ſi videlicet ſimplices facultates vel redundarint, vel defecerint: caliditas nimirum, frigiditas,

τας, ἢ ξηρότας. μετὰ δὲ ταύτας, αἱ τῶ αἵματος τροπαὶ καὶ ἀλλοιώσιες, ἐκ διαφθορᾶς, καὶ αἱ τᾶς σαρκὸς τακομένας κακώσιες· αἰκα καττὰς μεταβολὰς, ἐπὶ τὸ ὀξὺ ἢ ἁλμυρὸν ἢ δριμὺ τροπαὶ αἵματος, ἢ σαρκὸς τακεδόνες γένοιντο. χολᾶς γὰρ αἱ γενέσιες καὶ φλέγματος, ἐνθένδε. χυμοὶ νοσώδεες, καὶ ὑγρῶν σάψιες, ἀμαυραὶ μὲν, αἱ μὴ ἐν βάθει· χαλεπαὶ
d. δ' ὧν ἀρχαὶ γεννῶνται ἐξ ὀστέων· ἀνιαραὶ δὲ, ἐκ μυελοῦ ἐξαπτόμεναι. τελευταία δὲ νόσων ἐντὶ, πνεῦμα, χολὰ, φλέγμα, αὐξόμενα, καὶ ῥέοντα εἰς χώρας ἀλλοτρίας, ἢ τόπως ἐπικαιρίως. τόκα γὰρ ἀντικαταλαμβάνοντα τὰν τῶν καρρόνων χώραν, καὶ ἀπελάσαντα τὰ συγγενέα, ἱδρύεται κακοῦντα τὰ σώματα, καὶ ἐς αὐτὰ ταῦτα ἀναλύονται. καὶ σώματος μὲν πάθεα τάδε, καὶ ἐκ τῶνδε ψυχᾶς νόσοι ἐντὶ πολ-
e. λαί. ἄλλαι δ' ἄλλων δυναμίων ἐντί· αἰσθητικᾶς μὲν, δυσαισθησία· μναμονικᾶς δὲ, λάθα· ὁρμητικᾶς δὲ, ἀνορεξία, καὶ ἀπροπέτεια· παθητικᾶς δὲ, ἄγρια πάθεά τε καὶ λύσσαι οἰστρώ-

humiditas aut ficcitas. Poſt has autem ſunt ſanguinis mutationes & alterationes ex corruptione, & depravationes carnis tabidae: ſi viciſſitudinum alternationibus ad acidum vel ſalſum aut acre, ſanguinis alterationes aut carnis tabes exſiſtant. Hinc enim bilis & pituitae origines, humores morboſi, & humorum putrefactiones, tenues quidem, ſi in profundo ſint: [curatu] difficiles, quorum principia ex oſſibus generantur: moleſtae vero [ipſo ſenſu] quae ex medulla accenduntur. Poſtremi autem ſunt morbi, ſpiritus, bilis, pituita: dum & augentur & influunt in ſedes alienas, vel locos corporis principales. tunc enim meliorem locum occupant, cognatiſque depulſis ſedes figunt, & affictis corporibus in haec ipſa diſſolvuntur. Et corporis quidem hae ſunt affectiones, & ex his animi complures morbi exſiſtunt: ſed alii alias habent poteſtates: ſentiendi quidem facultatem, ſtupor: memoriae vim, oblivio: appetendi, ſtomachi faſtidium, vel nimius appetitionis ardor: patiendi, ferae affectiones & oeſtro percitae rabies: rationis participem animi

θεες· λογικᾶς δὲ, ἀμαθία καὶ ἀφροσύνα. ἀρχαὶ δὲ κακίας, ἄδοναὶ καὶ λύπαι, ἐπιθυμίαι τε καὶ φόβοι, ἐξαμμέναι μὲν ἐκ σώματος, ἀνακεκραμέναι δὲ τᾷ ψυχᾷ, καὶ ἐξαγγελλόμεναι ὀνόμασι ποικίλοις· ἔρωτες γὰρ καὶ πόθοι, ἵμεροί τε ἔκλυτοι, ὀργαί τε σύντονοι, καὶ θυμοὶ βαρεῖς, ἐπιθυμίαι τε ποικίλαι, καὶ ἄδοναὶ ἄμετροι ἐνεῖ. ἁπλῶς δὲ, ἀτόπως ἔχειν ποτὶ τὰ πάθη, καὶ ἄρχεσθαι, πέρας ἀρετᾶς καὶ κακίας ἐσί. τὸ γὰρ πλεονάζειν ἐν ταύταις, ἢ κάρβονα αὐτᾶν εἶμεν, ὦ ἢ κακῶς ἄμμε διατιθῆσι. ποτὶ δὲ ταύτας τὰς ὁρμὰς μεγάλα μὲν συνεργεῖν δύνανται αἱ τῶν σωμάτων κράσιες, ὀξεῖαι ἢ θερμαὶ, ἢ ἄλλοτ' ἀλλοῖαι γιγνόμεναι, ἔς τε μελαγχολίας καὶ λαγνείας λαβροτάτας ἄγοισαι ἄμμε. καὶ ῥευματιζόμενα μέρεα δαξασμὼς ποιοῦντι καὶ μορφὰς φλεγμαινόντων σωμάτων μᾶλλον ἢ ὑγιαινόντων· δι' ὧν δυσθυμίαι καὶ λῆθαι, παραφροσύναι τε καὶ πτοῖαι ἀπεργάζονται. ἱκανὰ δὲ τὰ ἔθεα, ἐν οἷς p. 103 a. b.

facultatem, indocilitas, imperitia & insipientia. Vitiositatis autem principia sunt, voluptates & dolores, cupiditates & timores, ex corpore quidem accensae, sed in animam quasi immixtae: ac proinde ex variis effectis varias sortiuntur appellationes. Nam amores, desideria, dissolutae cupidines, irae concitatae, graves excandescentiae, cupiditates variae, cupiditates denique infinitae ex his motibus animo exsistunt. In summa vero, ita comparatum esse, ut importuno quodam & absurdo cupiditatum imperio animus subiiciatur, est virtutis & vitii terminus. nam in his vel multum esse vel superiorem, nos vel bene vel male affectos reddit. Ad hos animi impetus multum afferunt adiumenti corporis temperamenta, quae vel vehementia fuerint & fervida, vel alio quopiam modo affecta atque composita, prout varii sunt multiplicesque motus: & ad atras biles & effusissimas libidines nos abripiunt. Fluxionibus autem illis irritatae quaedam partes inducunt acres morsus, formasque tumescentium potius, quam sanorum corporum: per quas tristitiae & obliviones, & desipientiae & consternationes incidunt. Multum etiam possunt consuetu-

ἂν ἐντραφῶσι κατὰ πόλιν ἢ οἶκον, καὶ ἃ καθ' ἡμέραν δίαιτα, θρύπτουσα τὰν ψυχαν, ἢ ῥωννῦσα ποτ' ἀλκάν. ται γὰρ θυραυλιαι, καὶ ἁπλαι τροφαι, καὶ τα γυμνάσια, καὶ τὰ ἤθεα τῶν συνόντων, τα μέγιστα δύνανται ποτὶ ἀρετὰν καὶ
c. ποτι κακιαν. καὶ ταυτα μεν αἴτια ἐκ τῶν γενετόρων καὶ στοιχείων ἐπάγεται μᾶλλον ἢ ἐξ ἀμέων, ὅτι μὴ ἀργεία ἐξιν, ἀφισαμένων ἁμῶν τῶν ποθηκόντων ἔργων. ποτι δὲ τὸ εὖ ἔχειν τὸ ζῶον, δεῖ τὸ σῶμα ἐχειν τὰς ὑπ' αὐτῷ ἀρετας, ὑγειαν τε καὶ εὐαισθησιαν, ἰσχύν τε καὶ κάλλος. ἀρχαὶ δὲ κάλλους, συμμετρια ποτι τ' αὐτα τὰ μέρεα καὶ ποτι τὰν ψυχάν. ἁ γὰρ Φύσις οἷον ὄργανον ἁρμόξατο τὸ σκᾶνος, ὑπακοῦόν τε εἶμεν καὶ ἐναρμόνιον ταις τῶν βίων ὑποθέσεσι.
d. δεῖ δὲ καὶ τὰν ψυχὰν ῥυθμίζεσθαι ποτι τὰς ἀναλόγως ἀρε-

dines, quibus quis vel in ea civitate, vel ea familia, in qua & natus & educatus fuerit, ſeſe conformarit. Accedit quotidiana vivendi ratio, animum vel frangens atque effeminans, vel contra ad gravitatem fortitudinemque corroborans. nam & ſub dio vitam agere, ſimplex tenuiſque alimentorum ratio, exercitationes, mores denique eorum, cum quibus verſaris, magnum habent ſive ad virtutem, ſive ad vitium momentum. Vitioſitas vero e parentibus noſtris & elementis potius oritur, quam ex incuria & publicorum morum intemperie: [cum videlicet ita ſimus comparati,] ut ab illis actionibus, quae nos ad primaevas illas parentum noſtrorum labes adducunt, nunquam abſcedamus. Ceterum, ut bene ſe habeat animal, eo corpore debet eſſe praeditum, quod eas virtutes, quibus ſanitas, ſenſuum ſubtilitas, robur, pulchritudo denique conſtare ei poſſit, cumulate complectatur. Pulchritudinis principia ſunt, partium congruentia atque concinnitas, quae & ſecum & cum animo ipſo apte conſpirent atque conveniant. Natura enim hoc corporis tabernaculum veluti inſtrumentum compoſuit, ut & obediens ſit, & ad omnes vitae rationes concinno quodam aptoque modo par eſſe poſſit. Animus quoque ad convenientes virtutes

τὰς· ποτὶ μὲν σωφροσύναν, οἷον ποτὶ ὑγείαν τὸ σῶμα· ποτὶ δὲ φρόνασιν, οἷον ποτὶ εὐαισθησίαν· ποτὶ δὲ ἀνδρειότατα, οἷον ποτὶ ῥώμαν καὶ ἰσχύν· ποτὶ δὲ δικαιοσύναν, οἷον ποτὶ κάλλος τὸ σῶμα. τουτέων δὲ, ἀρχαὶ μὲν ἐκ φύσεως· μέσα δὲ καὶ περατὰ, ἐξ ἐπιμελείας· σωματός τε, διὰ γυμναστικᾶς καὶ ἰατρικᾶς· ψυχᾶς δὲ, διὰ παιδείας καὶ φιλοσοφίας. αὗται γὰρ ταὶ δυνάμιες τρέφοισαι καὶ τοι σῖσαι καὶ τὰ σώματα καὶ e.
τὰς ψυχὰς διὰ τόνων καὶ γυμνασίων, καὶ δικίτας καθαρώτατος, ταὶ μὲν διὰ φαρμακείᾶν, ταὶ δὲ παιδευτικαὶ τᾶν ψυχᾶν, διὰ κολασίων καὶ ἐπιπλαξίων. φωνεύουσι γὰρ, διὰ προτροπᾶν ἐργάσασθαι τὰν ὁρμὰν, καὶ ἐκκελευόμεναί τὰ ποτιφορα ποττὶ p.
ἔργα. ἀλειπτικὰ μὲν ἄν, καὶ ἁ ταύτα συγγενεχθέντα ἰατρι- 104
κὰ, σώματα ταχθεῖσα θεραπεῦεν, ἐς τὰν κρατίσταν ἁρμονίαν ἄγοισα τὰς δυνάμιας, τό, τε αἷμα καθαρὸν καὶ τὸ πνεῦμα συῤῥοον ἀπεργάζεται· ἴν' εἰ καί τι νοσῶδες ὑπογένοιτο,

conformandus eſt atque inſtituendus: nimirum ad temperantiam, veluti corpus ad ſanitatem: ad prudentiam vero, veluti ad ſenſuum ſubtilitatem: ad fortitudinem, veluti ad robur & vires: ad iuſtitiam, veluti corpus ad pulchritudinem. Harum virtutum primordia quidem ſunt ex natura: media vero & fines, ex diligentia: in corpore videlicet, gymnaſtices adiumento & medicinae; in animo autem, eruditionis & philoſophiae beneficio. Hae enim facultates nutriunt & roborant tum animos, tum corpora, laboribus, exercitationibus, puraque victus ratione: adhibitis partim medicamentis ad corpus reficiendum atque inſtaurandum, partim animi inſtitutione, caſtigationibus & reprehenſionibus. corroborant enim animum, dum cohortationum aculeis illius impetum exſuſcitant, & ad commodas fructuoſaſque actiones impellunt. Unctoria igitur ars, & quae huic cognata eſt Medicina, corporibus curandis deſtinata eſt: adque optimam harmoniam facultates illas adducens, purum ſanguinem ſpiritumque expedite fluentem reddit: ut, ſi quid etiam morboſum ſubſit, validis illis ſanguinis ſpirituſque fa-

κράτος αὐτοῦ ἔχοιεν ἐρρωμέναι ταὶ δυνάμιες αἵματος καὶ πνεύματος. μωσικὰ δὲ, καὶ ἁ ταύτας ἀγεμὼν Φιλοσοφία,
b. ἐπὶ τᾷ τᾶς ψυχᾶς ἐπανορθώσει ταχθεῖσαι ὑπὸ θεῶν τε καὶ νόμων, ἐθίζοντι καὶ πείθοντι, τὰ δὲ καὶ ποταναγκάζοντι, τὸ μὲν ἄλογον τῷ λογικῷ πειθεσθαι· τῷ δ' ἀλόγῳ θυμὸν μὲν πρᾶον εἶμεν, ἐπιθυμιαν δὲ ἐν ἀρεμίᾳ· ὡς μὴ δίχα λόγου κινέεσθαι, μηδὲ μὰν ἀτρεμιζειν τῶ νῶ ἐκκαλεομένω ἢ ποτὶ ἔργα ἢ ποτὶ ἀπολαύσιας. οὗτος γάρ ἐξιν ὅρος σωφροσύνας, εὐπειθειά τε καὶ καρτερία. καὶ σύνεσις, καὶ ἁ πρεσβύξα Φιλοσοφία, ἀποκαθαράμεναι ψεύδεα, ἐνέθηκαν τὰν ἐπιζή-
c. μαν, ἀνακαλεσάμεναι τὸν νόον ἐκ μεγάλας τᾶς ἀγνοίας, χαλάσασαι ἐς ὄψιν τῶν θείων· τοῖς ἐνδιατριβεν σὺν αὐταρκείᾳ τε ποτ' ἀνδρώπεια καὶ συνεργίᾳ, ἐπὶ τὸν σύμμετρον βίω χρόνον, εὔδαιμόν ἐξιν. ὁτῳ μὲν ὁ δαίμων μοίρας τάσδ' ἔλαχε, δι' ἀλαθεξάταν δόξαν ἄγεται ἐπὶ τὸν εὐδαιμονέξατον

cultatibus id valeant pervincere atque profligare. Iam vero Muſica, & huius dux Philoſophia, ad animi emendationem a Diis legibuſque conſtitutae, aſſuefaciunt & ſuadent & cogunt partem animi expertem rationis obtemperare rationi: ei autem parti, quae ſit expers rationis, manſuetam eſſe cicuramque iram: cupiditatem, quieſcere: hactenus videlicet, ut ipſae nec abſque ratione moveantur, nec contra quieſcant, cum ipſas mens vel ad actiones, vel ad fructum voluptatis provocaverit. Ille enim eſt temperantiae terminus, obedientia & tolerantia. Sed & intelligentia & antiqua illa auguſtaque philoſophia mentem mendacibus inanibuſque opinionibus expurgatam, & ex magna ignorantia revocatam, ſcientiae dedicarunt, eamque ad rerum divinarum contemplationem erexerunt. In quarum rerum cognitione ſi quis ita verſetur, ut animum gerat ſua ſorte contentum, humanoſque caſus ſub ſe poſitos habeat, & in hac animi aequitate quaſi ſecundo flumine ad moderatam temperatamque vitam aſpiret, is profecto viam ingreſſus eſt certae felicitatis. Et certe is, cui Deus has ſortes attribuerit, per veriſſimam opi-

βίον· εἰ δέ κά τις σκληρὸς καὶ ἀπειθὴς, τούτῳ δ' ἐπέσθω κόλασις ἃ τ' ἐκ τῶν νόμων καὶ ἃ ἐκ τῶν λόγων σύντονα ἐπάγοισα δείματά τε ἐπουράνια καὶ τὰ καθ' ᾅδεω, ὅτι κολάσιες d. ἀπαραίτητοι ἀπόκεινται δυσδαίμοσι νερτέροις· καὶ τἄλλα ὅσα ἐπαινέω τὸν Ἰωνικὸν ποιητὰν ἐκ παλαιᾶς ποιεῦντα τὼς ἐναγέως. ὡς γὰρ τὰ σώματα νοσώδεσι πόκα ὑγιάζομες, εἴ κα μὴ εἴκῃ τοῖς ὑγιεινοτάτοις, οὕτω τὰς ψυχὰς ἀπείργομες ψευδέσι λόγοις, εἴ κα μὴ ἄγηται ἀλαθέσι. λέγοιντο δ' ἀναγκαίως καὶ τιμωρίαι ξέναι, ὡς μετενδυομέναν τᾶν ψυχᾶν, τῶν μὲν δειλᾶν, ἐς γυναικέα σκάνεα, ποθ' ὕβριν ἐκδιδόμενα· τῶν δὲ e. μιαιφόνων, ἐς θηρίων σώματα, ποτὶ κόλασιν· λάγνων δ' ἐς συᾶν ἢ κάπρων μορφάς· κούφων δὲ καὶ μετεώρων, ἐς πτηνῶν ἀεροπόρων· ἀργῶν δὲ καὶ ἀπράκτων, ἀμαθῶν τε καὶ ἀνοήτων, ἐς τὰν τῶν ἐνύδρων ἰδέαν. ἅπαντα δὲ ταῦτα ἐν δευτέρᾳ περιόδῳ

nionem ad feliciſſimam vitam deducitur. ſi quis contra durus & praefractus fuerit, nec ſanctiſſimis illis praeceptis voluerit parere, eum poena conſequetur tum ex legibus, tum ex illorum ſermonum vocibus, quae & coeleſtes & infernas poenas denuntiant: Infelices videlicet manes implacabilia ſupplicia manere; & alia, quae Ionicus poëta ſcripſit ex vetere memoria repetita, ex quorum auditu animos hominum voluit ad religionem puritatemque informare. quo ſane nomine illius conſilium probo. quemadmodum enim corpora remediis quibuſdam morboſis ſanamus, niſi cedant ſaluberrimis, ita & animos falſis ſermonibus coërcemus, niſi ducantur veris. Hac igitur de cauſa hoc concedatur, quod neceſſario commemorentur peregrina ſupplicia, quaſi animae commigrent ultro citroque in varia corpora: ignavorum quidem, in corpora muliebria, corporibus tributis ad ignominiam: homicidarum, in ferarum corpora, ad poenam & ſupplicium: libidinoſorum, in ſuum vel aprorum formas: levium & temerariorum hominum, in ſpecies volantium animantium, quae in aëre ſolent verſari: ſegnium denique, otioſorum, imperitorum, ſtolidorum, in aquatilium ſpeciem. Omnia au-

p. 105 a. ἁ Νέμεσις συνδίκαρινε, σὺν δαίμοσσι παλαμναίοις χθονίοις τε, τοῖς ἐπόπταις τῶν ἀνθρωπίνων· οἷς ὁ πάντων ἀγεμὼν θεὸς ἐπέτρεψε διοίκησιν κόσμω συμπεπληραμένω ἐκ θεῶν τε καὶ ἀνθρώπων· τῶν τε ἄλλων ζώων, ὅσα δεδαμιούργηται πρὸς εἰκόνα τὰν ἀρίζαν εἴδεος ἀγενάτω καὶ αἰωνίω.

tem haec in ſecundo circuitu Nemeſis certo iudicio rata fixaque eſſe voluit, cum infernarum illarum furiarum numinibus: quibus humanarum rerum inſpectionem ſummus ille Deus, omnium imperator atque praeſes, attribuit: quibus etiam gubernationem mundi commiſit. qui quidem mundus & Diis, & hominibus, & ceteris animantibus conſtat, abſoluta plane omnibuſque numeris cumulata ratione. Et haec quidem omnia ad optimam illam ingenitae, aeternae, intelligibilis formae imaginem fuerunt creata.

ΚΡΙΤΙΑΣ

ΚΡΙΤΙΑΣ

Η

ΑΤΛΑΝΤΙΚΟΣ.

CRITIAS

SIVE

ATLANTICUS.

ARGUMENTUM.

Eſt hic dialogus, Timaei maioris appendix, De priſci mundi hiſtoria. Eſt ergo omnis huius diſputationis ſermo plane hiſtoricus: cuius finis & ſubiectum eſt primaevi illius ſeculi commemoratio. De Athenienſibus autem nominatim agit, qui ſe omnium Graecorum antiquiſſimos ferebant, tributa ſibi αὐτοχθόνων auguſta appellatione, ut ſe ſuas ſedes conſtanter tenuiſſe teſtarentur. quod quidem ad domeſticam Athenienſium laudem pertinebat maxime: idcirco a Platone patriae ſuae amante hoc accuratiſſime perſcriptum eſt; veriſimile tamen eſt, hanc omnem narrationem ex Aegyptiorum monumentis fuiſſe deſumtam, qui praeter ceteras nationes antiquitatis ius atque dignitatem ſibi arrogabant.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΚΡΙΤΙΟΥ ΠΡΟΣΩΠΑ

ΤΙΜΑΙΟΣ, ΚΡΙΤΙΑΣ, ΣΩΚΡΑΤΗΣ, ΕΡΜΟΚΡΑΤΗΣ.

p. 106 a. Ὡς ἄσμενος, ὦ Σώκρατες, οἷον ἐκ μακρᾶς ἀναπεπαυμένος ὁδοῦ, νῦν ὄντως ἐκ τῆς τοῦ λόγου διαπορείας ἀγαπητῶς ἀπήλλαγμαι. τῷ δὲ πρὶν μὲν πάλαι ποτ' ἔργῳ, νῦν δὲ λόγοις ἄρτι θεῷ γεγονότι, προσεύχομαι, τῶν ῥηθέντων ὅσα μὲν ἐρρήθη μετρίως, σωτηρίαν ἡμῖν αὐτὸν αὐτῶν διδόναι· b. παρὰ μέλος δὲ εἴ τι περὶ αὐτῶν ἄκοντες εἴπομεν, δίκην τὴν πρέπουσαν ἐπιτιθέναι. δικὴ δὲ ὀρθὴ, τὸν πλημμελοῦντα ἐμμελῆ ποιεῖν. ἵν' οὖν τολοιπὸν τοὺς περὶ θεῶν γενέσεως ὀρθῶς λέγοιμεν λόγους, φάρμακον ἡμῖν αὐτὸν τελεώτατον καὶ ἄριστον φαρμάκων ἐπισήμην εὐχόμεθα διδόναι. πρυσευξάμενοι δὲ παραδιδομεν, κατὰ τὰς ὁμολογίας, Κριτίᾳ τὸν ἑξῆς λόγον. ΚΡΙ. Ἀλλ', ὦ Τίμαιε, δέχομαι μὲν ὧδε, ᾧ σὺ καταρχὰς

DIALOGI CRITIAE PERSONAE

TIMAEUS, CRITIAS, SOCRATES, HERMOCRATES.

QUAM grata longum poſt iter defeſſo quies, o Socrates, tam mihi poſt longas diſputationis ambages dulce ſilentium. Mundum autem hunc, re quidem ipſa iamdiu, ſermone vero nuper Deum effectum, oro, ut ſi quid recte dictum eſt, ſervet ipſe nobis atque cuſtodiat: ſin autem indecens quidquam in ſuperioribus non ſponte protulimus, meritas a nobis exigat poenas. Debita vero eius, qui per ignorantiam negligentiamve erravit, poena eſt, ut ſciens & diligens efficiatur. Quamobrem ut poſthac rectius de Deorum generatione loquamur, medicinam nobis a Deo, medicinarum omnium perfectiſſimam ſaluberrimamque dari, ſcientiam exoptamus. Actis denique votis, ſequentem diſputationem Critiae, ut inter nos convenerat, iam concedimus. *Cri.* Accipio equidem, o Timaee: & quam

ἐχρήσω, συγγνώμην αἰτούμενος ὡς περὶ μεγάλων μέλλων c.
λέγειν, ταυτὸν καὶ νῦν ἐγὼ τοῦτο παραιτοῦμαι· μειζόνως δὲ
αὐτοῦ τυχεῖν ἔτι μᾶλλον ἀξιῶ περὶ τῶν μελλόντων ῥηθήσε- p.
σθαι. καίτοι σχεδὸν μὲν οἶδα παραιτησιν εὖ μάλα φιλότιμον 107
καὶ τοῦ δέοντος ἀγροικοτέραν μέλλων παραιτεῖσθαι, ῥητέον a.
δὲ ὅμως. ὡς μὲν γὰρ οὐκ εὖ τὰ παρὰ σοῦ λεχθέντα εἴρηται,
τίς ἂν ἐπιχειρήσειεν ἔμφρων λέγειν; ὅτι δὲ τὰ ῥηθησόμενα
πλείονος συγγνώμης δεῖται, χαλεπώτερα ὄντα, τοῦτο πειρα-
τέον πη διδαξαι. περὶ θεῶν γὰρ, ὦ Τιμαιε, λέγοντά τι πρὸς
ἀνθρώπους, δοκεῖν ἱκανῶς λέγειν, ῥᾷον ἢ περὶ θνητῶν ἢ πρὸς b.
ὑμᾶς. ἡ γὰρ ἀπειρία καὶ σφοδρὰ ἄνοια τῶν ἀκουόντων περὶ
ὧν ἂν οὕτως ἔχωσι, πολλὴν εὐπορίαν παρέχεσθον τῷ μέλ-
λοντι λέγειν τι περὶ αὐτῶν· περὶ δὲ δὴ θεῶν ἴσμεν ὡς ἔχο-
μεν. ἵνα δὲ σαφέστερον ὃ λέγω δηλώσω, τῇδέ μοι συνεπισπέ-
σθε. μίμησιν γὰρ δὴ καὶ ἀπεικασιαν τὰ παρὰ πάντων ἡμῶν
ῥηθέντα χρεών που γεγέσθαι. τὴν δὲ τῶν γραφέων εἰδωλο-
ποιϊκὴν περὶ τὰ θεῖά τε καὶ ἀνθρώπινα σώματα γιγνομένην

tu ſupra veniam petiſti, tanquam de rebus magnis diſputaturus, eandem ego nunc peto. immo vero maiorem quoque veniam in iis, quae reſtant, tribuendam exiſtimo: quamquam ſcio, procacem quodammodo ruſticamque petitionem hanc meam videri poſſe. dicendum tamen. Quod quidem non recte abs te ſuperiora dicta ſint, nemo ſanae mentis obiecerit: quod autem, quae reſtant dicenda, utpote difficiliora, maiorem exigant indulgentiam, conabor oſtendere; quandoquidem facilius eſt, ut qui de Diis apud homines diſſerit, ſatis commode dicere videatur, quam qui de mortalibus apud vos quidem. imperitia namque & ignoratio audientium magnam copiam ad ea, quae ignota ſunt, effingenda, praeſtare dicentibus conſuevit: quomodo vero ſciamus Deorum naturam, & cognitam habeamus, non ignoramus. Ut autem quod ſentio planius vobis aperiam, ſic attendite. Quaecunque a nobis dicuntur, tanquam imitationem quandam ſimilitudiniſque expreſſionem exiſtimare debemus. Neque nos latet, quae

c. ἴσωμεν ῥᾳῳσύνης τε πέρι καὶ λεπτότητος, πρὸς τοῖς ὁρῶσι δοκεῖν ἀποχρώντως μὲν μιμεῖσθαι· καὶ κατοψόμεθα ὅτι γῆν μὲν καὶ ὄρη καὶ ποταμοὺς καὶ ὕλην, οὐρανόν τε ξύμπαντα, καὶ τὰ περὶ αὐτὸν ὄντα καὶ ἰόντα, πρῶτον μὲν ἀγαπῶμεν ἄν τισι καὶ βραχὺ πρὸς ὁμοιότητα αὐτῶν ἀπομιμεῖσθαι δυνατὸς ᾖ· πρὸς δὲ τούτοις, ἅτε οὐδὲν εἰδότες ἀκριβὲς περὶ τῶν τοιούτων, οὔτε ἐξετάζομεν οὔτε ἐλέγχομεν τὰ γεγραμμένα,
d. σκιαγραφίᾳ δὲ ἀσαφεῖ καὶ ἀπατηλῷ χρώμεθα περὶ αὐτά· τὰ δὲ ἡμέτερα ὁπόταν τὶς ἐπιχειρῇ σώματα ἀπεικάζειν, ὀξέως αἰσθανόμενοι τὸ παραλειπόμενον, διὰ τὴν ἀεὶ ξύνοικον κατανόησιν, χαλεποὶ κριταὶ γιγνόμεθα τῷ μὴ πάσας πάντως τὰς ὁμοιότητας ἀποδιδόντι. ταυτὸν δὴ καὶ κατὰ τοὺς λόγους ἰδεῖν δεῖ γιγνόμενον, ὅτι τὰ μὲν οὐράνια καὶ θεῖα ἀγαπῶμεν καὶ σμικρῶς εἰκότα λεγόμενα, τὰ δὲ θνητὰ καὶ τἀνθρώπινα
e. ἀκριβῶς ἐξετάζομεν. ἐκ δὴ τοῦ παραχρῆμα νῦν λεγόμενα, τὸ πρέπον ἂν μὴ δυνώμεθα πάντως ἀποδιδόναι, συγγιγνώ-

in pictorum effectione circa divina humanave corpora vel facilitas, vel difficultas sit, ad hoc, ut sufficienter ea repraesentasse spectantibus videantur. Profecto, cum terram pingunt & montes, flumina, silvas, coelumque omne, quaeve circa coelum consistunt & quae vagantur, primum quidem satis putamus factum, si quis vel exiguam quandam referre possit earum rerum imaginem: deinde, utpote talium prorsus ignari, nec examinamus quidem pictorum opera, neque etiam redarguimus, sed confusa quadam adumbratione fallacique utimur. cum vero quis fingere aggreditur nostrorum corporum similitudinem, tunc propter familiarem ipsam rerum nostrarum animadversionem acutius errata persentimus, severique & acres iudices exactoresque sumus adversus eum, qui non singula lineamenta coloresque expresserit. Idem quoque in sermonibus intueri licet. nam satis esse putamus, si de coelestibus divinisque rebus quidquam, vel parum quod conveniens est, afferatur: mortalia vero humanaque opera exacte nimium examinare solemus. Quamobrem, si minus pro

σκειν χρεών. οὐ γὰρ ὡς ῥᾴδια τὰ θνητὰ, ἀλλ' ὡς χαλεπὰ
πρὸς δόξαν ὄντα ἀπεικάζειν, δεῖ διανοεῖσθαι. ταῦτα δὴ βου-
λόμενος ὑμᾶς ὑπομνῆσαι, καὶ τὸ τῆς συγγνώμης οὐκ ἔλατ- p.
τον ἀλλὰ μεῖζον αἰτῶν περὶ τῶν μελλόντων ῥηθήσεσθαι, 108
πάντα ταῦτα εἴρηκα, ὦ Σώκρατες· εἰ δὲ δὴ δικαίως αἰτεῖν a.
φαίνομαι, τὴν δωρεὰν ἑκόντες δίδοτε. ΣΩ. Τί δ' οὐ μέλλο-
μεν, ὦ Κριτία, διδόναι; καὶ πρός γ' ἔτι τρίτῳ διδόσθω ταυ-
τὸν τοῦτο Ἑρμοκράτει παρ' ἡμῶν. δῆλον γὰρ ὡς ὀλίγον ὕστε-
ρον, ὅταν αὐτὸν δέῃ λέγειν, παρκιτήσεται καθάπερ ὑμεῖς. ἵν'
οὖν ἑτέραν ἀρχὴν ἐκπορίζηται, καὶ μὴ τὴν αὐτὴν ἀνάγκα- b.
σθῇ λέγειν, ὡς ὑπαρχούσης αὐτῷ συγγνώμης ἴσω, οὕτω τε
λεγέτω. προλέγω γεμὴν, ὦ φίλε Κριτία, σοὶ τὴν τοῦ θεά-
τρου διάνοιαν, ὅτι θαυμαστῶς ὁ πρότερος εὐδοκίμησεν ἐν αὐτῷ
ποιητής· ὥστε τῆς συγγνώμης δεήσει τινὸς σοὶ παμπόλλης,
εἰ μέλλεις αὐτὰ δυνατὸς γενέσθαι παραλαβεῖν. ΕΡ. Ταυτὸν
μὲν, ὦ Σώκρατες, κἀμοὶ παραγγέλλεις ὅπερ τῷδε. ἀλλὰ
γὰρ ἀθυμοῦντες ἄνδρες οὕπω τρόπαιον ἔστησαν, ὦ Κριτία. c.

dignitate, quae ſtatim ſunt dicenda, tractabimus, ignoſcere decet. neque enim facile, immo certe difficile, mortalia ad opinionem imitatione ipſa exprimi poſſe putanda ſunt. Haec itaque omnia dixi, o Socrates, cupiens & vos admonere, & maiorem a vobis veniam ad ea, quae reſtant, expetere. vos autem, ſi iuſta petere videor, ultro hanc veniam largiamini. *So.* Quidni, o Critia, tibi demus? quin etiam Hermocrati hoc idem a nobis tertio detur. conſtat enim, hunc paulo poſt, cum dicturus erit, eadem precaturum. Ut igitur aliter exordiatur, neque eadem cogatur repetere, ſciat, veniam ſibi eſſe tributam, &, quaſi id conſtet, ad dicendum protinus accingatur. Praedico autem tibi, o amice Critia, mentem ac iudicium auditorum: mirabiliter enim primus, qui in eo dixit, poëta probatus eſt. quapropter admodum tibi venia opus erit, ſi officium ſucceſſoris recte praeſtiteris. *Her.* Idem mihi, o Socrates, quod & huic nuntias. ceterum ſegnes puſillanimeſque nunquam palmam conſecuti ſunt, Critias. ſermo-

προϊέναι τε οὖν ἐπὶ τὸν λόγον ἀνδρείας χρὴ, καὶ τὸν παιᾶνά τε καὶ τὰς Μούσας ἐπικαλούμενον, τοὺς παλαιοὺς πολίτας ἀγαθοὺς ὄντας ἀναφαίνειν τε καὶ ὑμνεῖν. ΚΡ. Ὦ φίλε Ἑρμόκρατες, τῆς ὑστεραίας τεταγμένος, ἐπίπροσθεν ἔχων ἄλλον, ἔτι θαρρεῖς. τοῦτο μὲν οὖν οἷόν ἐστιν, αὐτός σοι τάχα δηλώσει. παραμυθουμένῳ δ' οὖν καὶ παραθαρρύνοντί σοι πει-
d. θέον· καὶ πρὸς οἷς θεοῖς εἶπες, τούς τε ἄλλους κλητέον, καὶ δὴ ταμάλιστα τὴν Μνημοσύνην. σχεδὸν γὰρ τὰ μέγιστα ἡμῖν τῶν λόγων ἐν ταύτῃ τῇ θεῷ πάντ' ἐστί. μνησθέντες γὰρ ἱκανῶς καὶ ἀπαγγείλαντες τὰ ποτὲ ῥηθέντα ὑπὸ τῶν ἱερέων, καὶ δεῦρο ὑπὸ Σόλωνος κομισθέντα σχεδὸν, οἵσθ' ὅτι καὶ τῷδε τῷ θεάτρῳ δόξομεν τὰ προσήκοντα μετρίως ἀπιστετελεκέναι. τοῦτ' οὖν αὐτὸ ἤδη δραστέον, καὶ μελλητέον οὐδὲν ἔτι.
e. πάντων δὴ πρῶτον μνησθῶμεν, ὅτι τὸ κεφάλαιον ἦν ἐννακις ἔτη χίλια ἀφ' οὗ γεγονὼς ἐμηνύθη πόλεμος τοῖς θ' ὑπὲρ Ἡρακλείας στήλας ἔξω κατοικοῦσι καὶ τοῖς ἐντὸς πᾶσιν· ὃν δεῖ νῦν διαπεραίνειν. τῶν μὲν οὖν ἥδε ἡ πόλις ἄρχουσα καὶ

nem igitur aggredi forti animo decet, ac, Phoebo Muſisque vocatis, antiquos cives, excellentes viros, ſummis laudibus illuſtrare. *Cri.* O amice Hermocrates, quia poſtera tibi dies aſſignata eſt, dicentemque alium es ſecuturus, ideo confidis. quale vero id ſit, ipſe forſitan declarabit. Exhortanti itaque tibi, & ad rem ipſam penitus inflammanti, parendum: ac praeter Deos, quos tu memorabas, alios inſuper invocare decet, praecipueque Mnemoſynem, id eſt, memoriam: in qua Dea praecipua orationis noſtrae momenta ſunt ſita. Nempe ſi ſufficienter meminerimus recenſuerimuſque nunc vobis, quae quondam a ſacerdotibus tradita, a Solone huc advecta fuerunt, videbimur theatro huic, ut arbitror, ſatis officio noſtro functi. Hoc itaque iam agendum, neque ultra cunctandum. Primum autem commemoremus, ſummam eſſe annorum novem millium, ex quo bellum exſtitiſſe traditum eſt inter eos omnes, qui ultra, & eos, qui circa columnas Herculis habitabant, quod in praeſentia enarraturi ſumus. Ho-

πάντα τὸν πόλεμον διαπολεμήσασα ἐλέγετο· τῶν δ' οἱ τῆς Ἀτλαντίδος νήσου βασιλεῖς, ἣν δὴ Λιβύης καὶ Ἀσίας μείζω νῆσον οὖσαν ἔφαμεν εἶναί ποτε, νῦν δὲ ὑπὸ σεισμῶν δυσανάπορον πηλόν. τοῖς δ' ἐνθένδε ἐκπλέουσιν ἐπὶ τὸ πᾶν πέλαγος, ὥστε μηκέτι πορεύεσθαι κωλυτὴν παρασχεῖν. τὰ μὲν δὴ πολλὰ ἔθνη βάρβαρα, καὶ ὅσα Ἑλλήνων ἦν τότε γένη, καθ' ἕκαστα ἡ τοῦ λόγου διέξοδος οἷον ἀνειλουμένη, τὸ προστυχὸν ἑκάστοις δηλώσει· τὸ δὲ Ἀθηναίων τε τῶν τότε καὶ τῶν ἐναντίων, ὡς διεπολέμησαν, ἀνάγκη κατ' ἀρχὰς διελθεῖν πρῶτα, τήν τε δύναμιν ἑκατέρων καὶ τὰς πολιτείας. αὐτῶν δὲ τούτων τὰ τῇδε ἔμπροσθεν προτιμητέον εἰπεῖν. θεοὶ γὰρ ἅπασαν γῆν ποτε κατὰ τοὺς τόπους διελάγχανον, οὐ κατ' ἔριν (οὐ γὰρ ἂν ὀρθὸν ἔχοι λόγον, θεοὺς ἀγνοεῖν τὰ πρέποντα ἑκάστοις αὐτῶν, οὐδ' αὖ γινώσκοντας τὸ μᾶλλον ἄλλοις προσῆκον, τοῦτο ἑτέρους αὐτοῖς δι' ἐριδῶν ἐπιχειρεῖν κτᾶσθαι) δίκῃ δὲ κλήροις τὰ φίλων λαγχάνοντες κατῴκιζον τὰς χώ-

p. 109 a.

b.

rum quidem dux fuit haec civitas, bellumque omne, ut dicitur, confecit: illorum autem insulae Atlanticae reges, quam insulam Libya Asiaque maiorem fuisse quandoque perhibuimus, postea vero coenum ibi invium, submersa insula, ex terrae concussione relictum, quod quidem hinc illuc altum in mare navigantibus obstat, ne ultra enavigare liceat. Gentes quidem barbaras, quae tunc erant, Graecasque generatim orationis ipsius progressus passim, prout occasio dabitur, enarrabit: Athenienſium autem, qui tunc erant, adversariorumque vires inprimis respublicasque, & belli ordinem atque successum, exponere decet. Horum vero ipsorum, nostra primum narrabimus. Dii quondam universae terrae orbem sigillatim sortiti sunt, in regiones singulas distributum. Neque partitionem hanc contentio fecit. nam procul a ratione id esset; quod Dii vel quae unicuique ipsorum conveniunt, ignorarent, vel cognoscentes, quae potius aliis competunt, aliena iura vicissim usurpare contenderent. Ceterum iudicii iurisque sortibus sua quique ad votum suscipientes,

ρας· καὶ κατοικίσαντες, οἷον νομεῖς κτήματα καὶ ποίμνια καὶ
θρέμματα ἑαυτῶν ἡμᾶς ἔτρεφον· πλὴν οὐ σώμασι σώματα
βιαζόμενοι, καθάπερ ποιμένες κτήνη πληγῇ νέμοντες, ἀλλ'
c. ἢ μάλιστα διάνοιαν οὕτως ἄγοντες τὸ θνητὸν ἅπαν ἐκυβέρ-
νων. ἄλλοι μὲν οὖν κατ' ἄλλους τόπους κληρουχήσαντες
θεῶν ἐκεῖνα ἐκόσμουν· Ἥφαιστος δὲ κοινὴν καὶ Ἀθηνᾶ φύσιν
ἔχοντες, ἅμα μὲν ἀδελφὴν ἐκ ταυτοῦ πατρὸς, ἅμα δὲ φι-
λοσοφίᾳ φιλοτεκνίᾳ τε ἐπὶ τὰ αὐτὰ ἐλθόντες, οὕτω μίαν
ἄμφω λῆξιν, τήνδε τὴν χώραν εἰλήχατον, ὡς οἰκείαν καὶ
πρόσφορον ἀρετῇ καὶ φρονήσει πεφυκυῖαν. ἄνδρας δὲ ἀγαθοὺς
d. ἐμποιήσαντες αὐτόχθονας, ἐπὶ νοῦν ἔθεσαν τὴν τῆς πολι-
τείας τάξιν· ὧν τὰ μὲν ὀνόματα σέσωται, τὰ δὲ ἔργα, διὰ
τὰς τῶν παραλαμβανόντων φθορὰς, καὶ τῷ μήκει τῶν χρό-
νων, ἠφανίσθη. τὸ γὰρ περιλειπόμενον ἀεὶ γένος (ὥσπερ καὶ
πρόσθεν ἐρρήθη) κατελείπετο ὄρειον καὶ ἀγράμματον, τῶν

curanteſque amicorum ſingula, regiones habitandas diſpoſuerunt: hoſque veluti greges ipſorum poſſeſſioneſque & armenta nutrivere, hoc tamen excepto, quod corporibus corpora cogere noluerunt, quemadmodum plagis pecora iumentaque paſtores ſolent: at vero tanquam docile & obediens animal, quaſi ex puppe navem agilem dirigentes, perſuaſione pro gubernaculis utebantur, eaque animam attingebant, & pro arbitrio ſuo ita ducentes mortale genus, omne gubernabant. Et alii quidem Dii, aliorum locorum gubernationem ſortiti, ea inſtituebant. Vulcanus autem Minervaque, naturam habentes communem, tum quia eodem ex patre ſunt, tum quia per ſapientiae ſtudium perque artium diligentiam ad eadem tendunt, ita communem ſortem hanc nacti ſunt regionem, utpote virtuti prudentiaeque natura propriam atque congruam: procreanteſque in ea viros indigenas admodum generoſos, eorum mentibus reipublicae ordinem infuderunt. Quorum dumtaxat nomina ſuperſunt, opera vero, eorum, qui ſucceſſerunt, interitu, & longo temporum intervallo, e memoria hominum deleta ſunt. Semper enim ſuperſtes homi-

ἐν τῇ χώρᾳ δυναξῶν τὰ ὀνόματα ἀκηκοὸς μόνον, καὶ βραχέα
πρὸς αὐτοῖς τῶν ἔργων. τὰ μὲν οὖν ὀνόματα τοῖς ἐκγόνοις
ἐτίθεντο ἀγ απῶντες· τὰς δὲ ἀρετὰς καὶ τοὺς νόμους τῶν ἔμ- c.
προσθεν οὐκ εἰδότες, εἰ μὴ σκοτεινὰς περὶ ἑκάστων τινὰς ἀκοάς,
ἐν ἀπορίᾳ δὲ τῶν ἀναγκαίων ἐπὶ πολλὰς γενεὰς ὄντες καὶ
αὐτοὶ καὶ παῖδες, πρὸς οἷς ἠτόρουν τὸν νοῦν ἔχοντες, τούτων
πέρι καὶ τοὺς λόγους ποιούμενοι, τῶν ἐν τοῖς πρόσθεν καὶ P.
πάλαι ποτὲ γεγονότων ἠμέλουν. μυθολογία γὰρ, ἀναζήτη- 110
σίς τε τῶν παλαιῶν, μετὰ σχολῆς ἅμ' ἐπὶ τὰς πόλεις ἔρχε- d.
σθον, ὅταν ἱδρυτόν τισιν ἤδη τοῦ βίου τἀναγκαῖα κατεσκευασ-
μένα πρὶν δὲ, οὔ. ταυτῇ δὴ τὰ τῶν παλαιῶν ὀνόματα ἄνευ
τῶν ἔργων διασέσωσαι. λέγω δὲ αὐτὰ, τεκμαιρόμενος ὅτι Κέ-
κροπός τε καὶ Ἐρεχθέως καὶ Ἐριχθονίου καὶ Ἐρισίχθονος,
τῶν τε ἄλλων τὰ πλεῖστα ὅσά περ καὶ Θησέως τῶν ἄνω περὶ b.
τῶν ὀνομάτων ἑκάστων ἀπομνημονεύεται, τούτων ἐκείνους τὰ
πολλὰ ἐπονομάζοντας τοὺς ἱερέας Σόλων ἔφη τὸν τότε διη-

num genus, ut in ſuperioribus diximus, montivagum atque rude, cui potentum in regione virorum nomina ſolum audita: at praeter haec ex rebus geſtis exiguae quaedam notae fuerunt. Quapropter filiis ſuis poſteri quodam amoris affectu nomina priſcorum impoſuerunt, virtutum legumque ſuperiorum ignari: nihil enim ex his habebant, praeter famam, & eam non ſatis certam. cum vero multa per ſecula rebus ad victum neceſſariis indigerent, ipſique & filii mentem his adhiberent, quorum penuria premebantur, deque his verba facerent, rerum antiquarum memoriam neglexerunt. Confabulatio enim priſcarumque rerum inveſtigatio in civitatibus cum otio ſimul oriri conſueverunt, cum neceſſaria vitae parata iam ſunt: prius vero nequaquam. Atque ita priſcorum nomina ſunt abſque operibus reſervata. Dico autem haec ita coniectans, quoniam inquit Solon, ſacerdotes illos in veteris belli narratione plurima inſeruiſſe nomina poſteris perſimilia, ut Cecropem, Erechtheum, Erichthonium, Eriſichthonem, aliaque ex his, quae ſupra Theſeum memorantur. Mulierum

γεῖσθαι πόλεμον, καὶ τὰ τῶν γυναικῶν καὶ ταῦτα. καὶ δὴ
καὶ τὸ τῆς θεοῦ σχῆμα καὶ ἄγαλμα, ὡς κοινὰ τότ' ἦν τὰ
ἐπιτηδεύματα ταῖς γυναιξὶ καὶ τοῖς ἀνδράσι τὰ περὶ τὸν πό-
λεμον, οὕτω κατ' ἐκεῖνον τὸν χρόνον ὡπλισμένην τὴν θεὰν
ἀνάθημα εἶναι τοῖς τότε· ἐνδείγμα ὅτι πάντ' ὅσα ξύννομα
c. ζῷα θήλεα, καὶ ὅσα ἄρρενα, τὴν προσήκουσαν ἀρετὴν ἑκάσῳ
γένει πᾶν κοινῇ δυνατὸν ἐπιτηδευειν πέφυκεν. ᾤκει δὲ τότ' ἐν
τῇδε τῇ χώρᾳ τὰ μὲν ἄλλα ἔθνη τῶν πολιτῶν, περὶ τὰς δη-
μιουργίας ὄντα καὶ τὴν ἐκ τῆς γῆς τροφήν· τὸ δὲ μάχιμον,
ὑπ' ἀνδρῶν θείων κατ' ἀρχὰς ἀφορισθὲν, ᾤκει χωρὶς, πάντα
εἰς τροφὴν καὶ παιδευσιν τὰ προσήκοντα ἔχον· ἴδιον μὲν αὐ-
τῶν οὐδεὶς οὐδὲν κεκτημένος, ἅπαντα δὲ πάντων κοινὰ νομί-
d. ζοντες αὐτῶν· πέρα δὲ ἱκανῆς τροφῆς οὐδὲν ἀξιοῦντες παρὰ
τῶν ἄλλων δέχεσθαι πολιτῶν· καὶ πάντα δὴ τα χθὲς λε-
χθέντα ἐπιτηδεύματα ἐπιτηδεύοντες, ὅσα περὶ τῶν ὑποτε-
θέντων ἐρρήθη φυλάκων. καὶ δὴ τὸ περὶ τῆς χώρας ἡμῶν πι-
θανὸν καὶ ἀληθὲς ἐλέγετο, πρῶτον μὲν, τοὺς ὅρους αὐτὴν

quoque nomina ſimiliter atque opera eadem, Deaeque Palladis figuram & ſtatuam, ita ut belli ſtudia viris tunc eſſent mulieribuſque communia. Nempe ea tempeſtate armatam Deam palam cultam fuiſſe, exemplum daturam omnibus, quod in ſingulis animalium gregibus, mas, feminaque fortis eiuſdem, pro generis cuiuſque virtute ita natura inſtituta ſunt, ut aggredi omnia communiter valeant. Habitabant profecto tunc in hac regione alia genera civium, qui in artium operibus & agricultura verſabantur. milites autem, a divinis viris principio ſegregati, ſeorſum vivebant, habentes omnia, tum ad alimenta, tum ad educationem conferentia. quorum nullus proprium aliquid poſſidebat: nam communia inter ſe cuncta exiſtimabant. ultra vero victus ipſius ſufficientiam nihil ab aliis civibus exigebant: exercebantque ea omnia, quae heri de cuſtodibus, quos deſcripſimus, expoſita ſunt. Quin etiam vere illud & probabiliter de regione noſtra eſt dictum: primum quidem, illis temporibus fines ſuos hinc quidem ad

ἐν τῷ τότε ἔχειν ἀφωρισμένους πρὸς τὸν Ἰσθμὸν, καὶ τὸ
κατὰ τὴν ἄλλην Ἤπειρον, μέχρι τοῦ Κιθαιρῶνος καὶ Πάρ-
νηθος τῶν ἄκρων. καταβαίνειν δὲ τοὺς ὄρους ἐν δεξιᾷ τὴν e.
Ὠρωπίαν ἔχοντας, ἐν ἀριστερᾷ δὲ πρὸς θαλάσσῃ ἀφορίζον-
τας τὸν Ἀσωπόν· ἀρετῇ δὲ πᾶσαν γῆν ὑπὲρ τῆς ἐνθάδε ὑπερ-
βάλλεσθαι. δ.ὸ καὶ δυνατὴν εἶναι τότε τρέφειν τὴν χώραν
στρατόπεδον πολὺ τὸ τῶν περισίκων. μέγα δὲ τεκμήριον ἀρε-
τῆς· τὸ γὰρ νῦν αὐτῆς λειψανον ἐναμιλλόν ἐστι πρὸς ἥτινοῦν,
τῷ πάμφορον εὐκαρπόν τε εἶναι, καὶ τοῖς ζώοις πᾶσιν εὔβο-
τον. τότε δὲ, πρὸς τῷ κάλλει καὶ πεμπληθεῖ ταῦτα ἔφερε p.
πῶς οὖν δὴ τοῦτο πιστόν; καὶ κατὰ τί λειψανον τῆς τότε γῆς 111
ὀρθῶς ἂν λέγοιτο; πᾶσα ἀπὸ τῆς ἄλλης ἠπείρου μακρὰ προ- a.
τείνουσα εἰς τὸ πέλαγος οἷον ἄκρα κεῖται· τὸ δὴ τῆς θαλάσ-
σης βάθος περὶ αὐτὴν τυγχάνει πᾶν, ἀγχιβαθὲς ὄν. πολ-
λῶν οὖν γεγονότων καὶ μεγάλων κατακλυσμῶν ἐν τοῖς ἐν-
νακισχιλιοις ἔτεσι (τοσαῦτα γὰρ πρὸς τὸ νῦν ἀπ' ἐκείνου
τοῦ χρόνου γέγονεν ἔτη) τὸ τῆς γῆς ἐν τούτοις τοῖς χρόνοις b.

Iſthmum habuiſſe porrectos: iſtinc vero verſus Epirum, ad ſummum Cithaeronem atque Parnethem. qui fines ipſo deſcenſu ad dexteram Oropiam attingant, ad ſiniſtram verſus mare, Aſopo excluſo. virtute vero univerſam terram ab hac exſuperatam fuiſſe traditur. quapropter potuiſſe tunc regionem hanc univerſum accolarum exercitum alere. Argumentum plane virtutis eius evidentiſſimum, quia, quod ex ea reliquum eſt, cum quavis alia hoc ipſo certare poteſt, quod & fert omnia, & fructus profert optimos, paſcuiſque abundat animali cuique accommodatis. tunc vero non modo ſpecioſa haec omnia, ſed etiam uberrima producebat. Quanam ratione id probabile? quibuſve indiciis, has eſſe reliquias illius terrae, coniectari poteſt? Omnis ab alia continenti, in pelagus longa velut promontoria porrigens, iacet: quam altitudo maris proxima paſſim profunditate circumdat. Cum itaque multa ingentiaque diluvia annorum novem millium intervallo praeterierint, (tot enim ex illo tempore ad

καὶ πάθεσιν ἐκ τῶν ὑψηλῶν ἀπιῤῥέον, οὔτε χῶμα, ὡς ἐν ἄλλοις τόποις, προχοῖ λόγου ἄξιον, ἀεί τε κύκλῳ περιῤῥέον εἰς βάθος ἀφανίζεται. λέλειπται δή, καθάπερ ἐν ταῖς σμικραῖς νήσοις, πρὸς τὰ τότε τὰ νῦν, οἷον νοσήσαντος σώματος ὀξᾶ, περιεῤῥυηκυίας τῆς γῆς ὅση πίειρα καὶ μαλακή, τοῦ λεπτοῦ σώματος τῆς χώρας μόνου λειφθέντος. τότε δὲ ἀκέραιος οὖ-
c. σα, τά τε ὄρη γηλόφους ὑψηλοὺς εἶχε, καὶ τὰ Φελλέως νῦν ὀνομασθέντα πεδία πλήρη γῆς πιείρας ἐκέκτητο, καὶ πολλὴν ἐν τοῖς ὄρεσιν ὕλην εἶχεν· ἧς καὶ νῦν ἔτι φανερὰ τεκμήρια. τῶν γὰρ ὀρῶν ἐστιν ἃ νῦν μὲν ἔχει μελίττοις μόναις τροφήν, χρόνος δ' οὐ πάμπολυς ὅτε δένδρων αὐτόθεν εἰς οἰκοδομὴν εἰς τὰς μεγίστας ἐρεφίμων τμηθέντων στεγάσματ' ἐστὶν ἔτι σῶα. πολλὰ δ' ἦν ἄλλ' ἤμερα ὑψηλὰ δένδρα, νομὴν δὲ βοσκήματιν ἀμήχανον ἔφερε. καὶ δὴ τὸ κατ' ἐνιαυτὸν ὕδωρ ἐκαρ-
d. πούτο ἐκ Διός· οὐχ ὡς νῦν ἀπολλῦσα ἀπὸ ψιλῆς τῆς γῆς

praesens anni fluxere) tellus his temporibus colluvionibusque e sublimioribus locis defluens, ne collem quidem, ut alibi locorum solet, accumulavit, dignum saltem mentione, sed semper circum desidens in profundum occulitur. Quapropter relicta sunt, quemadmodum in angustis insulis, praesentia haec, si cum illis conferantur, quasi corpore per morbum extenuato ossa detersa nudataque terra molli quadam & pingui: solumque tenue corpus atque aridum mansit. Olim integra terra altissimos montium colles habebat: & agri, qui nunc Phellei nominantur, solo pingui fertiles erant: silva in montium vertice frequens: cuius nunc etiam conjecturae quaedam apparent. Sunt enim montes nonnulli, qui solas nunc apes pascunt: olim vero, nec multo tamen anteacto tempore, ingentes inde incisae arbores, operimentis & contignationibus conficiendis aptissimae; ex quibus aedium ampliſſimarum structurae adhuc exstant. Erant & aliae multae arbores domesticae, mites atque procerae: quin etiam pascua pecorum uberrima. Praeterea regio haec quotannis ab Iove frugiferam pluviam hauriebat: neque, ut nunc, per

εἰς θάλατταν, ἀλλὰ πολλὴν ἔχουσα, καὶ εἰς αὐτὴν καταδεχομένη τῇ κεραμίδι ςεγούσῃ καὶ διαταμιευομένη, καὶ τὸ καταποθὲν ἐκ τῶν ὑψηλῶν ὕδωρ εἰς τὰ κοῖλα ἀφιεῖσα, κατὰ πάντας τοὺς τόπους παρείχετο ἀφθονα κρηνῶν καὶ ποταμῶν νάματα· ὧν καὶ νῦν ἔτι ἐπὶ ταῖς πηγαῖς ταῖς πρότερον οὔσαις ἱερὰ λελειμμένα, ἐςὶ σημεῖα διότι περὶ ταύτης ἀληθῆ λέγεται τὰ νῦν. τὰ μὲν οὖν τῆς ἄλλης χώρας φύσει τε οὕτως εἶχε, καὶ διεκεκόσμητο, ὡς εἰκὸς, ὑπὸ γεωργῶν μὲν ἀληθινῶν, καὶ πραττόντων αὐτὸ τοῦτο, φιλοκάλων δὲ καὶ εὐφυῶν· γῆν δὲ ἀρίςην καὶ ὕδωρ ἀφθονώτατον ἐχόντων, καὶ ὑπὲρ τῆς γῆς ὥρας μετριώτατον κεκραμένας. τὸ δ' ἄςυ κατῳκισμένον ὧδ' ἦν ἐν τῷ τότε χρόνῳ. πρῶτον μὲν τὸ τῆς ἀκροπόλεως εἶχε τότε οὐχ ὡς τανῦν ἔχει. νῦν μὲν γὰρ μία γενομένη νὺξ ὑγρὰ, διαφερόντως γῆν αὐτὴν ψιλὴν περιτήξασα, πεποικε σεισμὸν ἅμα· καὶ πρὸ τῆς Δευκαλίωνος φθορᾶς, τρίτου πρότερον ὑδατος ἐξαισίου. τὸ δὲ πρὶν ἐν ἑτέρῳ χρόνῳ μέγεθος μὲν ἦν πρὸς τὸν Ἠριδανὸν καὶ τὸν Ἰλιτσὸν c. p. 112 a.

declive praeruptumque effusa ex terra in mare aquam fundebat, sed hanc absorptam tenaci quadam concavitate e sublimibus venientem recondens combibensque in viscera demittebat. unde passim iuges fluviorum fontiumque rivi scaturiebant: quorum etiam nunc in veteribus fontibus sacra quaedam signa relicta conspiciuntur. Quapropter in praesentia de his vera narrantur. Atque haec erat regionis conditio. Excolebatur praeterea tunc ab agricultoribus, ut consentaneum est, & veris, & ad eadem haec intentis: ingeniosis profecto viris, & honestorum admodum studiosis, solum fertile nactis, aquam copiosissimam, temperiem aëris singulis anni temporibus saluberrimam. Urbs autem eo tempore sic instituta erat. primum quidem arcis tunc alia, quam nunc, erat dispositio. nunc enim una saltem nox pluviosa, tenue solum cum liquefeciset, terrae motum induxit, & ante illud Deucalionis exitium, tertia prius illuvione fatali. Superiori vero tempore magnitudo eius usque ad Eridanum Elissumque pro-

ἀποτεθεμμυῖα, καὶ περιειλημμυῖα ἐντὸς τὴν Πνύκα καὶ τὸν
Λυκαβηττὸν, ὄρον ἐκ τοῦ καταντικρὺ Πνυκὸς ἔχουσα. γεώ-
δης δ' ἦν πᾶσα, καὶ πλὴν ὀλίγων ἐπίπεδος ἄνωθεν. ᾤκητο δὲ,
b. τὰ μὲν ἔξωθεν, ὑπ' αὐτὰ τὰ πλάγια αὐτῆς, ὑπὸ τῶν δη-
μιουργῶν καὶ τῶν γεωργῶν ὅσοι πλησίον ἐγεώργουν· τὰ δ'
ἐπάνω, τὸ μάχιμον αὐτὸ καθ' αὑτὸ γένος μόνον περὶ τὸ τῆς
Ἀθηνᾶς Ἡφαίστου τε ἱερὸν κατῳκήκει, οἷον μιᾶς οἰκίας κῆπον
ἑνὶ περιβόλῳ προσπεριβεβλημένοι. τὰ γὰρ πρὸς βορρᾶν αὐτῆς
ᾤκουν, οἰκίας κοινὰς καὶ ξυσσίτια χειμερινὰ κατεσκευα-
σμένοι, καὶ πάντα ὅσα πρέποντα ἦν τῇ κοινῇ πολιτείᾳ δι' οἰ-
c. κοδομῆς ὧν χρεὼν ὑπάρχειν αὐτῶν καὶ τῶν ἱερῶν ἄνευ χρυ-
σοῦ καὶ ἀργύρου. τούτοις γὰρ οὐδὲν οὐδαμόθε προσεχρῶντο,
ἀλλὰ τὸ μέσον ὑπερηφανίας καὶ ἀνελευθερίας διώκοντες,
κοσμίας ᾠκοδομοῦντο οἰκήσεις, ἐν αἷς αὐτοί τε καὶ ἐκγόνων
ἔκγονοι καταγηρῶντες, ἄλλοις ὁμοίοις τὰς αὐτὰς ἀεὶ παρεδί-
δοσαν. τὰ δὲ πρὸς νότου, κήπους καὶ γυμνάσια, συσσίτιά τε
ἀνέντες, οἷα θέρους, κατεχρῶντο ἐπὶ ταῦτα αὐτοῖς. κρήνη δ'
ἦν μία κατὰ τὸν τῆς νῦν ἀκροπόλεως τόπον· ἧς ἀποσβεσθεί-

tenſa, Pnycem intus & Lycabetum comprehendebat, terminum e regione Pnycis habens. Erat gleboſa omnis, paucis locis exceptis, & a ſuperiori parte plana. habitabantur exteriora eius ad laevam ab artificibus agricoliſque, qui proxime agros colebant. Superiora milites ſoli prope Minervae Vulcanique templum inhabitabant, veluti aedis unius viridarium uno ambitu circumdantes. Loca enim eius ad Boream verſa colebant, qui communes aedes, atque coenacula, quibus hieme utuntur, parabant, & quaecunque communi civitatis vitae conveniebant, tum haec, tum ſacra, ſine auro & argento omnia exſtruendo. nulla ſiquidem in re unquam his utebantur: verum medium inter ſuperbiam illiberalitatemque ſecuti, honeſtas habitationes ſtruebant, in quibus & ipſi conſeneſcentes, & nati natorum, eas poſteris ſibi ſimilibus relinquebant. hortis vero gymnaſiiſque & coenaculis Auſtrum verſus expoſitis utebantur aeſtate. Erat fons unus, ubi nunc arcis

σης ὑπὸ τῶν σεισμῶν, τὰ νῦν ὕδατα σμικρὰ κύκλῳ κατα- d.
λέλειπται· τοῖς δὲ τότε πᾶσι παρεῖχεν ἄφθονον ῥεῦμα, εὐ-
κρὰς οὖσα πρὸς χειμῶνά τε καὶ θέρος. τούτῳ δὴ κατῴκουν
τῷ σχήματι, τῶν μὲν αὐτῶν πολιτῶν φύλακες, τῶν δὲ ἄλ-
λων Ἑλλήνων ἡγεμόνες ἑκόντων· πλῆθος δὲ διαφυλάττοντες
ὅτι μάλιστα ταυτὸν ἑαυτῶν εἶναι πρὸς τὸν ἀεὶ χρόνον ἀνδρῶν
καὶ γυναικῶν, τὸ δυνατὸν πολεμεῖν ἤδη κατὰ τὰ ἔτη, περὶ
δύο μάλιστα ὄντας μυριάδας. οὗτοι μὲν οὖν δὴ τοιοῦτοί τε e.
ὄντες αὐτοί, καὶ τινα τοιοῦτον ἀεὶ τρόπον τήν τε ἑαυτῶν
καὶ τὴν Ἑλλάδα δικῃ διοικοῦντες, ἐπὶ πᾶσαν Εὐρώπην καὶ
Ἀσίαν, κατά τε σωμάτων κάλλη καὶ κατὰ τὴν τῶν ψυχῶν
παντοίαν ἀρετὴν, ἐλλόγιμοί τε ἦσαν καὶ ὀνομαστότατοι πάν-
των τῶν τότε. τάγε δὴ τῶν ἀντιπολεμησάντων αὐτοῖς οἷα
ἦν, ὥστε ἀπ' ἀρχῆς ἐγένετο (μνήμης ἂν μὴ ξερηθῶμεν ὧν
ἔτι παῖδες ὄντες ἠκούσαμεν) εἰς τὸ μέσον αὐτὰ νῦν ἀποδώσο-
μεν, ὑμῖν τοῖς Ὀλυμπίοις εἶναι κοινά. τὸ δ' ἔτι βραχὺ πρὸ τοῦ
λόγου δεῖ δηλῶσαι, μὴ πολλάκις ἀκούοντες Ἑλληνικὰ βαρ- p.
113
a.

est locus: quo ob terrae motum exhausto, rivuli circum exigui relicti sunt. Tunc autem affatim omnibus liquorem suggerebat irriguum: cuius erat aestate atque hieme temperies salutaris. Hac illi ratione loca haec habitabant, civium quidem suorum custodes, ceterorum vero Graecorum volentium duces, observantes inprimis, ut semper idem illorum esset numerus, virorum videlicet feminarumque, iam in re bellica fortium: neque minor erat unquam numerus militum, quam viginti millia. Cum igitur tales illi essent, semperque ratione huiusmodi patriam suam & universam Graeciam iuste administrarent, per omnem Europam & Asiam, tam egregio corporis habitu, quam innumeris animi dotibus, omnium, qui tunc erant, probatissimi & clarissimi habebantur. Deinceps quales adversariorum ab initio res fuerint, nisi forte, quae pueri audivimus, memoria exciderunt, vobiscum tanquam amicis communicabimus. Sed antequam referam, admonendi estis, ne miremini, si plurima barbarorum

βάρων ἀνδρῶν ὀνόματα θαυμάζητε. τὸ γὰρ αἴτιον αὐτῶν
πεύσεσθε. Σόλων ἐπινοῶν εἰς τὴν αὐτοῦ ποίησιν καταχρήσα-
σθαι τῷ λόγῳ, διαπυνθανόμενος τὴν τῶν ὀνομάτων δύναμιν,
εὗρε, τοὺς τε Αἰγυπτίους τοὺς πρώτους ἐκείνους αὐτὰ γρα-
ψαμένους, εἰς τὴν αὐτῶν φωνὴν μετενηνοχότας· αὐτός τε
αὖ πάλιν ἑκάστου τὴν διάνοιαν ὀνόματος ἀναλαμβάνων, εἰς
b. τὴν ἡμετέραν ἄγων φωνὴν ἀπεγράφετο. καὶ ταῦτά γε δὴ τὰ
γράμματα παρὰ τῷ πάππῳ τ' ἦν, καὶ ἔτ' ἐστὶ παρ' ἐμοὶ
νῦν, διαμεμελέτηταί τε ὑπ' ἐμοῦ παιδὸς ὄντος. ἂν οὖν ἀκούη-
τε τοιαῦτα οἷα καὶ τῇδε ὀνόματα, μηδὲν ὑμῖν ἔξω θαῦμα.
τὸ γὰρ αἴτιον αὐτῶν ἔχετε. μακροῦ δὲ δὴ λόγου ἡ ἀρχὴ τό-
τε, καθάπερ ἐν τοῖς πρόσθεν ἐλέχθη, περὶ τῆς τῶν θεῶν λή-
ξεως, ὅτι κατενείμαντο γῆν πᾶσαν· ἔνθα μὲν μείζους λήξεις,
ἔνθα δὲ καὶ ἐλάττους, ἱερὰ, θυσίας τε αὑτοῖς κατασκευά-
c. ζοντες. οὕτω δὴ καὶ τὴν νῆσον Ποσειδῶν τὴν Ἀτλαντίδα λα-
χὼν, ἐκγόνους ἑαυτοῦ κατῴκισεν ἐκ θνητῆς γυναικὸς γεννή-
σας ἔν τινι τόπῳ τῆς νήσου τοιῷδε· πρὸς θαλάττῃ μὲν, κατὰ
δὲ μέσον πάσης πεδίον ἦν, ὃ δὴ πάντων πεδίον κάλλιστον ἀρετῇ

virorum nomina Graece nunc audieritis. id enim ex eo contigit, quia Solon, cum cogitaret illa carminibus ſuis inſerere, vim ipſam eſt nominum perſcrutatus: invenitque, primos illos Aegyptios harum rerum ſcriptores in linguam ſuam ea nomina tranſtuliſſe. quare & ipſe rurſus uniuſcuiuſque nominis ſenſum accipiens, in vocem noſtram convertit. Atque haec ſcripta apud avum meum erant, & nunc apud me ſunt: quorum iam olim puer curam habui. Si ergo talia nunc audieritis nomina, qualia apud nos ſunt, ne miremini: nam huius rei cauſam intelligitis. Longa vero oratione ſit opus, ſi a principio narrem id, quod iam ante dixi, De fortitione Deorum, ut terram inter ſe univerſam diſtribuerint, partim in ampliores portiones, partim anguſtiores, templaque & ſacra ſibi inſtituerint. Sane Neptunus, inſulam ſortitus Atlanticam, filios ex mortali femina in quodam inſulae loco progenuit huiuſmodi. Secus mare, ſed in media maxime inſula,

τε ἱκανὸν γενέσθαι λέγεται. πρὸς τῷ πεδίῳ δ' αὖ κατὰ μέσον
σταδίους ὡς πεντήκοντα ἀφεστὼς ἦν ὄρος βραχὺ πάντη. τούτῳ
δ' ἦν ἔνοικος τῶν ἐκεῖ κατὰ ἀρχὰς ἐκ γῆς ἀνδρῶν γεγονότων, Εὐήνωρ μὲν τοὔνομα, γυναικὶ δὲ συνοικῶν Λευκίππῃ d.
Κλειτὼ δὲ μονογενῆ θυγατέρα ἐγεννήσαθην. ἤδη δ' εἰς ἀν-
δρὸς ἅραν ἡκούσης τῆς κόρης, ἥ τε μήτηρ τελευτᾷ καὶ ὁ πα-
τήρ· αὐτῆς δὲ εἰς ἐπιθυμίαν Ποσειδῶν ἐλθὼν, συμμίγνυται·
καὶ τὸν γήλοφον ἐν ᾧ κατῴκιζαι, ποιῶν εὐερκῆ, περιῤῥήγνυσι
κύκλῳ, θαλάττης γῆς τε ἐναλλὰξ ἐλάττους μείζους τε περὶ
ἀλλήλους ποιῶν τροχούς· δύο μὲν, γῆς, θαλάττης δὲ, τρεῖς·
οἷον τορνεύων ἐκ μέσης τῆς νήσου πάντη ἴσον ἀφεστῶτας,
ὥστε ἄβατον ἀνθρώποις εἶναι. πλοῖα γὰρ καὶ τὸ πλεῖν οὔπω e.
τότ' ἦν. αὐτὸς δὲ τήν τε ἐν μέσῳ νῆσον, οἷα δὴ θεὸς, εὐμαρῶς
διεκόσμησεν, ὕδατα μὲν διττὰ ὑπὸ γῆς ἄνω πηγαῖα κοσμή-
σας, τὸ μὲν, θερμὸν, ψυχρὸν δὲ, ἐκ κρήνης ἀποῤῥέον, ἕτερον.
τροφὴν δὲ παντοίαν καὶ ἱκανὴν ἐκ τῆς γῆς ἀναδιδούς. πέντε
δὲ ἄῤῥενων πέντε γεννήσεις διδύμους γεννησάμενος ἐδρέψατο.

planities erat, quae omnium ſpecioſiſſima feraciſſimaque dicitur exſtitiſſe. Prope planitiem rurſus in medio mons erat brevis, ſtadiis quinquaginta diſtans. hic a quodam eorum, qui principio terra nati ſunt, nomine Evenore colebatur. Is ex Leucippe uxore Clitonem unicam filiam genuerat. Parentibus mortuis, & matura iam puella, Neptunus eius deſiderio captus illi ſe miſcuit; circumſepſitque collem, quem habitabat, ſpiris aquae circumfluis, terraeque zonis, alterne partim amplioribus, partim anguſtioribus. Ex quibus duo quidem terrae, tres vero maris fuere circuitus: qui veluti torno deſcripti, pari undique intervallo per inſulam mediam diſtabant, inacceſſibilemque hominibus collem ipſum reddebant. neque enim tunc naves erant, neque navigandi peritia. Ipſe vero, utpote Deus, facile mediam inſulam exornavit, humoremque duplicis aquae frigidae & calidae ex terrae abditis per fontes exteriores erumpere, alimenta item varia & abundantia per terras pullulare iuſſit. Quinque praeterea maſcu-

καὶ τὴν νῆσον τὴν Ἀτλαντίδα πᾶσαν, δέκα μέρη καταν[ει]μας, τῷ μὲν πρεσβυτάτῳ, τῷ προτέρῳ γενομένῳ, τήν τε
p. μητρῴαν οἴκησιν καὶ τὴν κύκλῳ λῆξιν, πλείσην καὶ ἀρίσην
114 οὖσαν, ἀπένειμε· βασιλέα τε τῶν ὅλων κατέστησε, τοὺς δὲ ἄλ-
a. λους, ἄρχοντας ἑκάστῳ δὲ ἀρχὴν πολλῶν ἀνδρώπων καὶ πολ-
λῆς χώρας ἔδωκεν. ὀνόματα δὲ πᾶσιν ἔθετο, τῷ μὲν πρεσβυτάτῳ καὶ βασιλεῖ τούτῳ, οὗ δὴ καὶ πᾶσα ἡ νῆσος τότε πέλαγος ἔσχεν ἐπωνυμίαν, Ἀτλαντικὸν λεχθὲν, ὁτι τοὔνομ' ἦν τῷ πρώτῳ βασιλευσαντι τότε Ἄτλας· τῷ δὲ διδύμῳ, μετ'
b. ἐκεῖνον τότε γενομένῳ, λῆξιν δὲ ἄκρας τῆς νήσου πρὸς Ἡρακλείων στηλῶν εἰληχότι, ἐπὶ τὸ τῆς Γαδειρικῆς νῦν χώρας κατ' ἐκεῖνον τὸν τόπον ὀνομαζομένης, Ἑλληνιστὶ μὲν Εὐμηλον, τὸ δ' ἐπιχώριον, Γάδειρον· ὅπερ ἂν τὴν ἐπίκλησιν ταύτην ὄνομα παράσχοι. τοῖν δὲ δευτέροιν γενομένοιν τὸν μὲν, Ἀμφήρη, τὸν δὲ, Εὐδαίμονα ἐκάλεσε. τριττοῖς δὲ, Μνησέα μὲν, τῷ προτέρῳ γενομένῳ· τῷ δὲ μετ' αὐτὸν, Αὐτόχθονα· τῶν
c. δὲ τετάρτων, Ἐλάσιππον μὲν, τὸν πρότερον· Μήσορα δὲ, τὸν ὕστερον. ἐπὶ δὲ τῆς πέμπτης, τῷ μὲν ἔμπροσθεν Ἀζάης ὄνομα

lorum filiorum partus geminos progenuit & nutrivit. Atque omnem Atlanticam insulam decem in plagas partitus, primogenito maternam habitationem & plagam, quae circum erat, tribuit, maximam profecto sortem atque potissimam: regemque illum statuit reliquorum, ceteros vero multarum gentium regionumque principes. Singulis imposuit nomina. Primogenitum quidem vocavit Atlantem, totius insulae regem. unde & pelagus cognominatur Atlanticum. Eum vero, qui eodem partu statim illum secutus est, patria voce Gadirum, quem Graece dicimus Eumelum: qui extremas insulae partes ad columnas Herculis est sortitus, suoque locum nomine Gadiricum nuncupavit. Secundi partus unum Ampherem, alterum Eudaemonem nominavit. tertii, primum natum Mneseum, secundum Autochthonem. quarti autem Elasippum priorem, Mestorem vero posteriorem. quinti demum, primum Azaëm, Diaprepem vero secundum. Hi omnes po-

ἐτέθη· τῷ δ' ὑστέρῳ, Διαπρεπής. οὗτοι δὲ πάντες, αὐτοί τε καὶ ἐκγονοι τούτων, ἐπὶ γενεὰς παμπόλλας ᾤκουν, ἄρχοντες μὲν πολλῶν ἄλλων κατὰ τὸ πέλαγος νήσων, ἔτι δὲ, ὥσπερ καὶ πρότερον ἐρρήθη, μέχρι τε Αἰγύπτου καὶ Τυρρηνίας τῶν ἐντὸς δεῦρο ἐπάρχοντες. Ἄτλαντος δὴ πολὺ μὲν ἄλλο καὶ τίμιον γίνεται γένος· βασιλεὺς δὲ ὁ πρεσβύτατος ἀεὶ τῷ πρε- d.
σβυτάτῳ τῶν ἐκγόνων παραδιδοὺς ἐπὶ γενεὰς πολλὰς τὴν βασιλειαν, διέσωζον, πλοῦτον μὲν κεκτημένοι πλήθει τοσοῦτον ὅσος οὔτέ πω πρόσθεν ἐν δυναστείαις τισὶ βασιλέων γέγονεν, οὔτε ποτὲ ὕστερον γενέσθαι ῥᾴδιος. κατεσκευασμένα δὲ πάντα ἦν αὐτοῖς ὅσα ἐν πόλει, καὶ ὅσα κατὰ τὴν ἄλλην χώραν τῶν πρὸς χρῆσιν ζητουμένων ἐξί. καὶ πολλὰ μὲν διὰ τὴν ἀρχὴν αὐτοῖς προσῆει ἔξωθεν, πλεῖστα δὲ ἡ νῆσος αὐτοῖς παρείχετο εἰς τὰς τοῦ βίου κατασκευάς. πρῶτον μὲν, ὅσα ὑπὸ e.
μεταλλείας ὀρυττόμενα στερεὰ καὶ ὅσα τηκτὰ γέγονε· καὶ τὸ νῦν ὀνομαζόμενον, τότε δὲ πλέον ὀνομαστὸν ἦν τὸ γένος, ἐκ γῆς ὀρυττόμενον ὀρείχαλκον κατὰ τόπους πολλοὺς τῆς νήσου, πλὴν χρυσοῦ τιμιώτατον ἐν τοις τότε ὄν· καὶ ὅσα ὕλη

sterique ipsorum multa ibi secula habitarunt, multis per mare insulis aliis dominantes, etiam his, quae Aegyptum usque Tyrrheniamque habitantur, ut praediximus. In maxima certe veneratione universum Atlantis erat genus, semperque rex antiquior regnum primogenito relinquebat: quod imperium multa per secula conservarunt. Tanta vero illis divitiarum copia, quanta nullis antea regum superiorum fuerat, nec ullis unquam posterorum facile comparabitur. Structa ordinataque illis erant in civitate totoque regno omnia, quorum usus expetitur. multa quidem ad eos extrinsecus propter imperium accedebant: permulta quoque insula ipsa ad omnem vitae usum pertinentia producebat. Primum quidem omnia, quaecunque ex terrae visceribus eruuntur, & quae solida permanent, & quae funduntur: quodve nunc nominatur solum, tunc certe plurimum effodiebatur Orichalcum multis ex insulae locis, insigne metallum, tunc apud eos

πρὸς τὰ τεκτόνων διαπονήματα παρέχεται, πάντα φέρουσα ἄφθονα. τά τε αὖ περιττὰ ζῶα ἱκανῶς ἤμερα καὶ ἄγρια τρέφουσα, καὶ δὴ καὶ ἐλεφάντων ἦν ἐν αὐτῇ γένος πλεῖσον. νομὴ γὰρ τοῖς τε ἄλλοις ζώοις ὅσα καθ' ἕλη καὶ λίμνας καὶ
p. ποταμοὺς, ὅσά τ' αὖ κατ' ὄρη καὶ ὅσα ἐν τοῖς πεδίοις νέμε-
115 ται, ξύμπασι παρῆν. ἀλλ' ἦν καὶ τοῦτο κατὰ ταυτὰ τῷ ζώῳ
a. μεγίσῳ πεφυκότι καὶ πολυβορωτάτῳ. πρὸς δὴ τούτοις, ὅσα εὐώδη τρέφει που γῆ τανῦν, ῥιζῶν, ἢ χλόης, ἢ ξύλων, ἢ χυλῶν, ἢ ϛακτῶν, εἴτε ἀνθῶν, εἴτε καρπῶν, ἔφερέ τε ταῦτα καὶ ἔφερβεν εὖ. ἔτι δὲ τὸν ἥμερον καρπὸν, τόν τε ξηρὸν, ὃς ἡμῖν ἐϛι τροφῆς ἕνεκα, καὶ ὅσοις χάριν τοῦ σίτου προσχρώμεθα (καλοῦμεν δὲ αὐτοῦ τὰ μέρη ξύμπαντα, ὄσπρια)
b. καὶ τὸν ὅσος ξύλινος, πόματα καὶ βρώματα καὶ ἀλείμματα φέρων· παιδιᾶς τε ὃς ἕνεκα καὶ ἡδονῆς γέγονε δυσθησαύριϛος ἀκροδρύων καρπός· ὅσά τε παραμύθια πλησμονῆς μεταδόρπια ἀγαπητὰ κάμνοντι τιθέμενα· πάντα ταῦτα ἡ τότε ποτὲ οὖσα ὑφ' ἡλίῳ νῆσος ἱερὰ καλά τε καὶ θαυμαϛὰ καὶ πλήθεσιν ἄπειρα ἔφερε. ταῦτα οὖν λαμβάνοντες πάντα παρὰ

ceterorum, excepto auro, pretioſiſſimum. Et quaecunque ſilva producit architectis, ferebat abunde. paſcua quin etiam animantibus tam feris, quam domeſticis, ſuggerebat. Elephantum praeterea ingens ibi copia. Alebat nempe ſufficienter, quaecunque per paludes, lacus, & flumina, ſive montes agroſve paſcuntur: & hoc quoque vaſtum animalium genus & voraciſſimum. Tum, quaecunque tellus nunc odorifera nutrit, radices, gramina, ligna, liquentes ſuccos, flores ac fructus. ſuavem praeterea vitis humorem & ſolidum alimentum, quibus ipſi nutrimur. Illa item, quibus pro cibo utimur & obſonii gratia, quae legumina vocitamus. nec non liquores ex arboribus, atque eſcas ad ſitim famemque exſtinguendam. neque deerant his unguenta. Accedebant & deliciarum gratia fructus variarum arborum copioſiſſimi. aderant quoque ſatietatis ſolatia bellaria, laborantibus grata. Haec omnia inſula, quae quondam erat, ſacra, ſpecioſa, miranda, uberri-

τῆς γῆς, κατεσκευάζοντο τά τε ἱερὰ καὶ τὰς βασιλικὰς οἰ-
κήσεις, καὶ τοὺς λιμένας καὶ τὰ νεώρια, καὶ ξύμπασαν τὴν c.
ἄλλην χώραν, τοιᾷδε ἐν τάξει διακοσμοῦντες· τοὺς τῆς θα-
λάττης τροχοὺς, οἳ περὶ τὴν ἀρχαίαν ἦσαν μετρόπολιν, πρῶ-
τον μὲν ἐγεφύρωσαν, ὁδὸν ἔξω καὶ ἐπὶ τὰ βασίλεια ποιου-
μενοι. τὰ δὲ βασίλεια ἐν ταυτῃ τῇ τοῦ θεοῦ καὶ τῶν προ-
γόνων κατοικήσει κατ' ἀρχὰς ἐποιήσαντο εὐθύς· ἕτερος δὲ
παρ' ἑτέρου δεχόμενος, κεκοσμημένα κοσμῶν, ὑπερεβάλλετο
εἰς δύναμιν ἀεὶ τοῦ ἔμπροσθεν, ἕως εἰς ἔκπληξιν μεγέθεσι d.
κάλλεσί τε ἔργων ἰδεῖν τὴν οἴκησιν ἀπειργάσαντο. διώρυχα
μὲν γὰρ ἐκ τῆς θαλάττης ἀρχόμενοι τριπλέθρου τὸ πλάτος,
ἑκατὸν δὲ ποδῶν βάθος, μῆκος δὲ, πεντήκοντα σταδίων, ἐπὶ
τὸν ἐξωτάτω τροχὸν συνέτρησαν. καὶ τὸν ἀνάπλουν ἐκ τῆς
θαλάττης ταύτης πρὸς ἐκεῖνον ὡς εἰς λιμένα ἐποιήσαντο, διε-
λόντες σῶμα ναυσὶ ταῖς μεγίσταις ἱκανὸν εἰσπλεῖν. καὶ δὴ καὶ
τοὺς τῆς γῆς τροχοὺς, οἳ τοὺς τῆς θαλάττης διεῖργον, κατὰ c.
τὰς γεφύρας διεῖλον ὅσον μιᾷ τριήρει διέκπλουν εἰς ἀλλήλους·

ma producebat. atque haec colligentes ex terra, templa, & regias aedes, portus, navalia, & universam regionem struebant, hoc pacto spiras illas maris, quae antiquam circumdabant metropolim, disponentes. Primo quidem constructis pontibus transitum ad exteriora & ad sedem regiam praebuere, ubi in Dei ipsius maiorumque suorum sedibus statim ab initio regias aedes aedificarunt. alterque ab altero ornata suscipientes, continua successione superiores in exornando pro viribus superabant, quoad moles magnitudine decoreque mirandas fabricaverunt. Foveam porro a mari ad extimum circulum deduxerunt, quae tria iugera in latitudinem protendebatur, centum pedes in altum, in longum stadia quinquaginta. atque ut ex hoc mari ad circulum illum, velut ad portum, applicare naves possent, effecerunt patefacto illius ore, ut naves maximas caperet. Zonas item terrae, quibus spirae maris distinguebantur, pontibus secuerunt, ut una triremi navigare ex alia in aliam liceret: supra vero texerunt,

καὶ κατεξέγασαν ἄνωθεν, ὥστε τὸν ὑπόπλουν κάτωθεν εἶναι. τὰ γὰρ τῶν τῆς γῆς τροχῶν χείλη βάθος εἶχεν ἱκανὸν ὑπερέχοντα τῆς θαλάττης. ἦν δὲ ὁ μὲν μέγιστος τῶν τροχῶν εἰς ὃν ἡ θάλασσα συνετέτρητο, τριςάδιος τὸ πλάτος· ὁ δ' ἐξῆς τῆς γῆς, ἴσος ἐκείνῳ. τοῖν δὲ δευτέροιν, ὁ μὲν ὑγρὸς, δυοῖν σαδίοιν πλάτος· ὁ δὲ ξηρὸς, ἴσος αὖ πάλιν τῷ πρόσθεν ὑγρῷ· σαδίου δὲ, ὁ περὶ τὴν αὐτὴν ἐν μέσῳ νῆσον περιθέων. ἡ δὲ
p. νῆσος ἐν ᾗ τὰ βασίλεια ἦν, πέντε σαδίων τὴν διάμετρον εἶχε.
116 ταύτην δὴ κύκλῳ καὶ τοὺς τροχοὺς καὶ τὴν γέφυραν πλε-
a. θριαίαν τὸ πλάτος οὖσαν ἔνθεν καὶ ἔνθεν, λιθίνῳ περιεβάλλοντο τείχει, πύργους καὶ πύλας ἐπὶ τῶν γεφυρῶν κατὰ τὰς τῆς θαλάττης διαβάσεις ἑκασαχόσε ἐπισήσαντες. τὸν δὲ λίθον ἔτεμνον ὑπὸ τῆς νήσου κύκλῳ τοῖς ἐν μέσῳ καὶ ὑπὸ τῶν τροχῶν ἔξωθεν καὶ ἐντός· τὸν μὲν, λευκὸν, τὸν δὲ, μέλανα, τὸν
b. δὲ, ἐρυθρὸν ὄντα. τέμνοντες δὲ ἅμα ἀπειργάζοντο νεωσοίκους κοίλους διπλοῦς ἐντὸς, κατηρεφεῖς αὐτῇ τῇ πέτρᾳ. καὶ τῶν οἰκοδομημάτων τὰ μὲν, ἁπλᾶ, τὰ δὲ, μιγνύντες τοὺς λίθους, ποικίλα ὕφαινον, παιδιᾶς χάριν, ἡδονὴν αὐτοῖς ξύμφυτον

ut traiectus navigio esset. Terrenarum namque zonarum labra alta mare supereminebant. Maximus plane circuitus, per quem inundabat mare, latitudine stadia complebat tria: proximus huic orbis terrae prorsus aequalis: sequentium vero duorum, aqueus quidem orbis stadia duo, terreus autem, humido praecedenti rursus aequalis: stadium denique unum, qui ipsam insulam in medio positam circumdabat. Insulae vero, in qua regia erat, diameter, stadia quinque. & hanc circum orbesque & pontem latum ad plethri mensuram hinc atque inde muro quodam lapideo clauserunt, turres portasque in singulis super pontes secundum maris transitus fabricantes. Saxum tum mediis insulae aedificiis, tum spiris illis intus foriſque construendis, sub insula circumquaque eruebatur, atrum, candidum, rubrum: quae latomiae, ob cavitatem petrae, navalia duo egregia praebebant. Aedificia vero partim simplicia, partim e varii coloris lapidibus fecerunt, ipsa varie-

ἀπονέμοντες. καὶ τοῦ μὲν περὶ τὸν ἐξωτάτω τροχὸν τείχους
χαλκῷ περιελαμβάνοντο πάντα τὸν περίδρομον, οἷον ἀλοιφῇ
προσχρώμενοι· τοῦ δ' ἐντὸς, καττιτέρῳ περιέτηκον· τὸν δὲ περὶ
αὐτὴν τὴν ἀκρόπολιν, ὀρειχάλκῳ μαρμαρυγὰς ἔχοντι πυρώ- c.
δεις. τὰ δὲ δὴ τῆς ἀκροπόλεως ἐντὸς βασιλεια κατεσκευα-
σμένα ὧδ' ἦν· ἐν μέσῳ μὲν ἱερὸν ἅγιον αὐτόθι τῆς τε Κλει-
τοῦς καὶ τοῦ Ποσειδῶνος ἄβατον ἀφεῖτο, περιβόλῳ χρυσῷ
περιβεβλημένον, τοῦτ' ἐν ᾧ κατ' ἀρχὰς ἐφικτὸν ἐγεννήσαν-
το τῶν δέκα βασιλιδῶν γένος. ἔνθα καὶ κατ' ἐνιαυτὸν ἐκ πα-
σῶν τῶν δέκα λήξεων ὡραῖα αὐτόσε ἀπετέλουν ἱερὰ ἑκεί-
ων ἑκάστῳ. τοῦ δὲ Ποσειδῶνος αὐτοῦ νεὼς ἦν, σταδίου μὲν μῆκος,
εὖρος δὲ, τρισιπλέθρους· ὕψος δ' ἐπὶ τούτοις σύμμετρον ἰδεῖν· d.
εἶδος δέ τι βαρβαρικὸν ἔχοντος. πάντα δὲ ἔξωθεν περιήλει-
ψαν τὸν νεὼν ἀργύρῳ, πλὴν τῶν ἀκρωτηρίων· τὰ δὲ ἀκρωτή-
ρια χρυσῷ. τὰ δὲ ἐντὸς, τὴν μὲν ὀροφὴν ἐλεφαντίνην ἰδεῖν
πᾶσαν χρυσῷ καὶ ἀργύρῳ καὶ ὀρειχάλκῳ πεποικιλμένην· τὰ
δὲ ἄλλα πάντα τῶν τοίχων τε καὶ κιόνων καὶ ἐδάφους, ὀρει-
χάλκῳ περιέλαβον. χρυσᾶ δὲ ἀγάλματα ἐνέστησαν· τὸν μὲν

tate voluptatem secuti. Eius insuper murī, qui exteriorem orbem claudebat, superficiem omnem aere tenui vestierunt: eius vero, qui interiorem, stanno: eius denique, qui circumdabat arcem, orichalco igneo fulgore coruscо. Regia vero ipsa, intra arcem, ita constructa. In medio sacrum & inaccessibile Clitonis Neptunique templum, aureo ambitu circumdatum, illuc a principio convenientes, genuerunt decem regum genus: atque ibidem quotannis ex decem regionibus congregati, unicuique illorum sacra solemnia peragebant. Erat Neptuni templum, stadium unum longum, iugera latum tria, altum vero, quantum longitudo eius latitudoque exigere videbantur, figura eius speciesque barbarica. Exteriora, praeter suprema fastigia, argento omnia exornaverunt: nam culmina ipsa & apices, auro, intus autem laquearia tota eburnea, auro, argento, orichalco varie caelata conspiciebantur. verum parietes, columnas, pavimenta orichalco exornaverunt. Aureas porro

θεὸν ἐφ' ἅρματος ἑξῶτα ἐξ ὑποπτέρων ἵππων ἡνίοχον, αὐτόν
c. τε ὑπὸ μεγέθους τῇ κορυφῇ τῆς ὀροφῆς ἁπτόμενον· Νηρηΐδας δὲ ἐπὶ δελφίνων ἑκατὸν κύκλῳ. τοσαύτας γὰρ ἐνόμιζον αὐτὰς οἱ τότε εἶναι. πολλὰ δ' ἐντὸς ἄλλα ἀγάλματα ἰδιωτῶν ἀναθήματα ἐνῆν. περὶ δὲ τὸν νεὼν ἔξωθεν εἰκόνες ἁπάντων ἔσασαν ἐκ χρυσοῦ, τῶν γυναικῶν, καὶ αὐτῶν ὅσοι τῶν δέκα ἐγεγόνεσαν βασιλέων· καὶ πολλὰ ἕτερα ἀναθήματα μεγάλα τῶν τε βασιλέων καὶ ἰδιωτῶν ἐξ αὐτῆς τε τῆς πόλεως, καὶ τῶν ἔξωθεν ὅσων ἐπῆρχον. βωμός τε δὴ ξυνεπόμενος ἦν
p. τὸ μέγεθος καὶ τὸ τῆς ἐργασίας ταύτῃ τῇ κατασκευῇ· καὶ
117 τὰ βασίλεια, κατὰ τὰ αὐτὰ, πρέποντα μὲν τῷ τῆς ἀρχῆς
a. μεγέθει, πρέποντα δὲ τῷ περὶ τὰ ἱερὰ κόσμῳ. ταῖς δὲ δὴ κρήναις, τῇ τοῦ ψυχροῦ καὶ τῇ τοῦ θερμοῦ νάματος, πλῆθος μὲν ἄφθονον ἐχούσαις, ἡδονῇ δὲ καὶ ἀρετῇ τῶν ὑδάτων πρὸς ἑκατέρου τὴν χρῆσιν θαυμαστοῦ πεφυκότος, ἐχρῶντο περιςήσαντες οἰκοδομήσεις καὶ δένδρων φυτεύσεις πρεπούσας ὑδάτι·
b. δεξαμενάς τε θερμὰς μὲν ὑπαιθρίους, τὰς δὲ χειμερινὰς τοῖς

ſtatuas erexerunt. Deum quidem currui inſiſtentem, tenentemque equorum alatorum habenas, laquearia alta cervice tangentem. Circa hunc delphinis inſidentes Nereides centum. tot enim eſſe tunc exiſtimabantur. Aderant & ſtatuae donariaque complurima privatorum. Extrinſecus exſtabant imagines aureae mulierum omnium regiarum, virorumque, quicunque ex generibus decem deſcenderant: multaque & ingentia ſimulacra donariaque alia regum & privatorum, tum ea ex urbe, tum ex aliis eorum imperio ſubditis. Aderat item altare, magnitudine & artificio, quod ad reliquum apparatum ſpectabat, decentibus: eadem ratione & regia, tam amplitudini regni, quam ornamentis ſacris, convenientia. Utebantur autem fontibus tam calidis, quam frigidis, iugi ſcaturigine exuberantibus: quibus inerat ad utrumque uſum mirifica cum iucunditate ſalubritas. porro circa fontes habitationes conſtructae erant, & arbores conſitae, receptacula quoque aquarum circumpoſita, partim quidem ſub dio patentia, partim vero ſub tecto calidis

θερμοῖς λουτροῖς ὑποζέγους περιτιθέντες· χωρὶς μὲν, βασιλικὰς, χωρὶς δὲ, ἰδιωτικάς· ἔτι δὲ γυναιξὶν ἄλλας, καὶ ἑτέρας ἵπποις καὶ τοῖς ἄλλοις ὑποζυγίοις, τὸ πρόσφορον τῆς κοσμήσεως ἑκάστοις ἀπονέμοντες. τὸ δὲ ἀπορρέον ἦγον ἐπὶ τὸ τοῦ Ποσειδῶνος ἄλσος, δένδρα δὲ παντοδαπὰ κάλλος ὕψος τε δαιμόνιον ὑπὸ ἀρετῆς τῆς γῆς ἔχοντα· καὶ ἐπὶ τοὺς ἔξω κύκλους δι' ὀχετῶν κατὰ τὰς γεφύρας ἐπωχέτευον. οὗ δὴ πολλὰ μὲν ἱερὰ καὶ πολλῶν θεῶν, πολλοὶ δὲ κῆποι καὶ πολλὰ c.
γυμνάσια ἐκεχειρουργήτο, τὰ μὲν, ἀνδρῶν, τὰ δὲ, ἵππων, χωρὶς ἐν ἑκατέρᾳ τῇ τῶν τροχῶν νήσῳ. τά τε ἄλλα καὶ κατὰ μέσην τὴν μείζω τῶν νήσων ἐξῃρημένος ἱππόδρομος ἦν, αὐτοῖς, σταδίου τὸ πλάτος ἔχων, τὸ δὲ μῆκος περὶ τὸν κύκλον ὅλον ἀφεῖτο εἰς ἅμιλλαν τοῖς ἵπποις. δορυφορικαὶ δὲ περὶ αὐτὸν ἔνθέν τε καὶ ἔνθεν οἰκήσεις ἦσαν τῷ πλήθει τῶν δορυφόρων· τοῖς δὲ πιστοτέροις ἐν τῷ σμικροτέρῳ τροχῷ καὶ πρὸ d.
τῆς ἀκροπόλεως μᾶλλον ὄντι διετέτακτο ἡ φρουρά· τοῖς δὲ πάντων διαφέρουσι πρὸς πίστιν, ἐντὸς τῆς ἀκροπόλεως περὶ

lavacris hiberno tempore accommodata: regia, seorsumque privata, atque alia mulieribus, alia item equis, ceteriſve iumentis. decens plane & conferens unicuique ſervabatur. Defluum vero irriguumque humorem in Neptuni deduxere lucum, ob foecunditatem ſoli arboribus variis & altitudine ſpecieque mirandis refertum: atque inde in exteriorem circuitum per aquaeductus iuxta pontes derivaverunt. Ubi templa multa delubraque Deorum, viridaria, atque gymnaſia, partim hominum, partim equorum, ſeorſum in utraque orbium inſula: ſed circa mediam inſulam omnium maximam praecipuus erat hippodromus, cuius latitudo ſtadium, longitudo per omnem circulum porrigebatur ad equeſtre certamen. Circa hippodromum utrinque erant ſtipatorum cuſtodumque diſpoſitae domus. fidis quidem militibus intra ipſum anguſtiorem circuitum, arci quam proximum, commiſſa cuſtodia: his autem, qui ceteris omnibus fide maxime praeſtabant, in arce ipſa circa reges habitationes conceſſae. Nava-

τοὺς βασιλέας αὐτοὺς ἦταν οἰκήσεις δεδομέναι. τὰ δὲ νεώρια, τριήρων μεσὰ ἦν, καὶ σκευῶν ὅσα τριήρεσι προσήκει· πάντα δὲ ἐξηρτημένα ἱκανῶς. καὶ τὰ μὲν δὴ περὶ τὴν τῶν βασιλέων οἴκησιν οὕτω κατεσκεύαςο. διαβάντι δὲ τοὺς λιμένας ἔξω τρεῖς
c. ὄντας, ἀρξάμενον ἀπὸ τῆς θαλάττης ἦν ἐν κύκλῳ τεῖχος, πεντήκοντα ςαδίους τοῦ μεγίςου τροχοῦ τε καὶ λιμένος ἀπέχον πανταχῆ. καὶ συνέκλειεν εἰς ταυτὸ πρὸς τὸ τῆς διώρυχος ςόμα τὸ πρὸς τὸ θαλάττης. τοῦτο δὴ πᾶν συνῴκει τὸ μὲν ὑπὸ πολλῶν καὶ πυκνῶν οἰκήσεων· ὁ δὲ ἀνάπλους καὶ ὁ μέγιςος λιμὴν ἐγεμε πλοίων καὶ ἐμπόρων ἀφικνουμένων πάντοθεν, φωνὴν καὶ θόρυβον παντοδαπὸν κτύπον τε καὶ μεθ' ἡμέραν καὶ διὰ νυκτὸς ὑπὸ πλήθους παρεχομένων. τὸ μὲν οὖν ἀςυ καὶ τὸ περὶ τὴν ἀρχαίαν οἴκησιν, σχεδὸν ὡς τότ' ἐλέχθη, νῦν διεμνημόνευται· τῆς δ' ἄλλης χώρας ὡς ἡ Φύσις εἶχε, καὶ
p. τὸ τῆς διακοσμήσεως εἶδος ἀπομνημονεῦσαι πειρατέον. πρῶ-
118 τον μὲν οὖν ὁ τόπος ἅπας ἐλέγετο σφόδρα τε ὑψηλὸς καὶ
a. ἀπότομος ἐκ θαλάττης· τὸ δὲ περὶ τὴν πόλιν πᾶν πεδίον,

lia praeterea triremibus, omnibuſque ad eas pertinentibus inſtrumentis referta, ſingulaque ſufficienter expoſita. Atque hic erat regiarum aedium apparatus. tranſeunti vero portus, qui foris tres erant exteriores, apparebat circumquaque murus a mari incipiens valli inſtar, & ſtadiis quinquaginta ab ampliſſimo circulo ac portu undique diſtans, qui ad os foveae, quod verſus mare erat, redibat. Totum vero id colebatur, & reliquum quidem ſpatium multis & frequentibus aedificiis abundabat: ſinus autem ipſe portuſque latiſſimus plenus erat navibus, mercatoribuſque undique confluentibus. ubi ob frequentem turbam die noctеque clamor continuus ac ſtrepitus ingens audiebatur. Atque ita de urbis & antiquae ſedis diſpoſitione, ut olim traditum eſt, in praeſentia iam retulimus: deinceps vero commemorare conabimur, quae natura quive cultus reliquae regionis exſtiterit. Principio locus omnis editus admodum, iuxta mare abruptus. regio vero circa urbem campeſtris omnis, ambiens quidem urbem,

ἐκείνην μὲν περιέχον, αὐτὸ δὲ ἐν κύκλῳ περιεχόμενον ὄρεσι
μέχρι πρὸς τὴν θάλατταν καθημένοις, λεῖον καὶ ὁμαλές·
πρόμηκες δὲ πᾶν, ἐπὶ μὲν τὰ τρισχιλίων σταδίων· κατὰ
δὲ μέσον, ἀπὸ θαλάττης ἄνω δισχιλίων. ὁ δὲ τόπος οὗτος
ὅλης τῆς νήσου πρὸς νότον ἐτέτραπτο, ἀπὸ τῶν ἄκρων κατά- b.
βορρος. τὰ δὲ περὶ αὐτὸν ὄρη τότε ὑμνεῖτο τό τε πλῆθος καὶ μέγε-
θος καὶ κάλλος παρὰ πάντα τὰ νῦν ὄντα γεγονέναι· πολλὰς
μὲν κώμας καὶ πλουσίας περιοίκων ἐν ἑαυτοῖς ἔχοντα, ποτα-
μοὺς δὲ, καὶ λίμνας, καὶ λειμῶνας, τροφὴν τοῖς πᾶσιν ἡμέ-
ροις καὶ ἀγρίοις ἱκανὴν παρέμμασιν, ὕλην καὶ πλήθει καὶ γένεσι
ποικίλην, ξυμπασί τε τοῖς ἔργοις καὶ πρὸς ἕκαστα ἄφθονον. ὧδε
οὖν τὸ πεδίον φύσει καὶ ὑπὸ βασιλέων πολλῶν ἐν πολλῷ χρόνῳ c.
διεπεπόνητο. τετράγωνον μὲν αὐτὸ ὑπῆρχε, τὰ πλεῖ᾽ ὀρθὸν
καὶ πρόμηκες· ὅτι δ᾽ ἐνελείπετο κατ᾽ εὐθὺ τῷ τάφρου κυκλῳ
περιορυχθείσης. τὸ δὲ βάθος καὶ πλάτος, τό, τε μῆκος αὐ-
τῆς, ἄπιστον μὲν λεχθὲν, ὡς χειροποίητον ἔργον, πρὸς τοῖς
ἄλλοις διαπονήμασι τοσοῦτον εἶναι· ῥητέον δὲ ὅγε ἠκούσαμεν.

ambita vero ipsa montibus a mari surgentibus, facilis & aequabilis. Eius longitudo tota in alteram partem erat stadiorum ter mille; a medio vero supra, usque ad mare, millium duorum. Situs autem insulae ad Austrum vergebat, ab excelsioribus locis Boreae expositus. Montes eius, frequentia, altitudine, pulchritudine, omnes, qui nunc exstant, exsuperabant. in eis vici complurimi accolarum, atque ditissimi. neque deerant amnes, lacus, prata, quibus animalia tum fera, tum domestica, abunde nutriebantur. Silva item crebra ac varia singulis operibus materiam affatim suppeditabat. Atque ita locus ille tam natura dispositus, quam multorum regum diligentia opibusque longo tempore erat excultus. Quadrata regio fuit, plurimum recta in longum vergens, sed propter foveam circumerutam recta amissa figura. cuius profunditas, longitudo, & amplitudo, incredibiles dictu. impossibile namque videtur, tam vastum opus, cum aliis collatum operibus, manibus hominum esse factum. dicendum tamen, quod

πλέθρου μὲν γὰρ βάθος ὀρώρυκτο, τὸ δὲ πλάτος ἁπάντων, ϛαδίου. περὶ δὲ τὸ πᾶν πεδίον ὀρυχθεῖσαν συνέβαινεν εἶναι τὸ
d. μῆκος ϛαδίων μυρίων, τὰ δ' ἐκ τῶν ὀρῶν καταβαίνοντα ὑποδεχομένη ῥεύματα· καὶ περὶ τὸ πεδίον κυκλωθεῖσα πρὸς τὴν πόλιν, ἔνθέν τε καὶ ἔνθεν ἀφικομένη. ταύτῃ πρὸς τὸ πλάτος μάλιϛα ἑκατὸν ποδῶν διώρυχες εὐθεῖαι τετμημέναι, κατὰ τὸ πεδίον πάλιν εἰς τὴν τάφρον τὴν πρὸς θάλαϛσαν ἀφεῖντο· ἑτέρα δὲ ἀφ' ἑτέρας αὐτῶν ϛαδίους ἑκατὸν ἀπεῖχεν ἥδη. τήν τ' ἐκ τῶν ὀρῶν ὕλην κατῆγον εἰς τὸ ἄϛυ, καὶ τἄλλα δὲ ὡραῖα
e. πλοίοις κατεκομίζοντο διπλοῖς ἐκ τῶν διωρύχων, εἰς ἀλλήλας τε πλαγίας καὶ πρὸς τὴν πόλιν τέμνοντες. καὶ δὶς δὴ τοῦ ἐνιαυτοῦ τὴν γῆν ἐκαρποῦντο· χειμῶνος μὲν, τοῖς ἐκ Διὸς ὕδαϛι χρώμενοι· θέρους δὲ, ὅϛα γῆ φέρει τὰ ἐκ τῶν διωρύχων ἐπάγοντες νάματα. πλῆθος δὲ τῶν μὲν ἐν τῷ πεδίῳ χρηϛίμων πρὸς πόλεμον ἀνδρῶν ἐτέτακτο, τὸν κλῆρον ἕκα-
p. ϛον παρέχειν ἄνδρα ἡγεμόνα· τὸ δὲ τοῦ κλήρου μέγεθος εἰς
119 δέκα δεκάκις ἦν ϛάδια. μυριάδες δὲ ξυμπάντων τῶν κλήρων
a.

audivimus. Iugeris unius erat profunditas, latitudo omnium, ſtadium: cumque eſſet per univerſum campum acta, longitudo eius ſtadiorum decem millia. haec ſane fluenta ex montibus demanantia ſuſcipiebat, perque agros revoluta ad urbem hinc atque illinc perveniens, hac tandem erumpebat in mare. deſuper autem ab ipſa latae pedes centum foveae, rectaque exciſae, per agrum rurſus in foveam mari proximam demittebantur: altera vero ab altera ſtadiis centum ſeiungebatur. Deducebant ex ſilvis ligna in urbem, & alia ſuis quaeque collecta temporibus, duplicibus per foveas navibus. fovearum enim tractus oblique ſeſe uſque ad urbem interſecabant. Geminos ex terra fructus ac fruges annis ſingulis colligebant. hieme quidem Iovis beneficio pluviis tellus madebat, aeſtate rivis ex aquaeductibus irrigabatur. Circa numerum vero virorum, in campeſtri regione ad rem militarem utilium, hic erat ordo, ut ſuum quaeque ducem pars eligeret praeberetque. Partis autem cuiuſque magnitudo decies

ἦσαν ἐξ. τῶν δὲ ἐκ τῶν ὀρῶν καὶ τῆς ἄλλης χώρας ἀπέρκυτος μὲν ἀριθμὸς ἀνθρώπων ἐλέγετο, κατὰ δὲ τόπους καὶ κώμας εἰς τούτους τοὺς κλήρους πρὸς τοὺς ἡγεμόνας ἅπαντας διενενέμητο. τὸν οὖν ἡγεμόνα ἦν τεταγμένον εἰς τὸν πόλεμον παρέχειν ἕκτον μὲν ἁρμάτων πολεμιστηρίων μόριον, εἰς τὰ μυρία ἅρματα, ἵππους δὲ δύο καὶ ἀναβάτας· ἔτι δὲ ξυνωρίδα, b.
χωρὶς δίφρου, καταβάτας τ' ἐς μικρασπίδα καὶ τὸν ἀμφοῖν μετ' ἐπιβάτην τοῖν ἵπποιν ἡνίοχον ἔχουσαν· ὁπλίτας δὲ δύο, καὶ τοξότας, σφενδονήτας τε ἑκατέρους δύο· γυμνήτας δὲ λιθοβόλους καὶ ἀκοντιστὰς τρεῖς ἑκατέρους. ναύτας δὲ τέτταρας, εἰς πλήρωμα διακοσίων καὶ χιλίων νεῶν. τὰ μὲν οὖν πολεμιστήρια οὕτω διετέτακτο τῆς βασιλικῆς πόλεως. τῶν δὲ ἐννέα ἄλλα ἄλλως, ἃ μακρὸς ἂν χρόνος εἴη λέγειν. τὰ δὲ τῶν ἀρχῶν τιμῶν ὧδ' εἶχεν, ἐξ ἀρχῆς διακοσμηθέντα. τῶν c.
δέκα βασιλέων εἷς ἕκαστος ἐν μὲν τῷ καθ' αὑτὸν μέρει κατὰ τὴν αὑτοῦ πόλιν τῶν ἀνδρῶν καὶ τῶν πλείστων νόμων ἦρχε,

decem ſtadia: univerſorum vero numerus, millia ſexaginta. Sed eorum, qui montes & alia loca colebant, infinitus: per loca vero & plagas in huiuſmodi ſortes ſecundum duces diſtributi erant cuncti. Igitur inſtitutum erat, ut dux in bellum inferret ſextam curruum bellicorum partem, ad millia curruum decem, equos binos, & equites: rurſuſque bigam abſque ſella, ubi eſſet, & qui parvo clypeo munitus deſcenderet, & qui ambos habenis viciſſim regeret equos. armigeros item binos, & ſagittarios & funditores utrinque binos: levis armaturae milites, iactores lapidum, iaculatoreſque tres utroſque: nautas quatuor, ad ducentarum millium navium complementum. Hac itaque ratione in regia civitate erant res bellicae praeparatae. reliquarum vero novem urbium apparatus alibi aliter & aliter habebat: quarum rerum prolixior narratio ſit. Magiſtratus autem, honoreſque, ſic erant principio inſtituti. Unuſquiſque decem regum in ſua provincia, ſuaque in civitate, hominibus, tum etiam legibus pleriſque dominabatur, puniebatque pro arbitrio unumquemque,

κολάζων καὶ ἀποκτιννὺς ὅντιν' ἐθελήσειεν· ἡ δὲ ἐν ἀλλήλοις
ἀρχὴ καὶ κοινωνία κατὰ τας ἐπιστολας ἦν τὰς τοῦ Ποσει-
δῶνος, ὡς ὁ νόμος αὐτοῖς παρέδωκε, καὶ γράμματα ὑπὸ τῶν
πρώτων ἐν στήλῃ γεγραμμένα ὀρειχαλκίνῃ, ἣ κατὰ μέσην
d. τὴν νῆσον ἔκειτο ἐν ἱερῷ Ποσειδῶνος. οἱ δὲ δι' ἐνιαυτοῦ πέμ-
πτου, τὸ δὲ ἐναλλὰξ ἕκτου, συνελέγοντο, τῷ τε ἀρτίῳ καὶ
τῷ περιττῷ μέρος ἴσον ἀπονέμοντες. ξυλλεγόμενοι δὲ, περί
τε τῶν κοινῶν ἐβουλεύοντο, καὶ ἐξήταζον εἴτις τι παραβαίνοι,
καὶ ἐδίκαζον. ὅτε δὲ δικάζειν μέλλοιεν, πίστεις ἀλλήλοις τοιάσδε
ἐδίδοσαν. πρότερον ἀφέτων ὄντων ταύρων ἐν τῷ τοῦ Ποσει-
δῶνος ἱερῷ, μόνοι γιγνόμενοι δέκα ὄντες, ἐπευξάμενοι τῷ
e. θεῷ κεχαρισμένον αὑτῷ θῦμα ἑλεῖν ἄνευ σιδήρου, ξύλοις καὶ
βρόχοις ἐθήρευον. ὃν δὲ ἕλοιεν τῶν ταύρων, πρὸς τὴν στήλην
προσαγαγόντες, κατὰ κορυφὴν αὐτῆς ἔσφαττον κατὰ τῶν
γραμμάτων. ἐν δὲ τῇ στήλῃ πρὸς τοῖς νόμοις ὅρκος ἦν, μεγά-
λας ἀρὰς ἐπευχόμενος τοῖς ἀπειθοῦσιν. ὅτ' οὖν κατὰ τοὺς
αὐτῶν νόμους θύσαντες καθαγίζοιεν πάντα τοῦ ταύρου τὰ

ac morte damnabat. Imperium profecto & communio inter illos secundum Neptuni mandata dirigebantur, quemadmodum leges illis & literae nuntiabant, a maioribus in columna quadam ex orichalco circa medium insulae, in templo Neptuni ipsius inscriptae. Illi igitur quinto & per vices sexto quoque anno conveniebant, tam pari quam impari aequam partem distribuentes. congregati vero de publicis rebus deliberabant: diligentique examine iudicantes, si qua in re praevaricatus quis esset, damnabant. Cum igitur foret iudicium ineundum, tali se iuramento invicem adstringebant. nam cum essent in templo Neptuni soluti tauri, ipsi decem seorsum ab aliis vovebant Deo, gratam illi victimam se sine ferro capturos. unde lignis & laqueis solis venabantur. & quemcunque ceperant taurum, ad columnam tractum, in eius columnae vertice, uti scriptis erat mandatum, protinus iugulabant. Exstabat autem in columna praeter leges iuramentum exsecratioque, terribilia his, qui non parerent, imprecans.

μέλη, κρατῆρα κεράσαντες, ὑπὲρ ἑκάστου θρόμβον ἐνέβαλλον p.
αἵματος· τὰ δ' ἄλλ' εἰς τὸ πῦρ ἔφερον, περικαθήραντες τὴν 120
στήλην. μετὰ δὲ τοῦτο, χρυσαῖς φιάλαις ἐκ τοῦ κρατῆρος a.
ἀρυόμενοι, κατὰ τοῦ πυρὸς σπένδοντες ἐπώμνυσαν, δικάσειν
τε κατὰ τοὺς ἐν τῇ στήλῃ νόμους, καὶ κολάσειν τε εἴτις τι
πρότερον παραβεβηκὼς εἴη, τό, τε αὖ μετὰ τοῦτο μηδὲν τῶν
γραμμάτων ἑκόντες παραβήσεσθαι· μηδὲ ἄρξειν, μηδὲ ἄρ-
χοντι πείσεσθαι, πλὴν κατὰ τοὺς τοῦ πατρὸς ἐπιτάττοντι b.
νόμους. ταῦτα δὲ ἐπευξάμενος ἕκαστος αὐτῶν ἑαυτῷ καὶ τῷ
ἀφ' αὑτοῦ γένει, πιὼν, καὶ ἀναθεὶς τὴν φιάλην εἰς τὸ ἱερὸν
τοῦ θεοῦ, περὶ τὸ δεῖπνον καὶ τὰναγκαῖα διέτριψεν. ἐπεὶ δὲ
ἐγίγνετο σκότος, καὶ τὸ πῦρ ἐψυγμένον τὸ περὶ τὰ θύματα
εἴη, πάντες οὕτως ἐνδυντες ὅτι καλλίστην κυανῆν στολὴν, ἐπὶ
τὰ τῶν ἐρκαμοσιῶν κάυματα χαμαὶ καθίζοντες, νύκτωρ
πᾶν τὸ περὶ τὸ ἱερὸν ἀποσβεννύντες πῦρ, ἐδικάζοντό τε καὶ c.
ἐδίκαζον, εἴτις τι παραβαίνειν αὐτῶν αἰτιῷτο τινά. δικάσαν-

Quando itaque, ſacrificiis de more paratis, iam crematuri erant ſingula tauri membra, impleto cratere guttam ſanguinis pro unoquoque infundebant: reliqua dabant igni, luſtrantes columnam. His denique actis, phialis aureis haurientes ex cratere, & ſuper ignem libantes, iureiurando interpoſito promittebant, iudicaturos ſe ſecundum inſcriptas columnae leges, punituroſque eos, qui antea deliquiſſent: praeterea literarum illarum normam ſponte nunquam ſe tranſgreſſuros. addebant, neque praeter patris ipſius leges vel imperaturos ſe unquam, vel imperanti obedituros. Haec unuſquiſque illorum ſibi ipſi poſteriſque precatus, bibenſque & offerens Deo phialam, ad coenam ſe & neceſſaria convertebat. Adventante nocte, igneque victimarum ferme iam exſtincto, ſinguli caeruleam colore & quam pulcherrimam induti veſtem, ac penes hoſtias ambuſtas humi ſedentes noctu, totumque ignem in ſacris accenſum exſtinguentes, iudicabantur ſimul & iudicabant, ſi quis eorum quempiam tanquam legum tranſgreſſorem accuſaviſſet. Poſtquam vero iudicaverant, dieſque il-

τες δὲ, τὰ δικασθέντα, ἐπειδὴ ᾧ̃ς γένοιτο, ἐν χρυσῷ πίνακι γράψαντες, μετὰ τῶν ϛολῶν μνημεῖα ἀνετίθεσαν. νόμοι δὲ, πολλοὶ μὲν ἄλλοι περὶ τὰ ἱερὰ τῶν βασιλέων ἑκάϛων ἦσαν ἴδιοι· τὰ δὲ μέγιϛα, μήτε ποτὲ ὅπλα ἐπ' ἀλλήλοις οἴσειν, βοηθήσειν τε πάντας, ἄν που τις αὐτῶν ἓν τινι πόλει τὸ βασιλικὸν καταλύειν ἐπιχειρῇ γένος. κοινῇ δὲ, καθάπερ οἱ πρόd. σθεν, βουλευόμενοι τὰ δόξαντα περὶ πολέμου καὶ τῶν ἄλλων πράξεων, ἡγεμονίαν ἀποδιδόντες τῷ Ἀτλαντικῷ γένει. θανάτου δὲ τὸν βασιλέα τῶν συγγενῶν μηδενὸς εἶναι κύριον, ἂν μὴ τῶν δέκα τοῖς ὑπερήμισυ δοκῇ. ταύτῃ δὴ τοσαύτην καὶ τοιαύτην δύναμιν ἐν ἐκείνοις τότε οὖσαν τοῖς τόποις ὁ θεὸς ἐπὶ τούσδε αὐτοὺς τόπους ξυντάξας, ἐκόμισεν ἔκ τινος τοιᾶσδε, ὡς λόγος, προφάσεως· ἐπὶ πολλὰς μὲν γενεὰς, μέχρι περe. ἡ τοῦ θεοῦ φύσις αὐτοῖς ἐξήρκει, κατήκοοί τε ἦσαν τῶν νόμων, καὶ πρὸς τὸ ξυγγενὲς θεῖον ὂν φιλοφρόνως εἶχον. τὰ γὰρ φρονήματα ἀληθινὰ καὶ πάντη μεγάλα ἐκέκτηντο, πραότητι μετὰ φρονήσεως πρός τε τὰς ἀεὶ ξυμβαινούσας τύ-

luxerat, in aurea tabula ſententias inſculpentes, eas una cum veſtibus, monumenta futura poſteris, ſuſpendebant. Leges autem & aliae multae circa ſacra, regum propriae ſingulorum, ſed hae praecipuae: Ne unquam ſibi inter ſe bellum inferrent, immo ſuccurrerent omnes, ſi quis aliqua in civitate genus ipſorum regium exſtirpare aggrederetur. Cumque in commune, quemadmodum ſuperiores, de bello deque ceteris actionibus deliberaſſent, imperii ius Atlantico generi tribuebant. Caedis autem auctoritatem adverſus aliquem cognatorum, regi non concedebant, niſi plures ex decem, quam quinque, in eandem ſententiam conveniſſent. Talem itaque tantamque potentiam, quae in illis tunc erat locis, Deus certo quodam ordine ad haec rurſus loca deduxit, tali quadam, ut fertur, occaſione: Multa ſane per ſecula, quoad natura illis divina perſeveravit, legibus obediebant, & erga divinum genus ipſis cognatum benigne affecti erant. magnificae namque illorum animis & verae cogitationes inerant:

χας καὶ πρὸς ἀλλήλους χρώμενοι. διὸ, πλὴν ἀρετῆς πάντα ὑπερορῶντες, σμικρὰ ἡγοῦντο τὰ παρόντα, καὶ ῥᾳδίως ἐφερον, οἷον ἄχθος, τὸν τοῦ χρυσοῦ τε καὶ τῶν ἄλλων κτημάτων ὄγκον· ἀλλ' οὐ μεθυοντες ὑπὸ τρυφῆς, οὐδ' ὑπὸ τοῦ ἀκράτου ἀβλυώττοντες ἐσφάλλοντο· νήφοντες δὲ, ὀξὺ καθεώρων ὅτι καὶ ταῦτα πάντα ἐκ τῆς φιλίας τῆς κοινῆς μετὰ ἀρετῆς αὐξάνεται, τῇ δὲ τούτων σπουδῇ καὶ τῇ τιμῇ φθίνει ταῦτά τε αὐτὰ, κἀκείνη ξυναπόλλυται τούτοις. ἐκ δὴ λογισμοῦ τε τοιούτου καὶ φύσεως θείας παραμενούσης πάντ' αὐτῆς ηὐξήθη ἃ πρὶν διήλθομεν. ἐπεὶ δ' ἡ τοῦ θεοῦ μὲν μοῖρα ἐξίτηλος ἐγίγνετο ἐν αὐτοῖς, πολλῷ τῷ θνητῷ καὶ πολλάκις ἀναπιμπλαμένη, τὸ δὲ ἀνθρώπινον ἦθος ἐπεκράτει, τότε ἤδη τὰ παρόντα φέρειν ἀδυναμοῦντες ἠσχημόνουν, καὶ τῷ δυναμένῳ ὁρᾶν μὲν αἰσχροὶ κατεφαίνοντο, τὰ κάλλιστα ἀπὸ τῶν τιμιωτάτων ἀπολλύντες· τοῖς δὲ ἀδυνατοῦσιν ἀληθινὸν πρὸς εὐδαιμονίαν βίον ὁρᾶν, τότε δὴ μάλιστα πάγκαλοι μακάριοί p. 121 a. b.

unde & modeſtia utebantur prudentiaque, & in his, quae aliunde, & quae inter ſe incidiſſent. Quocirca ſpernentes praeter virtutem omnia, praeſentia parvi faciebant, neque efferebantur, ſed tanquam onus quoddam exiſtimabant auri ceterorumque copiam. neque velut ebrii gemino ex alimento facti, in aliquo per incontinentiam aberrabant: immo vero utpote ſobrii acute cernebant, haec omnia communi ex amicitia una cum virtute incrementum ſuſcipere: horum vero ſtudio & admiratione, diſperdi haec, & virtutem amicitiamque deficere. Quoad in eis mens talis & natura divina viguit, creverunt, quae ſupra narravimus, omnia: poſtquam vero divina ſors in eis longo abuſu crebriſque mortalium legum affectibus inquinata evanuit, moſque humanus praevaluit, tunc primum, quia non poſſent ferre praeſentia, dedecori ſuccubuerunt. nam apud eos, qui cernere poterant, turpiter affecti exiſtimabantur, cum pulcherrima ex pretioſiſſimis perdidiſſent: qui autem rectam ad beatitudinem viam inſpicere non valebant, ii eos praeclaros beatoſque putabant

τε ἐδοξάζοντο εἶναι, πλεονεξίας ἀδίκου καὶ δυνάμεως ἐμπι-
πλάμενοι. Θεὸς δὲ ὁ θεῶν Ζεὺς, ἐννόμοις βασιλεύων, ἅτε
c. δυνάμενος καθορᾶν τὰ τοιαῦτα, ἐννοήσας γένος ἐπιεικὲς
ἀθλίως διατιθέμενον, δίκην αὐτοῖς ἐπιθεῖναι βουληθεὶς, ἵνα
γένοιντο ἐμμελέστεροι σωφρονισθέντες, ξυνήγειρε θεοὺς πάν-
τας εἰς τὴν τιμιωτάτην αὐτῶν οἴκησιν, ἣ δὴ κατὰ μέσον
παντὸς τοῦ κόσμου βεβηκυῖα, καθορᾷ πάντα ὅσα γενέσεως
μετείληφε· καὶ ξυναγείρας εἶπεν,

Λείπει τὸ τέλος.

maxime, cum maxime iniqua plus habendi cupiditate & violentia abundarent. Tunc ſane Deus Deorum Iuppiter, qui regit omnia legibus, quique poteſt haec talia cernere, cum depravari generoſam ſtirpem animadverteret, hominesque eos punire vellet, ut, adepti temperantiam, modeſtiores concinnioresque evaderent, Deos omnes in ſedem eorum honoratiſſimam convocavit, unde, tanquam ex medio mundi throno, quaecunque generationi ſubiecta ſunt, conſpiciuntur. Vocatoque concilio ſic eſt exorſus,

Deeſt finis.

ΠΑΡΜΕΝΙΔΗΣ

ΠΑΡΜΕΝΙΔΗΣ

Η

ΠΕΡΙ ΙΔΕΩΝ.

PARMENIDES

SIVE

DE IDEIS

id eſt, rerum formis ſive ſpeciebus.

ARGUMENTUM.

Philoſophi ſcopus eſt, Parmenidis, celeberrimi philoſophi Pythagorei, de ideis ſententiam explicare. Primum igitur Zeno Eleates, Parmenidis diſcipulus, unum eſſe in ſenſibilibus probat, oſtendens, quod ſi haec multa eſſent, nullo modo unius natura participantia, errores plurimi ſequerentur. Deinde Socrates, Zenoni non repugnans quidem, ſed eum altius elevans, ad conſiderationem unius & unitatum, quae in rebus intelligibilibus inſunt, perducit, ne in hoc uno, quod ſenſibilibus ineſt, moretur. Ex hoc igitur ad ideas inveſtigandas perveniunt, in quibus rerum unitates conſiſtunt. Poſtremo Parmenides ipſe ſenior, haudquaquam Socrati contradicens, ſed inchoatam contemplationem eius abſolvens, integram idearum explicat rationem. Ubi quatuor de ideis quaeſtiones inducit. Primo, utrum ſint: ſecundo, quorum ſint, & quorum minime: tertio, quales ſint, quamve vim habeant: quarto, quomodo ab iis,

quae infra ipſas ſunt, participentur. Hinc iam ad unum, quod ſuper intelligibilia & ideas exſiſtit, aſcendit ipſe, novemque de illo ſuppoſitiones adducit, quinque ſi unum ſit, quatuor ſi non ſit unum, quaerens, quid utrinque ſequatur. Intendit autem Parmenides generatim hoc aſſerere, quod unum omnium principium ſit, eoque poſito, ponantur omnia, ſublato autem interimantur. Illud inſuper advertendum eſt, quod in hoc dialogo cum dicitur unum, Pythagoreorum more quaeque ſubſtantia a materia penitus abſoluta ſignificari poteſt, ut Deus, mens, anima. Cum vero dicitur aliud & alia, tam materiam, quam illa, quae in materia fiunt, intelligere licet. Ceterum eſt αὐτοπρόσωπος hic ſermo: nec loquitur Socrates, ſed auditor eſt, & res iam pridem acta commemoratur: ut non tam ſuam, quam alienam ſententiam Plato videatur voluiſſe commonſtrare, quamquam a Parmenide non omnino diſſenſerit. Fuit autem Parmenides Socrati σύγχρονος. illum enim ſenem vidiſſe ſe ait, cum adhuc iuvenis eſſet.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΑΡΜΕΝΙΔΟΥ ΠΡΟΣΩΠΑ

ΚΕΦΑΛΟΣ, ΑΔΕΙΜΑΝΤΟΣ, ΑΝΤΙΦΩΝ, ΓΛΑΥΚΩΝ, ΠΥΘΟΔΩΡΟΣ, ΣΩΚΡΑΤΗΣ, ΖΗΝΩΝ, ΠΑΡΜΕΝΙΔΗΣ.

p. 126 a. Ἐπειδὴ Ἀθήναζε οἴκοθεν ἐκ Κλαζομενῶν ἀφικόμεθα, κατ' ἀγορὰν ἐνετύχομεν Ἀδειμάντῳ τε καὶ Γλαύκωνι· καί μου λαβόμενος τῆς χειρὸς ὁ Ἀδειμαντος, Χαῖρ', ἔφη,

DIALOGI PARMENIDIS PERSONAE

CEPHALUS, ADIMANTUS, ANTIPHO, GLAUCO, PYTHODORUS, SOCRATES, ZENO, PARMENIDES.

Cum domo e Clazomenis Athenas profecti eſſemus, iuxta forum Adimantum & Glauconem offendimus: & manum meam prehendens Adimantus, Salve, inquit, o Cephale, &

ὦ Κέφαλε· καὶ εἴ του δέῃ τῶν τῇδε, ὧν ἡμεῖς δυνατοί, φράζε.
Ἀλλὰ μὲν δή, εἶπον ἐγὼ, πάρειμί γε ἐπ' αὐτὸ τοῦτο, δεησόμενος ὑμῶν. Λέγοις ἄν, ἔφη, τὴν δέησιν. Καὶ ἐγὼ εἶπον, Τῷ ἀδελφῷ ὑμῶν τῷ ὁμομητρίῳ τί ἦν ὄνομα; οὐ γὰρ μέμνημαι· παῖς δέ που ἦν ὅτε τοπρότερον ἐπεδήμησα δεῦρο ἐκ Κλα- b.
ζομενῶν. πολὺς δὲ ἤδη χρόνος ἐξ ἐκείνου. τῷ μὲν γὰρ πατρὶ, δοκῶ, Πυριλάμπης ὄνομα. Πάνυ γε, ἔφη· αὐτῷ δέ γε, Ἀντιφῶν. ἀλλὰ τί μάλιστα πυνθάνῃ; Οἶδ', εἶπον ἐγὼ, πολῖταί τι μοὶ εἰσὶ, μάλα φιλόσοφοι, ἀκηκόασί τε ὅτι οὗτος ὁ Ἀντιφῶν Πυθοδώρῳ τινὶ Ζήνωνος ἑταίρῳ πολλὰ ἐντετύχηκε· καὶ τοὺς λόγους, οὓς ποτε Σωκράτης καὶ Ζήνων καὶ Παρμενίδης διελέχθησαν, πολλάκις ἀκούσας τοῦ Πυθοδώρου, ἀπομνη- c.
μονεύει. Ἀληθῆ, ἔφη, λέγεις. Τούτων τοινυν, εἶπον, δεόμεθα ἀκοῦσαι. Ἀλλ' οὐ χαλεπὸν, ἔφη. μειράκιον γὰρ ὢν αὐτοὺς εὖ μάλα διεμελέτησεν. ἐπεὶ νῦν γε κατὰ τὸν πάππον τε καὶ ὁμώνυμον πρὸς ἱππικῇ ταπολλὰ διατρίβει. ἀλλ' εἰ δεῖ, ἴωμεν παρ' αὐτόν. ἄρτι γὰρ ἐνδένδε οἴκαδε οἴχεται· οἰκεῖ δὲ ἐγγὺς

si quo indiges, quod noſtrae facultatis ſit, dic. At, ego inquam, ad id veni, quia veſtra opera indigebo. Expone, inquit, quid ſit, quo indiges. Tum ego, Fratri veſtro germano quod nomen erat? non enim memini. erat enim ferme puer, quando primum huc e Clazomenis acceſſi: longum vero interceſſit temporis intervallum. Patri tamen eius Pyrilampes nomen fuiſſe arbitror. Prorſus, inquit. ipſi vero, nomen Antipho. ſed quid potiſſimum quaeris? Hi, inquam, concives mei ardentes ſunt ſapientiae amatores, audieruntque, hunc Antiphonem diu Pythodoro Zenonis ſocio familiariter uſum, rationes, quas quondam Socrates, Zeno, atque Parmenides invicem pertractarunt, cum a Pythodoro frequentius accepiſſet, memoria retinere. Vera, inquit, dicis. Has itaque audire deſideramus. Haud difficile eſt, inquit. nam dum eſſet adoleſcentulus, eas diligenter meditabatur. Nunc apud avum, cui idem eſt nomen, circa rem equeſtrem ut plurimum verſatur. ceterum, ſi opus eſt, ad eum proficiſcamur. modo

p. ἐν Μελίτῃ. Ταῦτα εἰπόντες, ἐβαδίζομεν· καὶ κατελάβομεν
127 τὸν Ἀντιφῶντα οἴκοι, χαλινόν τινα χαλκεῖ ἐκδιδόντα σκευά-
a. σαι. ἐπειδὴ δὲ ἐκείνου ἀπηλλάγη, οἵ τε ἀδελφοὶ ἔλεγον αὐτῷ
ὧν ἕνεκα παρείημεν, ἀνεγνώρισέ τέ με ἐκ τῆς προτέρας ἐπι-
δημίας, καὶ ἠσπάζετο. καὶ δεομένων ἡμῶν διελθεῖν τοὺς λό-
γους, τὸ μὲν πρῶτον ὤκνει (πολὺ γὰρ ἔφη ἔργον εἶναι) ἔπει-
τα μέντοι διηγεῖτο. ἔφη δὲ δὴ ὁ Ἀντιφῶν λέγειν τὸν Πυθό-
b. δωρον ὅτι ἀφίκοντο ποτὲ εἰς Παναθήναια τὰ μεγάλα Ζήνων
τε καὶ Παρμενίδης. τὸν μὲν οὖν Παρμενίδην, εὖ μάλα ἤδη
πρεσβύτην εἶναι, σφόδρα πολιὸν, καλὸν δὲ καὶ ἀγαθὸν τὴν
ὄψιν, περὶ ἔτη μάλιστα πέντε καὶ ἑξήκοντα· Ζήνωνα δὲ, ἐγ-
γὺς ἐτῶν τετταράκοντα τότε εἶναι, εὐμήκη δὲ, καὶ χαριέν-
τα ἰδεῖν· καὶ λέγεσθαι αὐτὸν παιδικὰ τοῦ Παρμενίδου γε-
γονέναι. καταλύειν δὲ αὐτοὺς ἔφη παρὰ τῷ Πυθοδώρῳ, ἐκ-
c. τὸς τείχους, ἐν Κεραμεικῷ· οἳ δὴ καὶ ἀφικέσθαι τόν τε Σω-
κράτη, καὶ ἄλλους τινὰς μετ' αὐτοῦ πολλοὺς, ἐπιθυμοῦντας
ἀκοῦσαι τῶν τοῦ Ζήνωνος γραμμάτων. τότε γὰρ αὐτὰ πρῶ-

enim hinc domum abiit. habitat autem prope in Melita. Cum haec dicta fuiſſent, acceſſimus, domique invenimus Antiphonem, frenum quoddam aptandum fabro tradentem. Poſtquam vero ab illo diſceſſit, & fratres adventus noſtri cauſam retulerunt; agnovit me, quod prius illuc acceſſiſſem, & complexum me ſalutavit. Nobis autem orantibus, ut diſputationem illam referret, primo quidem recuſabat: (eſſe enim operae non mediocris) deinde tamen expoſuit. Dicebat ergo Antipho, Pythodorum narraſſe, Zenonem atque Parmenidem veniſſe quondam ad magnorum Panathenaeorum celebritatem: & Parmenidem iam ſenem atque canum, aſpectu decorum fuiſſe, annos ferme quinque & ſexaginta aetatis agentem; Zenonem vero annos paene quadraginta natum, procero inſuper & grato corporis habitu; dicebatur autem in deliciis Parmenidi eſſe. Divertiſſe vero apud Pythodorum extra moenia in Ceramico: ac eodem adventaſſe Socratem, alioſque cum Socrate plurimos, ſcripta Zenonis audire cu-

τον ὑπ' ἐκείνων κομισθῆναι. Σωκράτη δὲ εἶναι τότε σφόδρα νέον. ἀναγινώσκειν οὖν αὐτοῖς τὸν Ζήνωνα αὐτόν· τὸν δὲ Παρμενίδην τυχεῖν ἔξω ὄντα, καὶ εἶναι πάνυ βραχὺ ἔτι λοιπὸν τῶν λόγων ἀναγινωσκομένων, ἡνίκα αὐτός τε ἐπεισελθεῖν ἐφη ὁ Πυθόδωρος ἐξωθεν, καὶ τὸν Παρμενίδην μετ' d. αὐτοῦ, καὶ Ἀριστοτέλη, τὸν τῶν τριάκοντα γενόμενον· καὶ σμικρ' ἄττα ἔτι ἐπακοῦσαι τῶν γραμμάτων. οὐ μὴν αὐτός γε ἀλλὰ καὶ πρότερον ἀκηκοέναι τοῦ Ζήνωνος. Τὸν οὖν Σωκράτη ἀκουσαντα, πάλιν τε κελεῦσαι τὴν πρώτην ὑπόθεσιν τοῦ πρώτου λόγου ἀναγνῶναι· καὶ ἀναγνωσθείσης, Πῶς, φάναι, ὦ Ζήνων, τοῦτο λέγεις; εἰ πολλά ἐστι τὰ ὄντα, ὡς ἄρα δεῖ αὐτὰ ὅμοιά τε εἶναι καὶ ἀνόμοια; τοῦτο δὲ ἀδύνα- e. τον. οὔτε γὰρ τὰ ἀνόμοια, ὅμοια, οὔτε τὰ ὅμοια, ἀνόμοια οἷόντε εἶναι. οὐχ' οὕτω λέγεις; Οὕτω, φάναι τὸν Ζήνωνα. Οὐκοῦν, εἰ ἀδύνατον τά τε ἀνόμοια ὅμοια εἶναι, καὶ τὰ ὅμοια, ἀνόμοια, ἀδύνατον δὴ καὶ πολλὰ εἶναι; εἰ γὰρ πολλὰ εἴη, πάσχοι ἂν τὰ ἀδυνατα. ἆρα τοῦτό ἐστιν ὃ βουλονται σοῦ οἱ λόγοι; οὐκ ἀλλό τι ἢ διαμάχεσθαι παρὰ πάντα τὰ λεγό-

pientes: tunc enim primum ab illis adverſa erant. Socratem vero eo tempore admodum iuvenem exſtitiſſe: legiſſe autem illis Zenonem ipſum. Parmenidem enim forte extra domum fuiſſe. Ac parum ſuperfuiſſe legendum Pythodorus aiebat, cum intraſſet domum ipſe una cum Parmenide & Ariſtotele, qui de triginta viris unus fuit. Itaque pauca, quae legenda reſtabant, audiſſe: verumtamen a Zenone prius omnia percepiſſe. Socratem igitur, cum ea audiſſet, primam primi ſermonis hypotheſin relegere iuſſiſſe; ac ea lecta, ſic intuliſſe: Quomodo id dicis, o Zeno, ſi multa ſunt, quae ſunt, oportere ea ſimilia atque diſſimilia eſſe? eſt enim impoſſibile. Neque enim vel diſſimilia ſimilia, vel ſimilia diſſimilia eſſe poſſunt. nonne ſic dicis? Sic certe, reſpondiſſe Zenonem. Nonne, ſi impoſſibile eſt, diſſimilia ſimilia, aut ſimilia diſſimilia eſſe, impoſſibile eſt etiam, multa eſſe? nam ſi multa eſſent, impoſſibile quiddam eis accidat. Num hoc ſermones tui volunt?

μενα, ὡς οὐ πολλά ἐστι; καὶ τούτου αὐτοῦ οἴει σοὶ τεκμήριον
εἶναι ἕκαστον τῶν λόγων; ὥστε καὶ ἡγῇ τοσαῦτα τεκμήρια
παρέχεσθαι, ὅσους περ λόγους γέγραφας, ὡς οὐκ ἔστι πολ-
p. λά; οὕτως λέγεις, ἢ ἐγὼ οὐκ ὀρθῶς καταμανθάνω; Οὔκ-
127 ἀλλὰ, φάναι τὸν Ζήνωνα, καλῶς συνῆκας ὅλον τὸ γράμμα
a. ὃ βούλεται. Μανθάνω, εἰπεῖν τὸν Σωκράτην, ὦ Παρμενίδη,
ὅτι Ζήνων ὅδε οὐ μόνον τῇ ἄλλῃ σοῦ φιλίᾳ βούλεται ᾠκειῶ-
σθαι, ἀλλὰ καὶ τῷ συγγράμματι. ταυτὸν γὰρ γέγραφε τρό-
πον τινὰ ὅπερ σύ. μεταβαλὼν δὲ ἡμᾶς πειρᾶται ἐξαπατᾶν,
ὡς ἕτερόν τι λέγων. σὺ μὲν γὰρ ἐν τοῖς ποιήμασιν ἓν φῂς εἶναι
b. τὸ πᾶν, καὶ τούτων τεκμήρια παρέχῃ, καλῶς γε καὶ εὖ· ὅδε
δὲ αὖ οὐ πολλὰ φησὶν εἶναι, τεκμήρια δὲ καὶ αὐτὸς πάμπολ-
λα καὶ παμμεγέθη παρέχεται. τὸ οὖν τὸν μὲν, ἓν φάναι,
τὸν δὲ, μὴ πολλὰ, καὶ οὕτως ἑκάτερον λέγειν ὥστε μηδὲν τῶν
αὐτῶν εἰρηκέναι δοκεῖν, σχεδόν τι λέγοντας ταυτὰ, ὑπὲρ ἡμᾶς
τοὺς ἄλλους φαίνεται ἡμῖν τὰ εἰρημένα εἰρῆσθαι. Ναὶ, φά-
ναι τὸν Ζήνωνα, ὦ Σώκρατες. σὺ δ' οὖν τὴν ἀλήθειαν τοῦ

neque aliud quidquam intendunt, quam per omnia aſſere-
re, *non eſſe multa?* huiuſque ipſius unamquamque rationem
coniecturam eſſe putas, ac totidem coniecturas attuliſſe te
cenſes, quot rationes attuliſti, quod multa non ſint? Sicne
dicis, an ipſe non recte percipio? Immo, reſpondiſſe Zeno-
nem, Optime, quid haec ſcripta ſentiant, intellexiſti. Intelligo,
dixiſſe Socratem, o Parmenides, quod Zeno hic non amici-
tia ſolum conſpirare vult tecum, ſed iis etiam, quae compo-
ſuit. idem enim quodammodo, quod & tu, ſcripſit: verum
permutatione quadam nos decipere tentat, quaſi aliud, quam
tu, dicat. Nam tu in poëmatibus unum vis eſſe hoc totum,
quod eſt: atque huius argumenta quam pulcherrima exhi-
bes. Hic vero multa eſſe negat, coniecturas & ipſe permul-
tas ac validas praebens. Dum ergo alter Unum dicit, alter
Non multa, & eum in modum uterque loquitur, ut non vi-
deantur idem inferre, cum tamen eadem ferme dicant, vi-
dentur nobis iſta ſupra nos dici. Ita eſt, o Socrates, dixiſſe

γράμματος οὐ παντα χοῦ ἤσθησαι. καίτοι ὥσπέρ γε αἱ Λά- c.
καιναι σκυλακες, εὖ μεταθεῖς τε καὶ ἰχνεύεις τὰ λεχθέντα.
ἀλλὰ πρῶτον μέν σε τοῦτο λανθάνει, ὅτι οὐ παντάπασιν οὕ-
τω σεμνύνεται τὸ γράμμα, ὥστε ἅπερ σὺ λέγεις διανοηθὲν
γραφῆναι, τοὺς ἀνθρώπους δὲ ἐπικρυπτόμενον, ὡς τι μέγα
διαπραττόμενον· ἀλλὰ σὺ μὲν εἶπες τῶν συμβεβηκότων τι, ἔσι
δὲ τόγε ἀληθὲς, βοήθειά τις ταῦτα τὰ γράμματα τῷ Παρ-
μενίδου λόγῳ, πρὸς τοὺς ἐπιχειροῦντας αὐτὸν κωμῳδεῖν, ὡς
εἰ ἔν ἐσι πολλὰ, καὶ γελοῖα συμβαίνει πάσχειν τῷ λόγῳ, d.
καὶ ἐναντία αὐτῷ. ἀντιλέγει δὴ οὖν τοῦτο τὸ γράμμα πρὸς
τοὺς τὰ πολλὰ λέγοντας, καὶ ἀνταποδιδωσι ταῦτα καὶ πλείω·
τοῦτο βουλόμενον δηλοῦν, ὡς ἔτι γελοιότερα πάσχοι ἂν αὐ-
τῶν ἡ ὑπόθεσις, ἢ, εἰ πολλά ἐσιν, ἢ ἡ τοῦ ἓν εἶναι, εἴτις ἱκα-
νῶς ἐπεξιοι. διὰ τοιαύτην δὴ φιλονεικίαν ὑπὸ νέου ὄντος ἐμοῦ
ἐγράφη, καί τις αὐτὸ ἔκλεψε γραφέν. ὥστε οὐδὲ ἐμὲ βου-
λευσασθαι ἐξεγένετο εἴτ' ἐξοισέον αὐτὸ εἰς τὸ φῶς, εἴτε μή. e.
ταυτη οὖν σε λανθάνει, ὦ Σώκρατες, ὅτι οὐχ ὑπὸ νέου φι-

Zenonem. non omnino tamen rem tenes, quamvis ceu canes Lacaenae bene inſequeris & veſtigas dicta. Primum enim hoc te fallit, quod ſe tollant idcirco ſcripta, ut ſi, quod tu putas, ceteri conſequi non poſſint, magnum quiddam ſit nobis confectum: ſed quod quaeſitum tu putas, ultro ſic evenit. Sunt enim haec revera conſcripta in ſuffragium Parmenidis, adverſus eos, qui illum carpere nituntur, dicentes, ſi quidem unum ſit omne, ridicula plurima huic opinioni, ac etiam ſibi penitus repugnantia, eventura. Oppugnat igitur eos ſcriptum hoc, qui multa eſſe volunt: ac plura viciſſim obiicit, ut pateat, multo abſurdiora ex opinione illorum ſequi, quod ſcilicet multa ſint, quam ex opinione Parmenidis, quod ſit unum, ſi quis diligenter examinarit. Ob hanc itaque contentionem in ipſa iuventute librum compoſui, quem ſurripiens quiſpiam edidit, antequam conſultare mihi liceret, an edendus eſſet in lucem, necne. Id ergo te fugit, o Socrates, quod exiſtimas, non iuvenili contentione, ſed ſenili ambitio-

λονεικίας οἶει αὐτὸ γεγράφθαι, ἀλλ' ὑπὸ πρεσβυτέρου φιλοτιμίας. ἐπεὶ ὅπερ γ' εἶπον, οὐ κακῶς ἀπείκασας. Ἀλλ' ἀποδέχομαι, φάναι τὸν Σωκράτην, καὶ ἡγοῦμαι ὡς λέγεις ἔχειν. τόδε δέ μοι εἰπέ· οὐ νομίζεις εἶναι αὐτὸ καθ' αὑτὸ εἶδός τι
p. ὁμοιότητος, καὶ τῷ τοιούτῳ αὖ ἄλλό τι ἐναντίον, ὃ ἐξιν
129 ἀνόμοιον; τούτοιν δὲ δυοῖν ὄντοιν, καὶ ἐμὲ καί σε, καὶ τὰ
a. ἄλλα, ἃ δὴ πολλὰ καλοῦμεν, μεταλαμβάνειν; καὶ τὰ μὲν τῆς ὁμοιότητος μεταλαμβάνοντα, ὅμοια γίγνεσθαι ταύτῃ τε καὶ κατὰ τοσοῦτον ὅσον ἂν μεταλαμβάνοι; τὰ δὲ τῆς ἀνομοιότητος, ἀνόμοια; τὰ δὲ ἀμφοτέρων, ἀμφότερα; εἰ δὲ καὶ πάντα ἐναντίων ὄντων ἀμφοτέρων μεταλαμβάνει, καὶ ἔξι, τῷ μετέχειν ἀμφοῖν, ὅμοιά τε καὶ ἀνόμοια αὐτὰ αὑ-
b. τοῖς, τί θαυμαστόν; εἰ μὲν γὰρ αὐτὰ τὰ ὅμοια τὶς ἀπέφαινεν ἀνόμοια γιγνόμενα, ἢ τὰ ἀνόμοια ὅμοια, τέρας ἂν, οἶμαι, ἦν· εἰ δὲ τὰ τούτων μετέχοντα ἀμφοτέρων, ἀμφότερα ἀποφαίνει πεπονθότα, οὐδὲν ἔμοιγε, ὦ Ζήνων, ἄτοπον δοκεῖ· οὐδέ γε εἰ ἓν ἅπαντα ἀποφαίνει τὶς, τῷ μετέχειν τοῦ ἑνὸς, καὶ ταυτὰ ταῦτα, πολλὰ, τῷ πλήθους αὖ μετέχειν· ἀλλ'

ne ſcriptum fuiſſe. Verumtamen, ut dixi, non inepte conieciſti. Accipio, inquit Socrates, & puto ſic ſe, ut dicis, habere. Sed hoc mihi reſponde, putaſne eſſe per ſe ſpeciem quandam ſimilitudinis? & huic aliam quandam contrariam diſſimilitudinis ſpeciem? in quibus duabus & ego & tu participemus, & alia, quae utique multa vocamus? atque ea, quaecunque in ſimilitudine participant, ſimilia fieri eatenus, quatenus participant? quae vero diſſimilitudine, diſſimilia: & quae utriſque, utraque? Quod ſi omnia utriſque contrariis exiſtentibus participant: in eo, quod utroque participant, ſimilia & diſſimilia inter ſe ſunt, quid mirum? Si quis enim ipſa ſimilia diſſimilia eſſe diceret, vel diſſimilia ipſa ſimilia; monſtrum quoddam, ut arbitror, diceret. ſin autem participantia in utriſque quiſpiam utraque pati aſſereret, nihil mihi, o Zeno, mirandum eſſe videretur. neque etiam id mirarer, ſi quis cuncta unum diceret, ex eo, quod in uno participant; atque haec eadem ra-

εἰ ὅ ἔστιν ἕν, αὐτὸ τοῦτο πολλὰ ἀποδείξει, καὶ αὖ τὰ πολλὰ
δὴ, ἕν, τοῦτο ἤδη θαυμάσομαι. καὶ περὶ τῶν ἄλλων ἁπάντων c.
ὡσαύτως· εἰ μὲν αὐτὰ τὰ γένη τε καὶ εἴδη ἐν αὐτοῖς ἀπο-
φαίνοι τἀναντία ταῦτα πάθη πάσχοντα, ἄξιον θαυμάζειν·
εἰ δέ με ἕν τις ἀποδείξει ὄντα καὶ πολλὰ, τί θαυμαστόν; λέ-
γων, ὅταν μὲν βούληται πολλὰ ἀποφαίνειν, ὡς ἕτερα μὲν
τὰ ἐπὶ δεξιᾷ μου ἐστὶν, ἕτερα δὲ τὰ ἐπ' ἀριστερᾷ· καὶ ἕτερα
μὲν τὰ πρόσθεν, ἕτερα δὲ τὰ ὄπισθεν· καὶ ἄνω καὶ κάτω ὡσ-
αύτως· (πλήθους γάρ, οἶμαι, μετέχω) ὅταν δὲ ἕν, ἐρεῖ ὡς d.
ἑπτὰ ἡμῶν ὄντων εἷς ἐγώ εἰμι ἄνθρωπος, μετέχων καὶ τοῦ
ἑνός. ὥστε ἀληθῆ ἀποφαίνοι ἀμφότερα. ἐὰν οὖν τις τοιαῦτα
ἐπιχειρῇ πολλὰ καὶ ἓν ταυτὰ ἀποφαίνειν, λίθους καὶ ξύλα,
καὶ τὰ τοιαῦτα· φήσομεν αὐτὸν πολλὰ καὶ ἓν ἀποδεικνύναι,
οὐ τὸ ἓν πολλὰ, οὐδὲ τὰ πολλὰ ἕν· οὐδέ τι θαυμαστὸν λέγειν,
ἀλλ' ἅπερ ἂν πάντες ὁμολογῶμεν. ἐὰν δέ τις ὧν νῦν δὴ ἐγὼ
ἔλεγον, πρῶτον μὲν διαιρῆται χωρὶς αὐτὰ καθ' αὑτὰ τὰ εἴ-

sus multa, quia multitudine quoque participant. At si quod ipsum unum est, hoc ipsum multa esse ostenderit, & ipsa multa unum, iam summopere admirabor. ac de ceteris omnibus eodem modo. nam si genera ipsa & species in se ipsis ista contraria recipere dicat, admiratione profecto dignum erit. Etenim si quis me unum ac multa esse demonstret, nihil mirum: si quidem volens multa me afferere, dixerit alia esse dextera mea, sinistra alia, alia anteriora, alia posteriora, & superiora denique ac inferiora similiter: multitudinis quippe, ut arbitror, particeps ipse sum. unum vero si me ostendere volens, dixerit, quod e nobis, qui septem sumus, ego unus homo sim, unius particeps, similiter nihil mirum. quamobrem vera utraque affirmantur. Si ergo quispiam talia conetur unum & multa eadem demonstrare, lapides videlicet, ac ligna, & reliqua huiusce modi, unum & multa ipsum ostendisse fatebimur, non tamen unum multa, neque multa unum: neque mirabile quippiam dixisse, sed quod omnes confiteremur. At si quis eorum, quae paulo ante

c. δη, οἷον ὁμοιότητά τε καὶ ἀνομοιότητα, καὶ πλῆθος καὶ τὸ ἕν, καὶ στάσιν καὶ κίνησιν, καὶ πάντα τὰ τοιαῦτα· εἶτα ἐν ἑαυτοῖς ταῦτα δυνάμενα συγκεράννυσθαι καὶ διακρίνεσθαι ἀποφαίνῃ, ἀγαίμην ἂν ἔγωγ', ἔφη, θαυμαστῶς, ὦ Ζήνων. ταῦτα δὲ ἀνδρείως μὲν πάνυ ἡγοῦμαι πεπραγματεῦσθαι· πολὺ μέντ' ἂν ὧδε μᾶλλον, ὡς λέγω, ἀγασθείην, εἴ τις ἔχοι τὴν αὐτὴν ταύτην ἀπορίαν, ἐν αὐτοῖς τοῖς εἴδεσι παντοδαπῶς
p. πλεκομένην, ὥσπερ ἐν τοῖς ὁρωμένοις διήλθετε, οὕτω καὶ ἐν
130 τοῖς λογισμῷ λαμβανομένοις ἐπιδεῖξαι. Λέγοντος δὴ, ἔφη
a. ὁ Πυθόδωρος, τοῦ Σωκράτους ταῦτα, αὐτὸς μὲν οἴεσθαι ἐφ' ἑκάστου ἄχθεσθαι τόν τε Παρμενίδην καὶ τὸν Ζήνωνα· τοὺς δὲ πάνυ γε αὐτῷ προσέχειν τὸν νοῦν, καὶ θαμὰ εἰς ἀλλήλους βλέποντας μειδιᾷν, ὡς ἀγαμένους τὸν Σωκράτην. ὅπερ οὖν καὶ παυσαμένου αὐτοῦ εἰπεῖν τὸν Παρμενίδην, ὦ Σώκρα-
b. τες, φάναι, ὡς ἄξιος εἶ ἄγασθαι τῆς ὁρμῆς τῆς ἐπὶ τοὺς λόγους. καί μοι εἰπὲ, αὐτὸς σὺ οὕτως διήρησαι ὡς λέγεις; χωρὶς μὲν εἴδη αὐτὰ ἄττα, χωρὶς δὲ τὰ τούτων αὖ μετέχοντα;

dixi, primum ſpecies ipſas ſecundum ſe ipſas ſeorſum diſtingueret, veluti ſimilitudinem, diſſimilitudinem, multitudinem, unum, ſtatum, motum, ceteraque huiuſmodi, deinde in ſe ipſis iſta commiſceri ſecernique poſſe aſſereret; obſtupeſcerem equidem, o Zeno. Et ſi ea, quae ſcripſiſti, ut virum fortem decet, pertractata eſſe reor; multo tamen magis mirarer, atque laetarer, ſi quis poſſet hanc eandem quaeſtionem, in ipſis ſpeciebus penitus implicitam, quemadmodum in rebus, quae videntur, expoſitum eſt, ita & in iis, quae ratione comprehenduntur, clarius explicare. Dum haec Socrates diceret, aiebat Pythodorus, ſe putaſſe, Parmenidem & Zenonem in ſingulis eſſe adverſus Socratem indignatos. eos autem ſumma quadam attentione auſcultaſſe, ac frequenter alterutrum reſpicientes ſubriſiſſe, quaſi Socratem admirantes. Unde cum finem Socrates loquendi feciſſet, dixiſſe Parmenidem: O Socrates, quam dignus es admiratione propter impetum illum diſputandi! verum mihi dicas oro, tune ita, ut

καὶ τί σοι δοκεῖ εἶναι αὐτὸ ὁμοιότης χωρὶς, ἧς ἡμεῖς ὁμοιότητος ἔχομεν, καὶ ἓν δὴ, καὶ πολλά; καὶ πάντα ὅσα δὴ νῦν Ζήνωνος ἤκουες; Ἐμοιγε, φάναι τὸν Σωκράτην. Ἦ καὶ τὰ τοιάδε, εἰπεῖν τὸν Παρμενίδην, οἷον δικαίου τι εἶδος αὐτὸ καθ' αὑτό; καὶ καλοῦ καὶ ἀγαθοῦ, καὶ πάντων αὖ τῶν τοιούτων; Ναὶ, φάναι. Τι δ', ἀνθρώπου εἶδος χωρὶς ἡμῶν; καὶ c.
τῶν οἷοι ἡμεῖς ἐσμὲν πάντων; αὐτό τι εἶδος ἀνθρώπου, ἢ πυρὸς, ἢ καὶ ὕδατος; Ἐν ἀπορίᾳ, φάναι, πολλάκις δὴ, ὦ Παρμενίδη, περὶ αὐτῶν γέγονα, πότερα χρὴ φάναι ὥσπερ περὶ ἐκείνων, ἢ ἄλλως. Ἦ καὶ περὶ τῶνδε, ὦ Σώκρατες, ἃ καὶ γελοῖα δόξειεν ἂν εἶναι, οἷον θρὶξ, καὶ πηλὸς, καὶ ῥύπος, ἢ ἄλλό τι ἀτιμότατόν τε καὶ φαυλότατον, ἀπορεῖς εἴτε χρὴ φάναι καὶ τούτων ἑκάστου εἶδος εἶναι χωρὶς, ὃν ἄλλο αὐτῶν ἢ ὧν ἡμεῖς μεταχειριζόμεθα, εἴτε καὶ μή; Οὐδαμῶς, φάναι d.
τὸν Σωκράτην, ἀλλὰ ταῦτά γε ἅπερ ὁρῶμεν, ταῦτα καὶ εἶναι· εἶδος δέ τι αὐτῶν οἰηθῆναι εἶναι, μὴ λίαν ᾖ ἄτοπον.

dicis, seorsum quidem ipsas species discrevisti, seorsum etiam speciebus participantia: videturque tibi quiddam esse ipsa seorsum similitudo, cuius & nos participes sumus, & quiddam seorsum unum, quiddam seorsum multa, & illa omnia, quaecunque nuper a Zenone audivisti? Mihi quidem videtur, Socratem respondisse. Num talia quaedam inquis, rogasse Parmenidem, ceu iusti speciem quandam ipsam, & pulchri, & boni, atque omnium denique talium? Prorsus. Numquid speciem hominis seorsum a nobis, & ceteris eiusdem generis, & ignis etiam & aquae speciem? Saepenumero, inquit Socrates, in hac sum ambiguitate versatus, utrum de iis perinde, ut de superioribus, dicendum sit, an secus. Utrum de iis etiam dubitasti, o Socrates, quae ridicula forte quis putet, sicut de pilis, lutove, & macula, & aliis ignobilissimis rebus atque vilissimis? num ambigis, utrum ponenda sit horum cuiusque separata species, aliud quiddam ab illis exsistens, quae nos petractamus, an non? Nullo pacto, inquit Socrates: sed quae videmus, haec & sunt. speciem vero quandam il-

ἤδη μέντοι ποτέ με καὶ ἔδραξε μή τι ᾖ περὶ πάντων ταυτόν· ἔπειτα ὅταν ταύτῃ ᾖ, φεύγων οἴχομαι, δείσας μή ποτε εἰς τινα ἄμυδον φλυαρίαν ἐμπεσὼν διαφθαρῶ. ἐκεῖσε δ' οὖν ἀφικόμενος εἰς ἃ δὴ νῦν ἐλέγομεν εἴδη ἔχειν, περὶ ἐκεῖνα πραγ-
c. ματευόμενος διατρίβω. Νέος γὰρ εἶ ἔτι, φάναι τὸν Παρμενίδην, ὦ Σώκρατες· καὶ οὔπω σοῦ ἀντείληπται φιλοσοφίας ὡς ἔτι ἀντιλήψεται κατ' ἐμὴν δόξαν, ὅτε οὐδὲν αὐτῶν ἀτιμάσεις. νῦν δὲ ἔτι πρὸς ἀνθρώπων ἀποβλέπεις δόξας, διὰ τὴν ἡλικίαν. τόδε οὖν μοι εἰπὲ, δοκεῖ σοι, ὡς φῂς, εἴδη εἶναι ἄττα, ὧν τάδε τὰ ἄλλα μεταλαμβάνοντα τὰς ἐπωνυμίας αὐ-
p. τῶν ἴσχειν; οἷον, ὁμοιότητος μὲν μεταλαβόντα, ὅμοια· με-
131 γέθους δὲ, μεγάλα· κάλλους δὲ καὶ δικαιοσύνης, δίκαιά τε
a. καὶ καλὰ γίγνεσθαι. Πάνυ γε, φάναι τὸν Σωκράτην. Οὐκοῦν ἤτοι ὅλου τοῦ εἴδους ἢ μέρους ἕκαστον τὸ μεταλαμβάνον μεταλαμβάνει; ἢ ἄλλη τις ἂν μετάληψις χωρὶς τούτων γένοιτο; Καὶ πῶς ἄν; εἶπε. Πότερον οὖν δοκεῖ σοι ὅλον τὸ εἶδος ἓν ἑκάστῳ εἶναι τῶν πολλῶν, ἓν ὄν; ἢ πῶς; Τί γὰρ κωλύει, φά-

lorum eſſe putare, forte nimis ridiculum eſſet. Aliquando tamen haec me cogitatio perturbavit, ne quid forte ſit in omnibus idem: ſed ubi pauliſper inſtiti, inde rurſus diſceſſi, metuens, ne in nugas nullis unquam verbis explicandas merſus perirem. Unde reverſus ad ea, quae ſpecies habere praediximus, circa illa iam verſor. Iuvenis adhuc es, o Socrates, necdum te philoſophia complexa eſt: amplectetur autem, ut mea fert opinio, quando nihil iſtorum neglexeris. nunc vero ad opiniones hominum ob aetatem reſpicis. Hoc igitur mihi dic. videnturne tibi, ut aiebas, ſpecies quaedam exſiſtere, & ea, quae illis participant, illarum cognomenta ſortiri? veluti ſimilitudine participantia, ſimilia; magnitudine, magna; pulchritudine atque iuſtitia, pulchra & iuſta vocari? Et maxime quidem, inquit Socrates. Nonne quodcunque ſpeciei particeps fit, vel totam ſpeciem vel partem participat? an eſt alius praeter iſtos participandi modos? Et quis alius? Socrates ait. Utrum videtur tibi tota ſpecies in unoquoque mul-

ναι τὸν Σωκράτην, ὦ Παρμενίδη, ἓν εἶναι; Ἓν ἄρα ὂν καὶ ταυτὸ ἐν πολλοῖς καὶ χωρὶς οὖσιν, ὅλον ἅμα ἓν ἔσαι· καὶ οὕτως αὐτὸ αὐτοῦ χωρὶς ἂν εἴη. Οὐκ ἂν εἶναι, φάναι. Οἷον, εἰ ἡμέρα εἴη μία καὶ ἡ αὐτὴ οὖσα, πολλαχοῦ ἅμα ἐστὶ, καὶ οὐδέν τι μᾶλλον αὐτὴ αὑτῆς χωρὶς ἔστιν· οὕτω καὶ ἕκαστον τῶν εἰδῶν ἓν ἐν πᾶσιν ἅμα ταυτὸν εἴη. Ἡδέως γε, φάναι, ὦ Σωκρατες, ἓν ταυτὸν ἅμα πολλαχοῦ ποιεῖς· οἷον εἰ ἱστίῳ καταπετάσας πολλοὺς ἀνθρώπους, φαίης ἐπὶ πολλοῖς εἶναι ἓλον. ἢ οὐ τὸ τοιοῦτον ἦ ἢ λέγειν; Ἴσως, φάναι. Ἦ οὖν ὅλον ἑφ' ἑκάστῳ τὸ ἱστίον εἴη ἄν, ἢ μέρος αὐτοῦ ἄλλο ἐπ' ἄλλῳ; Μέρος. Μεριστὰ ἄρα, φάναι, ὦ Σώκρατες, ἔστιν αὐτὰ τὰ εἴδη· καὶ τὰ μετέχοντα αὐτῶν, μέρους ἂν μετέχοι, καὶ οὐκέτι ἓν ἑκάστῳ ὅλον, ἀλλὰ μέρος ἑκάστου ἂν ἓν εἴη. Φαίνεται οὕτω γε. Ἦ οὖν ἐθελήσεις, ὦ Σώκρατες, φάναι τὸ ἓν εἶδος ἡμῖν τῇ ἀληθείᾳ μερίζεσθαι; καὶ ἔτι ἓν ἔσαι; Οὐδαμῶς, εἰπεῖν. Ὅρα γὰρ, φάναι, εἰ αὐτὸ τὸ μέγεθος μεριεῖς, καὶ ἕκαστον τῶν πολλῶν μεγάλων, μεγέθους μέρει σμικροτέρῳ αὐτοῦ

torum esse, una exsistens? an aliter? Quid prohibet, esse unam? Unum ergo & idem in multis seorsum positis, totum simul unum erit, atque ita ipsum a se ipso seorsum exsistet. Nequaquam, inquit Socrates. Verum sicut dies unus denique ubique semel adest, nec ipse tamen a se ipso secernitur; ita nil prohibet, quamlibet speciem unam & eandem simul multis adesse, nec tamen a se ipsa secerni. Belle, o Socrates, unum idem simul in multis ostendis, ac si multos homines velo tegens, dicas unum in multis totum esse. nonne tale quiddam dicis? Forsitan. An ergo totum velamen singulis, vel pars eius alia alteri aderit? Pars. Divisibiles igitur, inquit, o Socrates, species erunt, & quae illis participant, partem capient, nec amplius in quolibet tota, sed pars cuiusque unum erit. Sic apparet. Quid igitur? numquid dices, unam speciem revera & dividi, & unam esse? Nullo modo. Considera itaque, si ipsam magnitudinem partiaris, & unumquodque plurium magnorum parte magnitudinis minore, quam

τοῦ μεγέθους, μέγα ἔχαι, ἆρ' οὐκ ἄλογον φανεῖται; Πάνυ γε, ἐφη. Τι δέ; τοῦ ἴσου μέρους ἕκαστον σμικρὸν ἀπολαβόντι, ἔξει ᾧ ἐλάττονι ὄντι αὐτοῦ τοῦ ἴσου, τὸ ἔχον, ἴσον τῳ ἔχαι; Ἀδύνατον. Ἀλλὰ τοῦ σμικροῦ μέρος τις ἡμῶν ἕξει· τούτου δὲ αὐτοῦ τὸ σμικρὸν μεῖζον ἔχαι, ἅτε μέρους αὐτοῦ ὄντος. καὶ οὕτω δὴ αὐτὸ τὸ σμικρὸν μεῖζον ἔχαι. ᾧ δ' ἂν προστεθῇ τὸ ἀφαιρεθὲν, τοῦτο σμικρότερον ἔχαι, ἀλλ' οὐ μεῖζον ἢ πρίν. Οὐκ ἂν γένοιτο, φάναι, τοῦτό γε. Τίνα οὖν τρόπον, εἰπεῖν, ὦ Σώκρατες, τῶν εἰδῶν σοι τἄλλα μεταλήψεται, μήτε κατὰ μέρη, μήτε κατὰ ὅλα μεταλαμβάνειν δυνάμενα; Οὐ μὰ τὸν Δία, φάναι, οὔ μοι δοκεῖ εὔκολον εἶναι τὸ τοιοῦτον οὐδαμῶς διορίσασθαι. Τί δὲ δή; πρὸς τόδε πῶς ἔχεις; Τὸ ποῖον; Οἶμαί σε ἐκ τοῦ τοιοῦδε ἓν ἕκαστον εἶδος οἴεσθαι εἶναι· ὅταν πόλλ' ἄττα μεγάλα δόξῃ σοὶ εἶναι, μία τὶς ἴσως δοκεῖ ἰδέα αὕτη εἶναι ἐπὶ πάντα ἰδόντι, ὅθεν ἓν τὸ μέγα ἡγῇ εἶναι. Ἀληθῆ λέγεις, φάναι. Τί δ' αὐτὸ τὸ μέγα, καὶ τἄλλα τὰ μεγάλα,

ipsa sit, magnum erit, nonne procul a ratione videbitur? Prorsus. Quid vero? ipsius aequalis parte unumquodque parvum participans, habebit, quo minore exsistente, quam ipsum aequale, id, quod habet, aequale alicui sit? Impossibile. Sed & aliquis nostrum ipsius parvi partem habebit, qua ipsum parvum maius est, quippe cum ea pars ipsius exsistat: atque ita ipsum parvum maius erit; id autem, cui ablata pars adiicitur, minus erit, & nihilo maius, quam antea fuerit. Istud inquit fieri non posse. Quo igitur modo, o Socrates, ait, cetera speciebus participabunt, cum nec secundum totas, neque secundum partes participare queant? Per Iovem, non leve quiddam hoc ad determinandum mihi quidem videtur. Ad illud autem quid ais? Quodnam? Reor, te idcirco quamlibet speciem putare unam, quia, cum plura quaedam magna abs te videntur, una quaedam forsan idea tibi videtur omnia perspicienti, unde ipsum magnum unum esse putas. Vera dicis. Quid, si ipsum magnum, atque alia, quae magna sunt, animo per omnia eodem modo consideres, nonne unum

ἐὰν ὡσαύτως τῇ ψυχῇ ἐπὶ πάντα ἴδῃς, οὐχὶ ἕν τι αὖ μέγα φανεῖται, ᾧ ταῦτα πάντα ἀνάγκη μεγάλα φαίνεσθαι; Ἔοικεν. Ἄλλο ἄρα εἶδος μεγέθους ἀναφανήσεται, παρ' αὐτό τε τὸ μέγεθος γεγονὸς καὶ τὰ μετέχοντα αὐτοῦ· καὶ ἐπὶ τούτοις αὖ πᾶσιν ἕτερον, ᾧ ταῦτα πάντα μεγάλα ἔσται· καὶ b. οὐκέτι δὴ ἓν ἕκαστον σοὶ τῶν εἰδῶν ἔσται, ἀλλ' ἄπειρα τὸ πλῆθος. Ἀλλὰ φάναι, ὦ Παρμενίδη, τὸν Σωκράτην, μὴ τῶν εἰδῶν ἕκαστον τούτων ᾖ νόημα, καὶ οὐδαμοῦ αὐτῷ προσήκῃ ἐγγίνεσθαι ἄλλοθι ἢ ἐν ψυχῇ. οὕτω γὰρ ἂν ἕν τε ἕκαστον εἴη, καὶ οὐκ ἂν ἔτι πάσχοι ἃ νῦν δὴ ἐλέγετο. Τί οὖν; φάναι, ἓν ἕκαστόν ἐστι τῶν νοημάτων, νόημα δὲ, οὐδενός; Ἀλλ' ἀδύνατον, εἰπεῖν. Ἀλλὰ τινός; Ναί. Ὄντος, ἢ οὐκ ὄντος; Ὄντος. c. Οὐχ ἑνός τινος, ὃ ἐπὶ πᾶσιν ἐκεῖνο τὸ νόημα ἐπὸν νοεῖ, μίαν τινὰ οὖσαν ἰδέαν; Ναί. Εἶτα οὐκ εἶδος ἔσται τοῦτο τὸ νοούμενον ἓν εἶναι, ἀεὶ ὂν τὸ αὐτὸ ἐπὶ πᾶσιν; Ἀνάγκη αὖ φαίνεται. Τί δὲ δή; εἰπεῖν τὸν Παρμενίδην, οὐκ ἀνάγκη, εἰ τἄλλα φῂς τῶν εἰδῶν μετέχειν, ἢ δοκεῖν σοι ἐκ νοημάτων

quiddam magnum iterum apparebit, quo haec omnia magna videri neceſſe eſt? Apparet. Idcirco alia iam magnitudinis ſpecies, praeter ipſam magnitudinem, & participantia magnitudine, iterum elucebit: & in iis omnibus alia rurſus, qua univerſa ſint magna: nec amplius unaquaeque ſpecies una erit, ſed numero potius infinitae. At forſitan, inquit Socrates, quaelibet harum ſpecierum notio quaedam eſt, nec alibi eſſe, quam in animis, poteſt. ſic enim unaquaeque una erit, nec contingent, quae tu dicebas. Quid ergo? inquit: quaelibet notio una eſt? notio autem, nullius notio? At hoc impoſſibile. Sed cuiuſdam? Cuiuſdam ſane. Exſiſtentis, vel non exſiſtentis? Exſiſtentis. Num unius cuiuſdam, quod notio illa in omnibus ſequens intelligit, ideam unam? Prorſus. Praeterea, nonne ſpecies erit, hoc quod intelligitur unum eſſe, ſemper in omnibus eadem? Neceſſarium hoc quoque videtur. Quid vero? inquit Parmenides, an non neceſſe eſt, cum cetera ſpeciebus participent, ex notionibus unumquodque

ἕκαστον εἶναι, καὶ πάντα νοεῖν, ἢ νοήματα ὄντα, ἀνόητα εἶναι; Ἀλλ' οὐδὲ τοῦτο, Φάναι, ἔχει λόγον. ἀλλ', ὦ Παρ-
d. μενίδη, μάλιστα ἔμοιγε καταφαίνεται ὧδε ἔχειν. τὰ μὲν εἰδη ταῦτα, ὥσπερ παραδείγματα, ἑστάναι, τῇ φύσει· τὰ δὲ ἄλλα, τούτοις ἐοικέναι, καὶ εἶναι ὁμοιώματα. καὶ ἡ μέθεξις αὕτη τοῖς ἄλλοις γίγνεσθαι τῶν εἰδῶν οὐκ ἄλλη τις ἢ εἰκασθῆναι αὐτοῖς. εἰ οὖν τι, ἔφη, ἔοικε τῷ εἴδει, οἷόν τε ἐκεῖνο τὸ εἶδος μὴ ὅμοιον εἶναι τῷ εἰκασθέντι, καθόσον αὐτῷ ἀφωμοιώθη; ἢ ἐσί τις μηχανὴ, τὸ ὅμοιον μὴ ὁμοίῳ εἶναι ὅμοιον; Οὐκ ἔστι. Τὸ δὲ ὅμοιον τῷ ὁμοίῳ ἆρ' οὐ μεγάλη ἀνάγκη ἑνὸς
e. τοῦ αὐτοῦ εἴδους μετέχειν; Ἀνάγκη. Οὗ δ' ἂν τὰ ὅμοια μετέχοντα, ὅμοια ᾖ, οὐκ ἐκεῖνο ἔστι αὐτὸ τὸ εἶδος; Παντάπασι μὲν οὖν. Οὐκ ἄρα οἷόν τέ τι τῷ εἴδει ὅμοιον εἶναι, οὐδὲ τὸ εἶδος, ἄλλῳ· εἰ δὲ μὴ, παρὰ τὸ εἶδος ἀεὶ ἄλλο ἀναφανήσε-
p. ται εἶδος· καὶ ἂν ἐκεῖνό τῳ ὅμοιον ᾖ, ἕτερον αὖ· καὶ οὐδέποτε
133 a. παύσεται ἀεὶ καινὸν εἶδος γιγνόμενον, ἐὰν καὶ τὸ εἶδος τῷ ἑαυτοῦ μετέχοντι ὅμοιον γίγνηται. Ἀληθέστατα λέγεις. Οὐκ

constare, & intelligere singula? vel cum sint notiones, nihil tamen intelligere? Sed ne id, inquit, rationem habet. verum quam maxime sic ista mihi se habere videntur, has quidem species tanquam exemplaria in natura consistere; cetera vero iis similia fieri, atque esse simulacra, nec aliter ista speciebus participare, quam quod illis similia fiunt. Si quid igitur, ut ais, speciei simile est, utrum possibile est, speciem ipsam non esse similem eius, quod ipsi simile factum est, quatenus ipsi factum est simile? an cogitari potest, simile non esse simili simile? Non certe. Simile autem nonne eiusdem speciei necessario particeps est, cuius & illud, cui simile sit? Necesse est. At quo similia participantia similia fiunt, nonne illud ipsa species erit? Omnino. Non igitur potest quidquam speciei simile esse, nec species alteri. nam praeter ipsam speciem, species alia semper emergeret: quod si illa cuiquam sit similis, alia rursus: nec unquam progressus iste cessabit: quin nova species semper occurret, si species participanti similis sit. Verissima loqueris. Non ergo per

ἄρχ ὁμοιότητι τἄλλα τῶν εἰδῶν μεταλαμβάνει· ἀλλά τι ἄλλο δεῖ ζητεῖν ᾧ μεταλαμβάνει. Ἔοικεν. Ὁρᾷς οὖν, φάναι, ὦ Σώκρατες, ὅση ἡ ἀπορία, ἐάν τις ὡς εἰδη ὄντα αὐτὰ καθ' ἑαυτὰ διορίζηται; Καὶ μάλα. Εὖ τοίνυν ἴσθι, φάναι, ὅτι, ὡς ἔπος εἰπεῖν, οὐδέπω ἅπτῃ αὐτῆς ὅση ἐστὶν ἡ ἀπορία, εἰ ἓν εἶδος b. ἕκαστον τῶν ὄντων αἰεί τι ἀφοριζόμενος ζητεῖς. Πῶς δή; εἰπεῖν. Πολλὰ μὲν καὶ ἄλλα, φάναι, μέγιστον δὲ τόδε· εἴτις φαίη μηδὲ προσήκειν αὐτὰ γιγνώσκεσθαι, ὄντα τοιαῦτα οἷα φαμὲν δεῖν εἶναι τὰ εἴδη, τῷ ταῦτα λέγοντι οὐκ ἂν ἔχοι τις ἐνδείξασθαι ὅτι ψεύδεται· εἰ μὴ πολλῶν μὲν τύχοι ἔμπειρος ὢν ὁ ἀμφισβητῶν, καὶ μὴ ἀφυὴς, ἐθέλοι δὲ πάνυ πολλὰ καὶ πόρρωθεν πραγματευομένου τοῦ ἐνδεικνυμένου ἕπεσθαι· ἀλλ' ἀπιθανος ἂν εἴη ὁ ἄγνωτα αὐτὰ ἀναγκάζων εἶναι. Πῇ δή, c. ὦ Παρμενίδη; φάναι τὸν Σωκράτη. Ὅτι, ὦ Σώκρατες, οἶμαι ἂν καί σε καὶ ἄλλον ὅστις αὐτήν τινα καθ' αὐτὴν αὐτοῦ ἑκάστου οὐσίαν τίθεται εἶναι, ὁμολογῆσαι ἄν, πρῶτον μὲν μηδεμίαν αὐτῶν εἶναι ἐν ἡμῖν. Πῶς γὰρ ἂν αὐτὴ καθ' αὐτὴν

similitudinem cetera speciebus participant, sed alius quidam praeterea quaerendus est participandi modus. Apparet. Cernis, o Socrates, quanta sequitur ambiguitas, si quis species, quae species sunt, ipsas secundum se distinguat? Et maxime, inquit. Scito insuper, te nondum, ut ita dixerim, comprehendere, quanta sit difficultas, si unamquamque rerum speciem segregatam ab aliis ponas. Quomodo id, inquit? Multa quidem alia sunt: sed hoc est maximum, quia, si quis illas neque noſci oportere contendat, cum sint tales, quales esse debere species dicimus, eum sane, qui ista dicat, nemo possit redarguere, nisi multarum rerum peritus & ingeniosus sit, qui isthuc contendat, paratusque praeterea sequi demonstrantem, & plurima longa ambage inferentem: persuaderi autem non poterit, qui ignotas illas esse contendat. Cur, o Parmenides? ait Socrates. Quoniam, o Socrates, & te arbitror, & quemvis alium, quicunque essentiam quandam ipsam secundum se exsistentem ponit, eam in nobis esse non fore concessurum. Quo enim

ἔτι εἴη; Φάναι τὸν Σωκράτη. Καλῶς λέγεις, εἰπεῖν. Οὐκοῦν
καὶ ὅσαι τῶν ἰδεῶν πρὸς ἀλλήλας εἰσιν αἳ εἰσιν, αὐταὶ πρὸς
d. αὑτὰς τὴν οὐσίαν ἔχουσιν, ἀλλ' οὐ πρὸς τὰ παρ' ἡμῖν εἴτε
ὁμοιώματα, εἴτε ὅπη δή τις αὐτὰ τίθεται, ὧν ἡμεῖς μετέχον-
τες, εἶναι ἕκαστα ἐπονομαζόμεθα. τὰ δὲ παρ' ἡμῖν ταῦτα,
ὁμώνυμα ὄντα ἐκείνοις, αὐτὰ αὖ πρὸς αὑτά ἐστιν, ἀλλ' οὐ
πρὸς τὰ εἴδη, καὶ ἑαυτῶν, ἀλλ' οὐκ ἐκείνων ὅσα αὖ ὀνομά-
ζεται οὕτω. Πῶς λέγεις; Φάναι τὸν Σωκράτην. Οἷον, Φάναι
τὸν Παρμενίδην, εἴτις ἡμῶν του δεσπότης ἢ δοῦλός ἐστιν, οὐκ
αὐτοῦ δεσπότου δήπου ὅ ἐστι δεσπότης, ἐκείνου δοῦλός ἐστιν·
e. οὐδὲ αὐτοῦ δούλου, ὅ ἐστι δοῦλος, δεσπότης ὁ δεσπότης· ἀλλ'
ἄνθρωπος ὢν ἀνθρώπου ἀμφότερα ταῦτά ἐστιν. αὐτὴ δὲ δε-
σποτεία, αὐτῆς δουλείας ἐστὶν ὅ ἐστι· καὶ δουλεία ὡσαύτως,
αὐτὴ δουλεία αὐτῆς δεσποτείας. ἀλλ' οὐ τὰ ἐν ἡμῖν πρὸς
ἐκεῖνα τὴν δύναμιν ἔχει, οὐδὲ ἐκεῖνα πρὸς ἡμᾶς· ἀλλ', ὃ λέ-
P. γω, αὐτὰ αὑτῶν καὶ πρὸς αὐτὰ ἐκεῖνά τέ ἐστι, καὶ τὰ παρ'
134 ἡμῖν ὡσαύτως πρὸς ἑαυτά. ἢ οὐ μανθάνεις ὃ λέγω; Πάνυ
a.

pacto, inquit Socrates, ipsa secundum se ipsam esset? Recte loqueris. Nonne igitur quotcunque ex ideis invicem respiciunt quae sunt, ipsae ad se ipsas essentiam habent? non autem ad ea, quae circa nos sunt, sive simulacra, sive quomodocunque illa quispiam nominet, quibus nos participantes singula esse denominamur? quae vero circa nos sunt illis aequivoca, ipsa similiter ad se ipsa, non ad species, sunt, & sui ipsorum, non illarum, quaecunque rursus similiter nuncupantur. Quomodo dicis? inquit Socrates. Veluti si quis nostrum alicuius dominus aut servus sit, non ipsius domini, quod dominus est, servus exsistit: neque ipsius servi, quod servus est, dominus est, qui dominus dicitur: sed haec utraque est tanquam homo. ipsa vero dominatio, servitutis ipsius exsistit id, quod est: & ipsa iterum servitus eodem modo, ipsius dominationis est servitus: nec ea, quae nobis insunt, ad illa, nec etiam quae illic sunt, ad nos referuntur; sed, ut dixi, ipsa sui ipsorum & ad se ipsa sunt; & quae hic sunt, similiter ad

γ', εἰπεῖν τὸν Σωκράτη, μανθάνω. Οὐκοῦν καὶ ἐπιστήμη, φάναι, αὐτὴ μὲν ὅ ἐστιν ἐπιστήμη, τῆς ὅ ἐστιν ἀλήθεια, αὐτῆς ἂν ἐκείνης εἴη ἐπιστήμη; Πάνυ γε. Ἑκάστη δὲ αὖ τῶν ἐπιστημῶν ἥ ἐστιν, ἑκάστου τῶν ὄντων, ὅ ἐστιν, εἴη ἂν ἐπιστήμη. ἢ οὔ; Ναί. Ἡ δὲ παρ' ἡμῖν ἐπιστήμη, οὐ τῆς παρ' ἡμῖν ἂν ἀληθείας εἴη; καὶ αὖ ἑκάστη ἡ παρ' ἡμῖν ἐπιστήμη, τῶν παρ' ἡμῖν ὄντων ἑκάστου ἂν ἐπιστήμη συμβαίνοι εἶναι; Ἀνάγκη. b. Ἀλλὰ μὴν αὐτά γε τὰ εἴδη, ὡς ὁμολογεῖς, οὔτε ἔχομεν, οὔτε παρ' ἡμῖν οἷόν τε εἶναι. Οὐ γὰρ οὖν. Γιγνώσκεται δὲ γέ που ὑπ' αὐτοῦ τοῦ εἴδους τοῦ τῆς ἐπιστήμης αὐτὰ τὰ γένη ἃ ἔστιν ἕκαστα; Ναί. Ὅ γε ἡμεῖς οὐκ ἔχομεν. Οὐ γάρ. Οὐκ ἄρα ὑπό γε ἡμῶν γιγνώσκεται τῶν εἰδῶν οὐδέν· ἐπειδὴ αὐτῆς ἐπιστήμης οὐ μετέχομεν. Οὐκ ἔοικεν. Ἄγνωστον ἄρα ἡμῖν ἐστι καὶ αὐτὸ τὸ καλὸν ὅ ἐστι, καὶ τὸ ἀγαθόν· καὶ πάντα ἃ δὴ ὡς c. ἰδέας αὐτὰς οὔσας ὑπολαμβάνομεν. Κινδυνεύει. Ὅρα δὴ ἔτι τούτου δεινότερον τόδε. Τὸ ποῖον; Φαίης ἄν που, εἰπέρ ἐστιν αὐτό τι γένος ἐπιστήμης, πολὺ αὐτὸ ἀκριβέστερον εἶναι ἢ τὴν

se ipsa respiciunt. intelligisne, quod dico? Prorsus intelligo. Nonne & scientia ipsa, quod scientia est, illius ipsius, quod est veritas, scientia est? Omnino quidem. Quaelibet rursus scientiarum, quae est, quod est, alicuius exsistentium est scientia, an non? Profecto. Scientia vero nostra, nonne veritatis, quae circa nos, scientia erit? & rursus, unaquaeque nostra scientia, uniuscuiusque eorum, quae circa nos sunt, scientia? Necesse est. Verumtamen ipsas species neque nos habere, neque circa nos esse posse, assentiris? Non profecto. Numquid scientiae specie genera singula noscuntur? Certe. Quam speciem nos haud habemus. Non certe. Nulla igitur species a nobis cognoscitur, cum ipsius scientiae participes minime simus. Non apparet. Ignotum itaque nobis ipsum pulchrum & ipsum bonum est, & omnia denique, quae ut ideas esse supponimus. Videtur. Considera & hoc etiam gravius. Quidnam? Num fateris, si est ipsum quiddam scientiae genus, multo id praestantius futurum hac nostra scientia? &

παρ' ἡμῖν ἐπιστήμην; καὶ κάλλος, καὶ πάντα τὰ ἄλλα οὕτω; Ναί. Οὐκοῦν, εἴπερ τι ἄλλο αὐτῆς ἐπιστήμης μετέχει, οὐκ ἄν τινα μᾶλλον ἢ θεὸν φαίης ἔχειν τὴν ἀκριβεστάτην ἐπιστήμην; Ἀνάγκη. Ἆρ' οὖν οἷός τε αὖ ἔσται ὁ θεὸς τὰ παρ' ἡμῖν
d. γινώσκειν, αὐτὴν ἐπιστήμην ἔχων; Τί γὰρ οὔ; Ὅτι, ἔφη ὁ Παρμενίδης, ὡμολόγηται ἡμῖν, ὦ Σώκρατες, μήτ' ἐκεῖνα τὰ εἴδη πρὸς τὰ παρ' ἡμῖν τὴν δύναμιν ἔχειν, ἣν ἔχει, μήτε τὰ παρ' ἡμῖν, πρὸς ἐκεῖνα· ἀλλ' αὐτὰ πρὸς αὐτὰ ἑκάτερα. Ὡμολόγηται γάρ. Οὐκοῦν εἰ παρὰ τῷ θεῷ αὕτη ἐστὶν ἡ ἀκριβεστάτη δεσποτεία, καὶ αὕτη ἡ ἀκριβεστάτη ἐπιστήμη, οὔτ' ἂν ἡ δεσποτεία ἡ ἐκείνων, ἡμῶν ποτε ἂν δεσπόσειεν, οὔτ' ἂν ἡ ἐπιστή-
e. μη ἡμᾶς γνοίη, οὐδέ τι ἄλλο τῶν παρ' ἡμῖν· ἀλλὰ ὁμοίως ἡμεῖς ἐκείνων οὐκ ἄρχομεν τῇ παρ' ἡμῖν ἀρχῇ, οὐδὲ γιγνώσκομεν τοῦ θείου οὐδέν, τῇ ἡμετέρᾳ ἐπιστήμῃ· ἐκεῖνοί τε αὖ κατὰ τὸν αὐτὸν λόγον οὔτε δεσπόται ἡμῶν εἰσιν, οὔτε γιγνώσκουσι τὰ ἀνθρώπινα πράγματα, θεοὶ ὄντες. Ἀλλὰ μὴ λίαν, ἔφη, θαυμαστὸς ὁ λόγος, εἴτις τὸν θεὸν ἀποστερήσει τοῦ

ipsam pulchritudinem, ac reliqua, eodem pacto? Immo. Nonne si quid aliud est ipsius scientiae particeps, nullum nisi Deum dices supremam habere scientiam? Necesse est. Num poterit Deus, cum ipsam scientiam sit amplexus, haec nostra dignoscere? Cur non? Quoniam, inquit Parmenides, confessi sumus, o Socrates, neque species illas ad nostra vim habere, quam habent, neque nostra etiam ad superna; verum utraque ad se ipsa referri. Consensimus plane. Ergo si apud Deum suprema ipsa dominatio est, atque ipsa suprema scientia, nunquam aut dominatio ipsa nobis dominabitur, aut ipsa scientia nos, vel aliud nostrorum quidquam, cognoscet: sed & nos similiter Diis minime imperabimus imperio nostro, neque divinum quidquam scientia nostra percipiemus. Et illi item eadem ratione nec nostri erunt domini, neque res humanas, cum Dii sint, animadvertent. At nonne valde mirabilis, inquit, hic sermo videbitur, si quis Deum cognitione privaverit? Haec quidem, o Socrates, inquit Par-

εἰδέναι; Ταῦτα μέντοι, ὦ Σώκρατες, ἔφη ὁ Παρμενίδης, καὶ ἔτι ἄλλα πρὸς τούτοις πάνυ πολλὰ ἀνάγκαιον ἔχειν τὰ εἴδη, εἰ εἰσὶν αὗται αἱ ἰδέαι τῶν ὄντων· καὶ ὁρισῖταί τις αὐτό τι ἕκαστον εἶδος· ὥστε ἀπορεῖν τε τὸν ἀκούοντα, καὶ ἀμφισβητεῖν ὡς οὔτε ἐστὶ ταῦτα, εἴτε ὅτι μάλιστα εἴη, πολλὴ ἀνάγκη αὐτὰ εἶναι τῇ ἀνθρωπίνῃ φύσει ἄγνωστα. καὶ ταῦτα λέγοντα, δοκεῖν τε τι λέγειν· καὶ, ὃ ἄρτι ἐλέγομεν, [illegible]μαζᾶς ὡς δυσκνάπειστον εἶναι· καὶ ἀνδρὸς πάνυ μὲν εὐφυοῦς, τοῦ δυνησομένου μαθεῖν ὡς ἔστι γένος τι ἑκάστου, καὶ οὐσία αὐτὴ καθ' αὑτήν· ἔτι δὲ θαυμαστοτέρου, τοῦ εὑρήσοντος, καὶ ἄλλον δυνησομένου διδάξαι πάντα ταῦτα ἱκανῶς διευκρινησάμενον. Συγχωρῶ σοι, ἔφη, ὦ Παρμενίδη, ὁ Σωκράτης. πάνυ γάρ μοι κατὰ νοῦν λέγεις. Ἀλλὰ μέντοι, εἶπεν ὁ Παρμενίδης, εἰ δή γέ τις, ὦ Σώκρατες, αὖ μὴ ἐάσει εἰδη τῶν ὄντων εἶναι, εἰς πάντα τὰ δὴ νῦν καὶ ἄλλα τοιαῦτα ἀποβλέψας, μηδὲ ὁρίσῖται εἶδος ἑνὸς ἑκάστου, οὐδὲ ὅποι τρέψει τὴν διάνοιαν ἕξει, μὴ ἐῶν ἰδέαν τῶν ὄντων ἑκάστου τὴν αὐτὴν ἀεὶ εἶναι· καὶ οὕ-

p. 135 a. b. c.

menides, aliaque praeter haec multa, neceſſe eſt ſpeciebus contingere, ſi quidem hae rerum ideae ſint, & aliquis unamquamque harum, cum ex ſe ſit, ab aliis ſeparet. unde vacillat, quiſquis haec audit, ac dubitat, ne forte ideae nihil ſint omnino; vel ſi ſint, neceſſe ſit eas humanae naturae ignotas eſſe, adeo ut, qui haec dicit, cum dixiſſe aliquid videatur, mox illud, ut paulo ante patebat, mirum & incredibile videri, & viri admodum ingenioſi eſſe, percipere poſſe quodnam ſit ipſum per ſe cuiuſque genus, & ipſa ſecundum ſe eſſentia cuiuſque; nec non mirabilioris viri officium eſſe, haec poſtquam invenerit, alios docere poſſe, ſufficienter omnia diſcernentem. Aſſentior, o Parmenides, inquit Socrates: quae enim dicis, menti meae mirifice conſonant. Verumtamen, inquit Parmenides, ſi quis, praedictis rationibus motus, ſpecies rerum exſiſtentium auferat, neque ſpeciem ipſam uniuſcuiuſque diſtinguat; haud ſane reperiet, quo convertat intelligentiam, cum non permiſerit ideam uniuſcuiuſ-

τω τὴν τοῦ διαλέγεσθαι δύναμιν παντάπασι διαφθερεῖ. τοῦ τοιούτου μὲν οὖν μοι δοκεῖς καὶ μᾶλλον ἠσθῆσθαι. Ἀληθῆ λέγεις, φάναι. Τί οὖν ποιήσεις φιλοσοφίας πέρι; πῇ τρέψῃ, ἀγνοουμένων τούτων; Οὐ πάνυ μοὶ δοκῶ καθορᾶν ἔν γε τῷ παρόντι. Πρωΐ γὰρ, εἰπεῖν, πρὶν γυμνασθῆναι, ὦ Σώκρατες, ὁρίζεσθαι ἐπιχειρεῖς καλόν τε τί καὶ δίκαιον, καὶ ἀγαθὸν,
d. καὶ ἓν ἕκαστον τῶν εἰδῶν. ἐνενόησα γὰρ καὶ πρώην σοῦ ἀκούων διαλεγομένου ἐνθάδε Ἀριστοτέλει τῷδε. καλὴ μὲν οὖν καὶ θεία, εὖ ἴσθι, ἡ ὁρμὴ ἣν ὁρμᾷς ἐπὶ τοὺς λόγους· ἔλκυσον δὲ σαυτὸν καὶ γύμνασον μᾶλλον διὰ τῆς δοκούσης ἀχρήστου εἶναι καὶ καλουμένης ὑπὸ τῶν πολλῶν ἀδολεσχίας, ἕως ἔτι νέος εἶ· εἰ δὲ μὴ, σὲ διαφεύξεται ἡ ἀλήθεια. Τίς οὖν ὁ τρόπος, φάναι, ὦ Παρμενίδη, τῆς γυμνασίας; Οὗτος, εἶπεν, ὅνπερ ἤκουσας Ζήνωνος. πλὴν τοῦτό γε σοῦ καὶ πρὸς τοῦτο ἠγά-
e σθην, εἰπόντος ὅτι οὐκ εἴας ἐν τοῖς ὁρωμένοις οὐδὲ περὶ ταῦτα τὴν πλάνην ἐπισκοπεῖν· ἀλλὰ περὶ ἐκεῖνα ἃ μάλιστα τις ἂν λό-

que rerum exſiſtentium eandem ſemper exſiſtere; & in hunc modum differendi etiam facultatem funditus ſubvertet. talem quandam rationem tu quoque praecipue ſenſiſſe mihi videris. Vera dicis. Quid itaque de philoſophia facies? quo, his ignoratis, te vertes? Haudquaquam diſcernere id in praeſentia videor. Priuſquam te exercueris, o Socrates, definire aggrederis, quid pulchrum, iuſtum, bonum, & aliarum quaelibet ſpecierum. hoc enim pridem animadverti, hic te audiens una cum hoc Ariſtotele diſputantem. Pulcher ſane atque divinus, mihi crede, impetus iſte tuus, qui ad rationes ſe fert. ceterum collige te ipſum, diligentiuſque te in ea facultate exerce, quae inutilis eſſe videtur multis, & quaedam garrulitas nuncupatur, dum iuvenis es: alioquin te veritas fugiet. Quis eſt igitur exercitationis huiuſce modus, Parmenides? Iſte, inquit, quem a Zenone audiſti. ſed etiam illud tuum adverſus hunc dictum miratus ſum, cum diceres, non in iis, quae oculis percipiuntur, eorumque errore cogitationem ſiſtere oportere, ſed ad ea conſcendere, quae quis maxime ra-

γ' ἐμοὶ λάβοι, καὶ ἤδη ἂν ἡγήσαιτο εἶναι. Δοκεῖ γάρ μοι, ἔφη, ταυτηγε οὐδὲν χαλεπὸν εἶναι, καὶ ὅμοια καὶ ἀνόμοια, καὶ ἄλλο ὁτιοῦν τὰ ὄντα πάσχοντα ἀποφαίνειν. Καὶ καλῶς γ', ἔφη. χρὴ δὲ καὶ τόδε ἔτι πρὸς τούτῳ ποιεῖν· μὴ μόνον εἰ ἔστιν ἑκαστον ὑποτιθέμενον, σκοπεῖν τὰ συμβαινοντα ἐκ τῆς ὑποθέσεως, ἀλλὰ καὶ εἰ μὴ ἔστι τὸ αὐτὸ τοῦτο ὑποτιθεσθαι· εἰ βούλει μᾶλλον γυμνασθῆναι. Πῶς λέγεις; ἔφην. Οἷον, ἔφη, εἰ βούλει περὶ ταυτης τῆς ὑποθέσεως ἣν Ζήνων ὑπέθετο, εἰ πολλα ἐστι, τί χρὴ συμβαινειν καὶ αὐτοῖς τοῖς πολλοῖς πρὸς αὐτὰ καὶ πρὸς τὸ ἕν, καὶ τῷ ἑνὶ πρός σε αὐτὸ καὶ πρὸς τὰ πολλά· καὶ αὖ, εἰ μὴ ἔστι πολλὰ, πάλιν σκοπεῖν τί συμβήσεται καὶ τῷ ἑνὶ καὶ τοῖς πολλοῖς, καὶ πρὸς αὐτὰ καὶ πρὸς ἄλληλα. καὶ αὖθις αὖ, ἐὰν ὑποθῇ, εἰ ἔστιν ὁμοιότης, ἢ εἰ μή ἐστι, τι ἐφ' ἑκατέρας τῆς ὑποθέσεως συμβήσεται καὶ αὐτοῖς τοῖς ὑποτεθεῖσι καὶ τοῖς ἄλλοις, καὶ πρὸς αὐτὰ καὶ πρὸς ἄλληλα. καὶ περὶ ἀνομοίου δ αὐτὸς λόγος, καὶ περὶ κινήσεως, καὶ περὶ στάσεως, καὶ περὶ γενέσεως καὶ φθορᾶς, καὶ περὶ αὐτοῦ τοῦ

P. 136 a.

b.

tione comprehendere, ac vere esse putaret. Quia mihi videtur, inquit, non esse arduum, hoc pacto similia videlicet, atque dissimilia, ceterave, quae rebus exsistentibus competunt, explicare. Et probe quidem, dixit. Est autem praeter hoc, illud etiam observandum, ut non modo si est aliquid supponas, ac deinde quae proveniunt ex suppositione consideres; verum etiam si non sit, supponas, si modo recte exercitari velis. Quo pacto id ais? Verbi causa, si velis de ista suppositione, quam Zeno invexit, si multa sint, disquirere, quid eventurum sit ipsis multis ad se ipsa & ad unum, & uni ad se ipsum & ad multa. ac rursus, si non sunt multa, iterum considerandum, quid accidat uni atque multis, tum ad se ipsa, tum invicem. & rursus, si supposuerit esse similitudinem, vel non esse, quid potissimum ex utraque suppositione contingat, tam iis, quae supposita sunt, quam ceteris omnibus, ad se ipsa pariter, atque invicem. Eadem quoque de dissimilitudine ratio est, de motu, statu, generatione, corruptione,

εἶναι καὶ τοῦ μὴ εἶναι. καὶ, ἐνὶ λόγῳ, περὶ ὅτου ἂν ἀεὶ ὑποθῇ, ὡς ὄντος καὶ οὐκ ὄντος, καὶ ὁτιοῦν ἄλλο πάθος πάσχοντος, δεῖ σκοπεῖν τὰ συμβαινοντα πρὸς αὐτὸ, καὶ πρὸς ἕκα-
c. στον τῶν ἄλλων, ὅ, τι ἂν προέλῃ, καὶ πρὸς πλείω καὶ πρὸς ξύμπαντα ὡσαύτως· καὶ τὰ ἄλλα αὖ, πρὸς αὑτά τε καὶ πρὸς ἄλλο ὅ, τι ἂν ἀεὶ προαιρῇ· ἐάν τε ὡς ὂν ὑποθῇ ὁ ὑπετίθεσο, ἐάν τε ὡς μὴ ὄν· εἰ μέλλεις, τελέως γυμνασάμενος, κυρίως διόψεσθαι τὸ ἀληθές. Ἀμήχανόν γ', ἔφη, λέγεις, ὦ Παρμενίδη, πραγματείαν· καὶ οὐ σφόδρα μανθάνω. ἀλλά μοι τί οὐ διῆλθες, αὐτὸς ὑποθέμενός τι, ἵνα μᾶλλον καταμάθω;
d. Πολὺ ἔργον, φάναι, ὦ Σώκρατες, προστάττεις, ὡς τηλικῷδε. Ἀλλὰ σὺ, εἰπεῖν τὸν Σωκράτη, Ζήνων, τί οὐ διῆλθες ἡμῖν; Καὶ τὸν Ζήνωνα ἐφη γελάσαντα φάναι, Αὐτοῦ, ὦ Σώκρατες, δεώμεθα Παρμενίδου. μὴ γὰρ οὐ φαῦλον ᾖ ὃ λέγει. ἢ οὐχ ὁρᾷς ὅσον ἔργον προστάττεις; εἰ μὲν οὖν πλείους ἦμεν, οὐκ ἂν ἄξιον ἦν δεισθαι. ἁπρεπῆ γὰρ τὰ τοιαῦτα πολλῶν ἐναντιον λέγειν, ἄλλως τε καὶ τηλικούτῳ. ἀγνοοῦσι γὰρ οἱ πολ-

esse, atque non esse: &, ut uno verbo complectar, de quocunque supponitur aut esse, aut non esse, sive quamvis aliam passionem susciperе, considerandа sunt, quae ex suppositione proveniant ad se ipsum, & ad quodlibet aliorum, quodcunque elegeris, & ad plura, & ad universa similiter: & alia rursus ad se ipsa, atque ad aliud, quodcunque assumseris; sive ut exsistens, sive ut non exsistens ipsum posueris, si modo absolute exercitatus veritatem sis penitus inspecturus. Arduum, inquit, opus narras; nec te omnino intelligo. quin tu ipse infers aliquid, illo ipso modo percurrens, ut clarius intelligam? Grande, o Socrates, onus seni imponis. Tunc Socrates: Cur non ipse, o Zeno, hanc rem discurris? Cui Zeno subridens respondit, Ipsum, o Socrates, oremus Parmenidem. neque enim leve quiddam est, quod ait. An non vides, quantum sit negotium, quod iubes? quod si plures essemus, haud sane id postulare deceret. indecorum namque, huiusmodi quaedam in conspectu multorum tractare, atque

λοὶ ὅτι ἄνευ ταύτης τῆς διὰ πάντων διεξόδου τε καὶ πλάνης e.
ἀδύνατον ἐντυχόντα τῷ ἀληθεῖ, νοῦν σχεῖν. ἐγὼ μὲν οὖν, ὦ
Παρμενίδη, Σωκράτει συνδέομαι, ἵνα καὶ αὐτὸς ἀκούσω διὰ
χρόνου. Ταῦτα δὴ εἰπόντος τοῦ Ζήνωνος, ἔφη ὁ Ἀντιφῶν
φάναι τὸν Πυθόδωρον, αὐτόν τε δεῖσθαι τοῦ Παρμενίδου καὶ
τὸν Ἀριστοτέλην καὶ τοὺς ἄλλους, ἐνδείξασθαι ὃ λέγει, καὶ
μὴ ἄλλως ποιεῖν. Τὸν οὖν Παρμενίδην, Ἀνάγκη, φάναι,
πείθεσθαι. καίτοι δοκῶ μοι τὸ τοῦ Ἰβυκείου ἵππου πεπονθέ-
ναι· ᾧ ἐκεῖνος ἀθλητῇ ὄντι καὶ πρεσβυτέρῳ, ὑφ' ἅρματι μέλ- p.
λοντι ἀγωνιεῖσθαι, καὶ δι' ἐμπειρίαν τρέμοντι τὸ μέλλον, 137
ἑαυτὸν ἀπεικάζων, ἄκων ἔφη καὶ αὐτὸς, οὕτω πρεσβύτης ὢν, a.
εἰς τὸν ἔρωτα ἀναγκάζεσθαι ἰέναι. κἀγώ μοι δοκῶ μεμνη-
μένος μάλα φοβεῖσθαι πῶς χρὴ τηλικόνδε ὄντα διανεῦσαι
τοσοῦτόν τε καὶ τοσοῦτον πλῆθος λόγων. ὅμως δὲ δεῖ γὰρ
χαριζεσθαι, ἐπειδὴ καὶ ὁ Ζήνων λέγει. οἱ αὐτοὶ γάρ ἐσμεν.
πόθεν οὖν δὴ ἀρξόμεθα; καὶ τί πρῶτον ὑποθησόμεθα; ἢ βού- b.

id ſeni praecipue: ignorant enim multi, quod abſque hoc per omnia velut diſcurſu & errore, impoſſibile ſit mentis veritati coniunctae compotem fieri. Ego igitur, o Parmenides, una cum Socrate precor, ut mihi etiam liceat tanto tempore tranſacto haec audire. Cum vero haec intuliſſet Zeno, aiebat Antipho dixiſſe Pythodorum, ſe quoque, & Ariſtotelem, ac reliquos omnes obſecraviſſe Parmenidem, ut, quod dixerat, demonſtraret, neque aliter faceret. Tunc demum Parmenides, Neceſſe eſt, inquit, obtemperare, etſi mihi videor in id, quod paſſus eſt Ibycius equus, incidere. cui & athletae & ſeniori, curruum ſubituro certamen, & propter experientiam eventum extimeſcenti, Ibycus ipſe ſe conferens, Invitus, inquit, & ipſe iam ſenex, ad amores regredi cogor. Eadem ratione ego mihi admodum trepidare videor, cum cogito, quo pacto iam grandis natu tam profundum diſſerendi pelagus tranſnatare queam. Obſequendum tamen, cum & Zeno ipſe roget: iidem enim ſumus. Unde igitur incipiemus? quidve primum ponemus? an vultis, poſtquam nego-

λεσθε, ἐπειδή περ δοκεῖ πραγματειώδη παιδιὰν παίζειν, ἀπ' ἐμοῦ ἄρξωμαι καὶ τῆς ἐμαυτοῦ ὑποθέσεως, περὶ τοῦ ἑνὸς αὐτοῦ ὑποθέμενος, εἴτε ἕν ἐστιν, εἴτε μὴ ἕν, τί χρὴ συμβαίνειν; Πάνυ μὲν οὖν, φάναι τὸν Ζήνωνα. Τίς οὖν, εἰπεῖν, μοὶ ἀποκρινεῖται; ἢ ὁ νεώτατος; ἥκιστα γὰρ ἂν πολυπραγμονῇ, καὶ ἃ οἴεται μάλιστ' ἂν ἀποκρινοῖτο· καὶ ἅμα ἐμοὶ ἀνάπαυλα ἂν
c. εἴη ἡ ἐκείνου ἀπόκρισις. Ἕτοιμός σοι, ὦ Παρμενίδη, φάναι τοῦτον τὸν Ἀριστοτέλην· ἐμὲ γὰρ λέγεις, τὸν νεώτατον λέγων. ἀλλ' ἐρώτα ὡς ἀποκρινουμένου δή. Εἶεν· φάναι. εἰ ἕν ἐστιν, ἄλλοτι οὐκ ἂν εἴη πολλὰ τὸ ἕν; Πῶς γὰρ ἄν; Οὔτε ἄρα μέρος αὐτοῦ, οὔτε ὅλον αὐτὸ δεῖ εἶναι. Τί δή; Τὸ μέρος που, μέρος ὅλου ἐστί. Ναί. Τι δὲ τὸ ὅλον; οὐχὶ οὗ ἂν μέρος μηδὲν ἀπῇ, ὅλον ἂν εἴη; Πάνυ γε. Ἀμφοτέρως ἄρα τὸ ἓν ἐκ μερῶν ἂν εἴη, ὅλον τε ὂν καὶ μέρη ἔχον. Ἀνάγκη. Ἀμ-
d. φοτέρως ἂν ἄρα οὕτω τὸ ἓν πολλὰ εἴη, ἀλλ' οὐχ ἕν. Ἀληθῆ. Δεῖ δέ γε μὴ πολλὰ ἀλλ' ἓν αὐτὸ εἶναι. Δεῖ. Οὔτ' ἄρα ὅλον ἔσαι, οὔτε μέρη ἕξει, εἰ ἓν ἔσαι τὸ ἕν. Οὐ γάρ. Οὐκοῦν εἰ μη-

tiosum ludum ingressi sumus, a me ipso meaque positione inprimis exordiar, de ipso uno, inquam, sive unum sit, sive non, quid accidat? Prorsus, inquit Zeno. Quis igitur mihi respondebit? an iunior? minus enim negotii praebebit, & quae ipse sentit, maxime respondebit, ut eius responsio minus me defatiget. Paratus sum, o Parmenides, Aristoteles inquit. me namque significas, dum iuniorem respondere iubes. sed age, ut lubet, interroga me, tanquam libentissime responsurum. Age igitur, si unum est, non utique multa erit ipsum unum. Qui sit enim? Neque igitur partem esse illius aliquam, neque totum ipsum esse oportet. Curnam? Pars utique, totius pars est. Quid vero? nonne totum est, cui nulla pars deest? Prorsus. Utrinque igitur ipsum unum ex partibus esset, totumque exsistens, ac partes habens. Necesse est. Utrinque rursus ipsum unum multa potius, quam unum esset. Verum. Oportet autem non multa, sed unum ipsum exsistere. Oportet sane. Itaque nec totum erit, neque partes habe-

δὲν ἔχει μέρος, οὔτ' ἀρχὴν, οὔτε τελευτὴν, οὔτε μέσον ἔχει. μέρη γὰρ ἂν ἤδη αὐτοῦ τὰ τοιαῦτα εἴη. Ὀρθῶς. Καὶ μὴν τελευτή γε καὶ ἀρχὴ, πέρας ἑκάτερον. Πῶς δ' οὔ; Ἄπειρον ἄρα τὸ ἕν, εἰ μήτε ἀρχὴν μήτε τελευτὴν ἔχει. Ἄπειρον. Καὶ ἄνευ σχήματος ἄρα. οὔτε γὰρ ἂν στρογγύλου οὔτε εὐθέος μετέχοι. Πῶς; Στρογγύλον γέ που ἐστὶ τοῦτο, οὗ ἂν τὰ ἔσχατα πανταχῇ ἀπὸ τοῦ μέσου ἴσον ἀπέχῃ. Ναί. Καὶ μὴν εὐθύ γε, οὗ ἂν τὸ μέσον ἀμφοῖν τοῖν ἐσχάτοιν ἐπιπροσθεν ᾖ. Οὕτως. Οὐκοῦν μέρη ἂν ἔχοι τὸ ἕν, καὶ πόλλ' ἂν εἴη, εἴτ' εὐθέος σχήματος εἴτε περιφεροῦς μετέχοι. Πάνυ μὲν οὖν. Οὔτε ἄρα εὐθὺ οὔτε περιφερές ἐστιν ἐπείπερ οὐδὲ μέρη ἔχει. Ὀρθῶς. Καὶ μὴν τοιοῦτόν γε ὂν, οὐδαμοῦ ἂν εἴη. οὔτε γὰρ ἐν ἄλλῳ οὔτε ἐν ἑαυτῷ εἴη. Πῶς δή; Ἐν ἄλλῳ μὲν ὄν, κύκλῳ που ἂν περιέχοιτο ὑπ' ἐκείνου ἐν ᾧ ἂν εἴη, καὶ πολλαχοῦ ἂν αὐτοῦ ἅπτοιτο πολλοῖς· τοῦ δὲ ἑνός τε καὶ ἀμεροῦς καὶ κύκλου μὴ μετέχοντος ἀδύνατον πολλαχῇ κύκλῳ ἅπτεσθαι. e. p. 138 a.

bit, si unum fuerit ipsum unum. Non certe. Si nullam habet partem, nec principium etiam, neque finem, neque medium habebit. partes enim ipsius haec essent. Probe. Quin etiam principium & finis, termini cuiuslibet sunt. Quidni? Infinitum igitur ipsum unum, cum principio sineque careat. Infinitum. Ergo & absque figura. neque enim rotundi, neque recti particeps est. Cur? Rotundum porro id est, cuius extrema undique a medio aeque distant. Id nempe. Rectum vero, cuius medium extremis utrisque e regione est. Sic est. Nonne partes haberet ipsum unum, multaque esset, si rectae vel circularis figurae esset particeps? Omnino quidem. Idcirco neque rectum est, neque rotundum, cum partes etiam nullas habeat. Recte. Quin etiam cum tale sit, nusquam est. nam neque in alio, neque in se ipso esse potest. Quamobrem? Si in alio esset, circulo quodam ab eo, in quo esset, concluderetur, passimque ab illo, ac multis partibus tangeretur. At cum unum impartibile sit, & rotunditatis expers, impossibile est multifariam circulo tangi. Impossibile. Si in se ipso

ἀδύνατον. Ἀλλὰ μὴν αὐτό γε ἐν ἑαυτῷ ὂν, κἂν ἑαυτὸ εἴη περιέχον, ὃν οὐκ ἄλλο ἢ αὐτό· εἴπερ καὶ ἐν ἑαυτῷ εἴη. ἔν τῳ
b. γάρ τι εἶναι μὴ περιέχοντι ἀδύνατον. Ἀδύνατον γάρ. Οὐκοῦν ἕτερον μὲν ἂν τι εἴη αὐτὸ τὸ περιέχον, ἕτερον δὲ, τὸ περιεχόμενον. οὐ γὰρ ὅλον γε ἅμφω ταυτὸν ἅμα πείσεται καὶ ποιήσει· καὶ οὕτω τὸ ἓν οὐκ ἂν εἴη ἔτι ἕν, ἀλλὰ δύο. Οὐ γὰρ οὖν. Οὐκ ἄρα ἐσί που τὸ ἕν, μήτε ἐν ἑαυτῷ μήτε ἐν ἄλλῳ ἐνόν. Οὐκ ἔοικεν. Ὅρα δὴ, οὕτως ἔχον, εἰ οἷόντε ἐστὶν ἑστάναι ἢ κινεῖσθαι. Τί δὴ γὰρ οὔ; Ὅτι κινούμενόν τε, ἢ φέροιτο ἢ ἀλλοιοῖτο
c. ἄν. αὗται γὰρ μόναι κινήσεις. Ναί. Ἀλλοιούμενον δὲ τὸ ἐν ἑαυτοῦ, ἀδύνατόν που ἓν ἔτι που εἶναι. Ἀδύνατον. Οὐκ ἄρα κατ' ἀλλοίωσίν γε κινεῖται. Οὐ φαίνεται. Ἀλλ' ἆρα τῷ φέρεσθαι; Ἴσως. Καὶ μὴν, εἰ φέροιτο τὸ ἓν, ἤτοι ἐν τῷ αὐτῷ ἂν περιφέροιτο κύκλῳ, ἢ μεταλλάττοι χώραν ἑτέραν ἐξ ἑτέρας. Ἀνάγκη. Οὐκοῦν, κύκλῳ μὲν περιφερόμενον, ἐπὶ μέσου βεβηκέναι ἀνάγκη, καὶ τὰ περὶ τὸ μέσον φερόμενα, ἄλλα μέρη

esset, ipsum se ipsum complecteretur, non aliud quiddam quam ipsummet exsistens, si quidem in semetipso sit. non enim potest quidquam in aliquo esse, quin ab illo etiam comprehendatur. Impossibile certe. An non aliud quiddam esset ipsum ut comprehendens, aliud ut comprehensum? nunquam enim idem ipsum totum utraque haec simul pateretur & ageret. quo fit, ut ipsum unum non unum ulterius, sed duo sit. Est, ut dicis. Nusquam igitur est ipsum unum, quandoquidem nec in alio, nec in semetipso est. Nusquam. Considera, quaeso, num quod huiusmodi est, aut stare aut moveri possit. Quidni possit? Quoniam, quod movetur, vel fertur, vel alteratur. hi quippe soli sunt motus. Esto. Si ipsum unum ex eo, quod est, alteretur, impossibile est iam esse unum. Impossibile. Idcirco secundum alterationem non movetur. Non, ut apparet. Numquid secundum progressionem? Fortassis. Atqui si ipsum unum feratur, vel in eodem motu sphaerico circumfertur, vel locum alium ex alio mutat. Necesse. Nonne quod circulo circumfertur, in medio consistere oportet, atque

ἔχειν ἑαυτοῦ· ᾧ δὲ μήτε μέσου μήτε μερῶν προσήκει, τίς μη- d.
χανὴ τοῦτο κυκλῳ ποτὲ ἐπὶ τοῦ μέσου ἐνεχθῆναι; Οὐδεμία.
Ἀλλὰ δὴ χώραν ἀμείβον, ἄλλοτ' ἄλλοθι γιγνεται, καὶ οὕ-
τω κινεῖται; Εἰπέρ γε δή. Οὐκοῦν εἶναι μέν που ἓν τινι αὐτὸ,
ἀδύνατον ἐφάνη; Ναι. Ἆρ' οὖν γίγνεσθαι ἔτι ἀδυνατώτερον;
Οὐκ ἐννοῶ ὅπη. Εἰ ἓν τῳ τὶ γιγνεται, οὐκ ἀνάγκη μήτέ πω
ἐν ἐκείνῳ εἶναι, ἔτι ἐγγιγνόμενον, μήτέ τι ἔξω ἐκεινου παν-
τάπασιν, εἴπερ ἤδη ἐγγίγνεται; Ἀνάγκη. Εἰ ἄρα τὶ ἄλλο
πείσεται, τοῦτο ἐκεῖνο ἂν μόνον πάσχοι οὗ μέρη εἴη. τὸ μὲν e.
γὰρ ἄν τι αὐτοῦ, ἤδη ἐν ἐκείνῳ, τὸ δὲ, ἔξω εἴη ἅμα. τὸ δὲ μὴ
ἔχον μέρη, οὐχ οἱόντέ που ἔσαι τρόπῳ οὐδενὶ ὅλον ἅμα μή-
τε ἐντὸς εἶναι τινὸς, μήτε ἔξω. Ἀληθῆ. Οὗ δὲ μήτε μέρη
εἰσὶ, μήτε ὅλον τυγχάνει ὄν, οὐ πολὺ ἔτι ἀδυνατώτερον ἐγ-
γίγνεσθαί που; μήτε κατὰ μέρη, μήτε ὅλον ἐγγιγνόμενον;
Φαίνεται. Οὔτ' ἄρα ποι ἰὸν καὶ ἓν τῳ γιγνόμενον, χώραν ἀλ- p.
λάττει, οὔτ' ἐν τῷ αὑτῷ περιφερόμενον, οὔτε ἀλλοιουμενον. 139
a.

alias ſui partes, quae circa medium volvantur, habere? cui vero nec medium, neque pars ulla convenit, quomodo id cogitari poteſt in circulum circa medium volvi? Nullo pacto. An locum tranſiens, alias alibi fit, atque ita movetur? Forte. Num eſſe ipſum in aliquo, ut impoſſibile iam redargutum eſt? Eſt. An non multo magis impoſſibile, ipſum in aliquo fieri? Non intelligo ſatis. Si in aliquo aliquid fit, neceſſe eſt nondum in illo penitus eſſe, ſi quidem adhuc in illo continue fiat: nec etiam extra illud prorſus exſtare, ſi quidem in eo iam fiat. Neceſſe eſt. Si ergo aliud quidquam hoc patitur, id ſolum patitur, cuius partes aliquae ſunt. partim enim in illo iam eſt, quod patitur, partim interim extra. quod autem nullis partibus conſtat, nunquam in aliquo totum eſſe, ac totum ſimul abeſſe poterit. Vera. Quod vero neque partes habet ullas, neque totum eſt, multo magis etiam impoſſibile eſt, ſive ſecundum partes, ſive ſecundum totum alicubi fieri. Apparet. Ergo nec aliquo pergens, nec alicubi ingrediens, locum mutat, neque in eodem revolutum, neque etiam altera-

Οὐκ ἔοικε. Κατὰ πᾶσαν ἄρα κίνησιν τὸ ἓν ἀκίνητον. Ἀκίνητον. Ἀλλὰ μὴν καὶ εἶναί γε φαμὲν ἓν τινι αὐτὸ ἀδύνατον. Φαμὲν γάρ. Οὐδ' ἄρα ποτὲ ἐν τῷ αὐτῷ ἐστι. Τί δή; Ὅτι ἤδη ἂν ἐν ἐκείνῳ εἴη ἐν ᾧ τῷ αὐτῷ ἐστι. Πάνυ μὲν οὖν. Ἀλλ' οὔτε ἐν ἑαυτῷ οὔτε ἐν ἄλλῳ οἷόντε ἦν αὐτῷ ἓν εἶναι. Οὐ γὰρ οὖν.

b. Οὐδέποτε ἄρα ἐστὶ τὸ ἓν ἐν τῷ αὐτῷ. Οὐκ ἔοικεν. Ἀλλὰ μὴν τόγε μηδέποτε ἐν τῷ αὐτῷ ὂν, οὔτε ἡσυχίαν ἄγει, οὔτε ἕστηκεν. Οὐ γὰρ οἷόντε. Τὸ ἓν ἄρα, ὡς ἔοικεν, οὔτε ἕστηκεν, οὔτε κινεῖται. Οὔκουν δὴ φαίνεταί γε. Οὐδὲ μὴν ταυτόν γε οὔτε ἑτέρῳ οὔτε ἑαυτῷ ἐστι, οὐδ' αὖ ἕτερον οὔτε αὐτοῦ, οὔτε ἑτέρου ἂν εἴη. Πῇ δή; Ἕτερον μέν που ἑαυτοῦ ὂν, ἑνὸς ἕτερον ἂν εἴη, καὶ οὐκ ἂν εἴη ἕν. Ἀληθῆ. Καὶ μὴν ταυτόν γε ἑτέρῳ

c. ὂν, ἐκεῖνο ἂν εἴη, αὐτὸ δ' οὐκ ἂν εἴη. ὥστε οὐδ' ἂν οὕτως εἴη ὅπερ ἔστιν ἓν, ἀλλ' ἕτερον ἑνός. Οὐ γὰρ οὖν. Ταυτὸν μὲν ἄρα ἑτέρῳ, ἢ ἕτερον ἑαυτοῦ οὐκ ἔσται. Οὐ γάρ. Ἕτερον δέ γε ἑτέρου οὐκ ἔσται, ἕως ἂν ᾖ ἕν. Οὐ γὰρ ἐνὶ προσήκει ἑτέρῳ τινὸς

tum. Non videtur. Secundum quemlibet igitur motum immobile eſt ipſum unum. Immobile. Praeterea ipſum unum in nullo eſſe poſſe aſſeveravimus. Aſſeveravimus. Haud igitur aliquando in eodem eſt. Quamobrem? Quoniam iam in illo eſſet, in quo eodem eſt. Prorſus. At vero nec in ſe ipſo, neque in alio ipſum unum eſſe poterat. Non certe. Nunquam igitur ipſum unum in eodem exſiſtit. Nunquam, ut videtur. Quod vero nunquam in eodem exſiſtit, neque quietem agit, neque ſtat. Neque enim poſſibile eſt. Idcirco ipſum unum nec ſtare, neque moveri videtur. Non apparet. Item nec alteri, neque ſibi ipſi etiam idem eſt: rurſuſque nec a ſe ipſo, nec ab alio quodam alterum. Quid ita? Si a ſe ipſo alterum ſit, ab uno alterum eſſet, nec eſſet unum. Vera. Et ſi alteri idem fuerit, illud quidem erit, nec ipſum, quod eſt: quapropter nec ulterius erit ipſum, quod unum, ſed aliud quiddam praeter unum. Sic eſt. Ideo idem alteri, vel a ſemetipſo alterum dici nunquam debet. Nunquam plane. Sed neque alterum ab alio eſſe poteſt, donec unum eſt. neque enim

εἶναι, ἀλλὰ μόνῳ ἑτέρῳ ἑτέρου, ἄλλῳ δὲ οὐδενί. Ὀρθῶς. Τῷ μὲν ἄρα ἓν εἶναι, οὐκ ἔξαι ἕτερον. ἢ οἴει; Οὐ δῆτα. Ἀλλὰ μήν, εἰ μὴ τούτῳ, οὐχ ἑαυτῷ ἔξαι· εἰ δὲ μὴ αὐτῷ, οὐδὲ αὐτό. αὐτὸ δὲ μηδαμῇ ὂν ἕτερον, οὐδενὸς ἔξαι ἕτερον. Ὀρ- d.
θῶς. Οὐδὲ μὴν ταυτὸν ἑαυτῷ ἔξαι. Πῶς δ' οὔ; Οὐχ ἥπερ τοῦ ἑνὸς φύσις, αὐτὴ δήπου καὶ τοῦ ταυτοῦ; Τί δή; Ὅτι οὐκ ἐπειδὰν ταυτὸν γένηταί τῳ τι, ἓν γίγνεται. Ἀλλὰ τί μήν; Τοῖς πολλοῖς ταυτὸν γενόμενον, πολλὰ ἀνάγκη γίγνεσθαι, ἀλλ' οὐχ ἕν. Ἀληθῆ. Ἀλλ' εἰ τὸ ἓν καὶ τὸ ταυτὸν μηδαμῇ διαφέρει, ὁπότε τι ταυτὸν ἐγίγνετο, ἀεὶ ἂν ἓν ἐγίγνετο· καὶ ὁπότε ἓν, ταυτόν. Πάνυ γε. Εἰ ἄρα τὸ ἓν ἑαυτῷ ταυτὸν ἔξαι, οὐχ ἓν ἑαυτῷ ἔξαι· καὶ οὕτως ἓν ὄν, οὐχ ἓν ἔξαι. e.
Ἀλλὰ μὴν τοῦτό γε ἀδύνατον. Ἀδύνατον ἄρα καὶ τῷ ἑνὶ, ἢ ἕτερον ἕτερον εἶναι, ἢ ἑαυτῷ ταυτόν. Ἀδύνατον. Οὕτω δὴ ἑτερόν γε ἢ ταυτὸν τὸ ἓν οὔτ' ἂν αὐτῷ οὔτ' ἂν ἑτέρῳ εἴη. Οὐ γὰρ οὖν. Οὐδὲ μὴν ὅμοιον τινὶ ἔξαι οὐδ' ἀνόμοιον, οὐδ' ἑαυ-

uni congruit, ut ab aliquo alterum ſit, ſed ſoli ei, quod alterum eſt ab alio: alteri autem nulli convenit. Probe. Ex eo igitur, quod unum eſt, non erit alterum. an putas? Nequaquam. Quod niſi hoc, non ſe ipſo: ſi non ſe ipſo, neque ipſum. ipſum vero, nullo modo alterum exſiſtens, a nullo alterum eſt. Recte. Neque ſibi ipſi idem erit. Cur non? Non ea eſt ipſius unius natura, quae ipſius eiuſdem natura eſt. Quare? Quia nondum, cum idem fit aliquid alicui, unum efficitur. Qua de cauſa? Quod multis idem fit, multa, non unum, fieri neceſſe eſt. Verum. At ſi ipſum unum atque ipſum idem nihil diſcreparent, quoties quid idem fieret, unumquodque ſemper efficeretur: quotieſque unum, ſemper & idem. Et maxime quidem. Quapropter ſi ipſum unum ſibimet idem fuerit, non unum ſibi exſiſtet: atque ita unum exſiſtens, non unum erit. Impoſſibile id quidem. Impoſſibile igitur, ipſum unum, aut alterum ab alio, aut ſibi ipſi idem eſſe. Impoſſibile. Hac itaque ratione, unum nec idem, nec alterum, aut ſibi, aut alteri eſſe poterit. Non

τῷ οὔθ' ἑτέρῳ. Τί δή; Ὅτι τὸ ταυτόν που πεπονθὸς, ὅμοιον. Ναί. Τοῦ δέ γε ἑνὸς χωρὶς ἐφάνη τὴν φύσιν τὸ ταυτόν.
p. Ἐφάνη γάρ. Ἀλλὰ μὴν εἴτι πέπονθε, χωρὶς τοῦ ἓν εἶναι,
140 τὸ ἕν, πλείω ἂν εἶναι πεπόνθοι, ἢ ἕν. τοῦτο δὲ ἀδύνατον. Ναί.
a. Οὐδαμῶς ἔσιν ἄρα ταυτὸν πεπονθὸς εἶναι τὸ ἓν οὔτε ἄλλῳ οὔτε ἑαυτῷ. Οὐ φαίνεται. Οὐδὲ ὅμοιον ἄρα δυνατὸν αὐτὸ εἶναι οὔτε ἄλλῳ, οὔτε ἑαυτῷ. Οὐκ ἔοικεν. Οὐδὲ μὴν ἑτερόν γε πέπονθεν εἶναι τὸ ἕν. καὶ γὰρ οὕτω πλείω ἂν πεπόνθοι εἶναι ἢ ἕν. Πλείω γάρ. Τό γε μὴν ἕτερον πεπονθὸς ἢ ἑαυτοῦ, ἢ ἄλλου,
b. ἀνόμοιον ἂν εἴη ἢ ἑαυτῷ ἢ ἄλλῳ· εἴπερ τὸ ταυτὸ πεπονθὸς, ὅμοιον. Ὀρθῶς. Τὸ δέ γε ἕν, ὡς ἔοικεν, οὐδαμῶς ἕτερον πεπονθὸς, οὐδαμῶς ἀνόμοιόν ἐσιν οὔτε ἑαυτῷ οὔτε ἑτέρῳ. Οὐ γὰρ οὖν. Οὔτε ἄρα ὅμοιον, οὔτε ἀνόμοιον οὔθ' ἑτέρῳ οὔτε ἑαυτῷ ἂν εἴη τὸ ἕν. Οὐ φαίνεται. Καὶ μὴν τοιοῦτόν γε ὂν, οὔτε ἴσον οὔτε ἄνισον ἔξαι, οὔτε ἑαυτῷ οὔτε ἄλλῳ. Πῇ δή; Ἴσον μὲν ὄν,

profecto. Sed neque ſimile, neque diſſimile cuipiam, aut ſibi, aut alteri. Quam ob cauſam? Quia ſimile eſt, cui idem quiddam accidit. Nempe. Ipſum tamen idem ab uno natura ſecerni, ex ante dictis apparuit. Apparuit certe. Verumtamen ſi quid praeter id, quod eſt unum eſſe, ipſum unum recipit, patitur iam plura eſſe, quam unum. id autem impoſſibile eſt. Ita. Ob hanc cauſam nunquam ipſum unum, idem eſſe, vel ſibi, vel alteri patitur. Non videtur. Ergo nec ſimile aut ſibimet, aut alteri eſſe poteſt. Sic apparet. Nihilo tamen magis eſſe alterum ſuſtinet: etenim plura, quam unum, eſſe contingeret. Plura ſane. Quod alterum vel a ſe, vel ab alio fit, diſſimile quoque aut ſibi ipſi, aut alteri cuidam efficitur: quippe cum illud etiam, quod idem eſſe recipit, ſimile fiat. Probe. Unde ipſum unum, cum nullo modo ſuſceperit alterum, nunquam quoque diſſimile ſive ſibimet, ſive alteri fiet. Nunquam profecto. Quamobrem nec ſimile, neque diſſimile unquam aut ſibi, aut alteri, ipſum unum eſt. Non, ut videtur. Praeterea cum huiuſmodi ſit, nec aequale etiam, nec inaequale cuiquam, vel ſibi, vel alteri. Quid ita? Quod ae-

τῶν αὐτῶν μέτρων ἕξαι ἐκείνῳ ᾧ ἂν ἴσον ᾖ. Ναί. Μεῖζον δέ που ἢ ἔλαττον ὄν, οἷς μὲν ἂν σύμμετρον ᾖ, τῶν μὲν ἐλαττόνων πλείω μέτρα ἕξει, τῶν δὲ μειζόνων, ἐλάττω. Ναί. Οἷς c. δ' ἂν μὴ σύμμετρον, τῶν μέν, σμικροτέρων, τῶν δὲ, μειζόνων μέτρων ἕξαι. Πῶς γὰρ οὔ; Οὐκοῦν ἀδύνατον τὸ μὴ μετέχον τοῦ αὐτοῦ, ἢ μέτρων τῶν αὐτῶν εἶναι, ἢ ἄλλων ὁντινωνοῦν τῶν αὐτῶν; Ἀδύνατον. Ἴσον μὲν ἄρα οὐτ' ἂν ἑαυτῷ οὔτε ἄλλῳ εἴη, μὴ τῶν αὐτῶν μέτρων ὄν. Οὐκουν φαίνεταί γε. Ἀλλὰ μὴν πλειόνων γε μέτρων ὂν ἢ ἐλαττόνων, ὅσων περ μέτρων, τοσούτων καὶ μερῶν ἂν εἴη. καὶ οὕτως αὖ οὐκέτι d. ἓν ἔσται, ἀλλὰ τοσαῦτα ὅσά περ καὶ τὰ μέτρα. Ὀρθῶς. Εἰ δέ γε ἑνὸς μέτρου εἴη, ἴσον ἂν γίγνοιτο τῷ μέτρῳ. τοῦτο δὲ ἀδύνατον ἐφάνη, ἴσόν τῳ αὐτὸ εἶναι. Ἐφάνη γάρ. Οὔτε ἄρα ἑνὸς μέτρου μετέχον, οὔτε πολλῶν οὔτε ὀλίγων, οὔτε τοπαράπαν τοῦ αὐτοῦ μετέχον, οὔτε ἑαυτῷ ποτε, ὡς ἔοικεν, ἕξαι ἴσον,

quale eſt, earundem menſurarum eſt, quarum & illud, cui aequale dicitur. Sic eſt. Quod maius eſt vel minus, quoad illa, quibus commenſurabile eſt, minoribus quidem plures menſuras habet, maioribus autem pauciores. Certe. Quibus autem incommenſurabile, quoad haec quidem minorum, quoad illa vero maiorum menſurarum erit. Quidni? Nonne impoſſibile eſt, quod nullo modo ipſius eiuſdem eſt particeps, aut menſuras eaſdem, aliud quodvis idem ſortiri? Impoſſibile. Itaque nec ſibi, nec alteri erit aequale: quippe cum menſuris eiſdem non utatur. Minime, ut apparet. Quin etiam ſi pluribus aut paucioribus menſuris circumſcribetur, totidem partibus, quot & menſuris, conſtabit: rurſuſque non amplius unum erit, ſed tot potius, quot & menſurae inſunt. Recte. Quod ſi unius menſurae ſit, aequale utique ipſi menſurae fieret. verumtamen impoſſibile eſſe apparuit, ipſum unum aequale cuiquam eſſe. Apparuit certe. Quod igitur nec unius menſurae eſt particeps, neque multarum, neque etiam paucarum, nec ullo modo ipſius eiuſdem, nunquam ſibi ipſi, ut videtur, erit aequale, nec etiam alteri: nec maius praeterea,

οὔτε ἄλλῳ· οὐδ' αὖ μεῖζον οὐδὲ ἔλαττον, οὔτε ἑαυτοῦ οὔτε ἑτέρου. Παντάπασι μὲν οὖν οὕτω. Τί δέ; πρεσβύτερον, ἢ νεώ-
e. τερον. ἢ τὴν αὐτὴν ἡλικίαν ἔχειν τὸ ἓν δοκεῖ τῷ ὄντατον εἶναι; Τί δὴ γὰρ οὔ; Ὅτι που ἡλικίαν μὲν τὴν αὐτὴν ἔχον ἢ ἑαυτῷ ἢ ἄλλῳ, ἰσότητος χρόνου καὶ ὁμοιότητος μεθίξει· ὧν ἐλέγομεν οὐ μετεῖναι τῷ ἑνὶ, οὔτε ὁμοιότητος οὔτε ἰσότητος. Ἐλέγομεν γὰρ οὖν. Καὶ μὴν καὶ ὅτι ἀνομοιότητός τε καὶ
p. ἀνισότητος οὐ μετέχει, καὶ τοῦτο ἐλέγομεν. Πάνυ μὲν οὖν. Πῶς οὖν οἷόντε ἔσαι τινὸς ἢ πρεσβύτερον ἢ νεώτερον εἶναι,
141 a. ἢ τὴν αὐτὴν ἡλικίαν ἔχειν τῳ, τοιοῦτον ὄν; Οὐδαμῶς. Οὐκ ἄρ' ἂν εἴη νεώτερόν γε οὐδὲ πρεσβύτερον, οὐδὲ τὴν αὐτὴν ἡλικίαν ἔχον τὸ ἓν οὔτε αὐτῷ οὔτε ἄλλῳ. Οὐ φαίνεται. Ἆρ' οὖν οὐδὲ ἐν χρόνῳ τοπαράπαν δύναιτ' ἂν εἶναι τὸ ἓν, εἰ τοιοῦτον εἴη; ἢ οὐκ ἀνάγκη, ἐάν τι ᾖ ἐν χρόνῳ, ἀεὶ αὐτὸ αὑτοῦ πρεσβύτερον γίγνεσθαι; Ἀνάγκη. Οὐκοῦν τόγε πρεσβύτε-
b. ρον, ἀεὶ νεωτέρου πρεσβύτερον; Τί μήν; Τὸ πρεσβύτερον ἄρα ἑαυτοῦ γιγνόμενον, καὶ νεώτερον ἑαυτοῦ ἅμα γίγνεται· εἴ-

aut minus, vel ſemetipſo, vel alio. Sic prorſus ſe habet. An forte antiquius, aut iunius aliquo, vel etiam coaetaneum ipſum unum apparet? Quid prohibet? Id ſane, quoniam ſi eandem aetatem vel ſecum, vel cum alio quopiam aget, aequalitate & ſimilitudine temporis participabit. oſtenſum eſt tamen, nec aequalitatem, nec ſimilitudinem ipſi uni ullam adeſſe poſſe. Oſtenſum profecto. Nonne hoc quoque diximus, nec inaequalitatis, neque diſſimilitudinis compos exſiſtere? Quam maxime. Quo igitur pacto, quod huiuſmodi eſt, ſenius aut iunius aliquo, vel aetate par ulli eſſe poterit? Nullo modo. Ergo ipſum unum non iunius, non ſenius, non aetate par, aut ad ſe ipſum, aut ad aliud erit? Non apparet. Item nec in tempore etiam ullo pacto ipſum unum, cum tale ſit, erit unquam. etenim neceſſe eſt, quidquid eſt in tempore, ſe ipſo ſemper ſenius fieri. Neceſſe. Et quod ſenius, ſemper iuniori ſenius. Cur non? Itaque quod ſe ipſo ſit ſenius, ſe ipſo etiam ſimul iunius fit: ſiquidem aliquo

περ μέλλει ἔχειν ἕτου πρεσβύτερον γίγνεται. Πῶς λέγεις; Ὧδε. διάφορον ἕτερον ἑτέρου οὐδὲν δεῖ γίγνεσθαι ἤδη ὄντος διαφόρου· ἀλλὰ τοῦ μὲν ἤδη ὄντος, ἤδη εἶναι, τοῦ δὲ γεγονότος, γεγονέναι· τοῦ δὲ μέλλοντος, μέλλειν· τοῦ δὲ γιγνομένου, οὔτε γεγονέναι, οὔτε μέλλειν, οὔτε εἶναι τῷ τὸ διάφορον· ἀλλὰ γίγνεσθαι, καὶ ἄλλως οὐκ εἶναι. Ἀνάγκη γάρ. Ἀλλὰ μὴν τόγε πρεσβύτερον διαφορότης νεωτέρου ἐστὶ, c. καὶ οὐδενὸς ἄλλου. Ἔστι γάρ. Τὸ ἄρα πρεσβύτερον ἑαυτοῦ γιγνόμενον, ἀνάγκη καὶ νεώτερον ἅμα ἑαυτοῦ γίγνεσθαι. Ἔοικεν. Ἀλλὰ μὴν καὶ μήτε πλείω ἑαυτοῦ χρόνον γίγνεσθαι, μήτ' ἐλάττω· ἀλλὰ τὸν ἴσον χρόνον καὶ γίγνεσθαι ἑαυτῷ καὶ εἶναι, καὶ γεγονέναι, καὶ μέλλειν ἔσεσθαι. Ἀνάγκη γὰρ οὖν καὶ ταῦτα. Ἀνάγκη ἄρα ἐστὶν, ὡς ἔοικεν, ὅσά γε ἐν χρόνῳ ἐστὶ, καὶ μετέχει τοῦ τοιούτου, ἕκαστον αὐτῶν d. τὴν αὐτήν τε αὐτὸ ἑαυτῷ ἡλικίαν ἔχειν, καὶ πρεσβύτερόν τε αὑτοῦ ἅμα καὶ νεώτερον γίγνεσθαι. Κινδυνεύει. Ἀλλὰ μὴν τῷ γε ἑνὶ τῶν τοιούτων παθημάτων οὐδὲν μετῆν. Οὐ γὰρ μετῆν. Οὐδὲ ἄρα χρόνου αὐτῷ μέτεστιν, οὐδ' ἔστιν ἔν τινι

senius esse debet. Quomodo dicis? Hoc modo. diversum alterum alteri nihil fieri oportet, diversum cum iam sit: sed iam exsistentis iam esse, praeteriti praeteriisse, futuri fore: eius vero, quod fit, nec praeteriisse, nec fore, nec esse, diversum est, sed fieri, nec aliter esse. Necesse est. At vero senius oppositum quiddam est iuniori, nec alteri penitus ulli. Est. Quod ergo se ipso fit senius, necesse est simul quoque se ipso iunius fieri. Videtur. Quin etiam nec longiori se ipso tempore, neque breviori fieri; sed per aequale semper tempus secum ipso fieri, & esse, & fuisse, futurum esse, ac fore. Necessaria quoque haec sunt. Necessarium ergo videtur, quodlibet eorum, quae in tempore sunt, atque hoc tali participant, eandem secum ipso aetatem agere, ac senius se ipso simul & iunius fieri. Apparet. Ipsi vero uni nulla prorsus ex his passionibus accidit. Nulla. Nullius ergo temporis particeps, nec in aliquo tempore. Non sane, ut ratio dictat. Quid

χρόνῳ. Οὔκουν δὴ, ὡς γε ὁ λόγος ἐρεῖ. Τί οὖν; τὸ ἦν, καὶ τὸ γέγονε, καὶ τὸ ἐγίνετο, οὐ χρόνου μέθεξιν δοκεῖ σημαίνειν τοῦ ποτε γεγονότος; Καὶ μάλα. Τί δέ; τὸ ἔσαι, καὶ τὸ
c. γενήσεται, καὶ τὸ γενηθήσεται, οὐ τοῦ ἔπειτα, τοῦ μέλλοντος; Ναί Τὸ δὲ δὴ ἔστι, καὶ τὸ γίγνεται, οὐ τοῦ νῦν παρόντος; Πάνυ μὲν οὖν. Εἰ ἄρα τὸ ἓν μηδαμῇ μηδενὸς μετέχει χρόνου, οὔτε ποτὲ γέγονεν, οὔτ' ἐγίγνετο, οὔτ' ἦν ποτε, οὔτε νῦν γέγονεν, οὔτε γίγνεται, οὔτ' ἔστιν, οὔτ' ἔπειτα γενήσεται, οὔτε γενηθήσεται, οὔτ' ἔσαι. Ἀληθέστατα. Ἔστιν οὖν οὐσίας ὅπως ἂν τι μετάσχοι ἄλλως ἢ κατὰ τούτων τι; Οὐκ ἔστιν. Οὐδαμῶς ἄρα τὸ ἓν οὐσίας μετέχει. Οὐκ ἔοικεν. Οὐδαμῶς ἄρα ἐστὶ τὸ ἕν. Οὐ φαίνεται. Οὐδ' ἄρα οὕτως ἐστὶν ὥστε ἓν εἶναι. εἴη γὰρ ἂν ἤδη ὄν, καὶ οὐσίας μετέχον. ἀλλ' ὡς ἔοικε, τὸ ἓν, οὔτε ἔν ἐστιν, οὔτε ἐστὶν, εἰ δεῖ τῷ τοιῷδε λόγῳ πιστεύειν.
P. Κινδυνεύει. Ὃ δὲ μὴ ἔστι, τούτῳ τῷ μὴ ὄντι εἴη ἄν τι, ἢ αὐ-
142 τῷ, ἢ αὐτοῦ; Καὶ πῶς; Οὐδ' ἄρα ὄνομά ἐστιν αὐτῷ, οὐδὲ λόγος, οὐδέ τις ἐπιστήμη, οὐδὲ αἴσθησις, οὐδὲ δόξα. Οὐ φαίνεται. Οὐδ' ὀνομάζεται ἄρα, οὐδὲ λέγεται, οὐδὲ δοξάζεται, οὐ-

igitur? ipſum erat, fuit, fiebat, nonne participationem temporis quandoque praeteriti ſignificare videntur? Quin immo. At vero erit, fiet, factum fuerit, an non futurum nobis deſignant? Futurum. Eſt autem & fit, praeſentis ſunt temporis notae. Omnino quidem. Si ergo ipſum unum nullo prorſus participiat tempore, nec fuit unquam, nec fit, neque eſt, neque fiet, neque factum erit, neque erit. Veriſſima haec ſunt. Num poteſt quidquam eſſentia aliter, quam ſecundum iſtorum aliquod, participare? Non aliter. Nullo igitur modo eſt ipſum unum. Haudquaquam videtur. Non itaque ita eſt, ut ſit unum, eſſet enim iam ens & eſſentiae particeps: immo, ut videtur, ipſum unum neque unum eſt, neque eſt, ſi quid huic rationi credendum. Apparet. Ei vero, quod non eſt, num eſt vel ipſi vel ipſius aliquid? At quomodo? Non itaque nomen illi eſt, non ſermo, non ſcientia quaedam, non ſenſus, non opinio. Non videtur. Quapropter nec nomina-

δὲ γιγνώσκεται· οὐδέ τι τῶν ὄντων αὐτοῦ αἰσθάνεται. Οὐκ ἔοικεν. Ἆρ' οὖν δυνατὸν οὕτω περὶ τὸ ἓν ταῦτα οὕτως ἔχειν; Οὐκοῦν ἔμοιγε δοκεῖ. Βούλει οὖν ἐπὶ τὴν ὑπόθεσιν πάλιν ἐξ ἀρχῆς ἐπανέλθωμεν, ἐάν τι ἡμῖν ἐπανισοῦσιν ἀλλοῖον φανῇ; Πάνυ b. μὲν οὖν βούλομαι. Οὐκοῦν, ἓν εἰ ἔστι, φαμὲν, τὰ συμβαίνοντα περὶ αὐτὸ, ποῖά ποτε τυγχάνει ὄντα, διομολογητέα ταῦτα; οὐχ οὕτω; Ναί. Ὅρα δὴ ἐξ ἀρχῆς. ἓν εἰ ἔστιν, ἆρα οἷόν τε αὐτὸ εἶναι μὲν, οὐσίας δὲ μὴ μετέχειν; Οὐχ οἷόν τε. Οὐκοῦν καὶ ἡ οὐσία, τοῦ ἑνὸς εἴη ἂν, οὐ ταυτὸν οὖσα τῷ ἑνί. οὐ γὰρ ἂν ἐκείνη ἦν ἐκείνου οὐσία· οὐδ' ἂν ἐκεῖνο τὸ ἓν ἐκείνης μετεῖχεν· ἀλλ' ὅμοιον ἂν ἦν λέγειν ἕν τε εἶναι, καὶ ἓν, ἕν. c. νῦν δὲ οὐχ αὕτη ἐστὶν ἡ ὑπόθεσις, εἰ ἓν τι χρὴ συμβαίνειν, ἀλλ' εἰ ἓν ἔστιν. οὐχ οὕτω; Πάνυ μὲν οὖν. Οὐκοῦν ὡς ἄλλό τι σημαῖνον τὸ ἔστι τοῦ ἓν; Ἀνάγκη. Ἆρ' οὖν ἄλλο ἢ ὅ, τι οὐσίας μετέχει τὸ ἓν, τοῦτ' ἂν εἴη τὸ λεγόμενον, ἐπειδάν τις

tur, nec dicitur, nec opinione cogitatur, nec cognoſcitur, neque ab aliquo ex iis, quae ſunt, ſentitur. Haud ſane videtur. An poſſibile eſt, iſta circa ipſum unum ſic ſe habere? Non, ut mihi videtur. Viſne igitur, ad ipſius poſitionis principium redeamus, conſiderantes, ſi quid forte redeuntibus nobis aliter ſe habere videatur? Volo equidem. Nonne ſi ipſum unum eſt, confeſſi ſumus, quae circa illud eveniunt, cuiuſmodi eſſe oporteat? Profecto. Meditare iterum a principio. unum ſi eſt, numquid poſſibile eſt, ipſum eſſe, eſſentia vero nequaquam participare? Impoſſibile. Eſſentia autem unius, non idem, quod ipſum unum erit. alioquin ſi idem, non utique illius eſſentia eſſet, neque ipſum unum illa participaſſet, ſed quoties proferretur unum eſſe, ſimile quiddam ſignificaretur, ac ſi unum diceremus. nunc autem non eſt huiuſmodi poſitio noſtra, ſcilicet ſi unum, quidnam eventurum ſit, ſed ſi unum eſt. nonne ita? Prorſus ſic eſt. Nonne ita dicitur, tanquam aliud ſignificet ipſum eſt, aliud ipſum unum? Neceſſe. Numquid igitur, cum unum eſſe compendio dicimus, aliud ea oratio ſignificat, quam unam eſſentiam communica-

συλλήβδην εἴπῃ ὅτι ἕν ἐσι; Πάνυ γε. Πάλιν δὴ λέγωμεν, ἓν εἰ ἔσι, τί συμβήσεται. σκόπει οὖν· οὐκ ἀνάγκη ταύτην τὴν ὑπόθεσιν τοιοῦτον ὂν τὸ ἓν σημαίνειν, οἷον μέρη ἔχειν; Πῶς;
d. Ὧδε. Εἰ τὸ ἔσι τοῦ ἑνὸς ὄντος λέγεται, καὶ τὸ ἓν τοῦ ὄντος ἑνός· ἔσι δὲ οὐ τὸ αὐτὸ ἥ τε οὐσία καὶ τὸ ἓν, τοῦ αὐτοῦ δὲ ἐκείνου οὗ ὑπεθέμεθα τοῦ ἑνὸς ὄντος· ἆρα οὐκ ἀνάγκη τὸ μὲν ὅλον, ἓν ὂν εἶναι αὐτοῦ; τούτου δὲ γίγνεσθαι μόρια τό, τε ἓν καὶ τὸ εἶναι; Ἀνάγκη. Πότερον οὖν ἑκάτερον τῶν μορίων τούτων, μόριον μόνον προσεροῦμεν, ἢ τοῦ ὅλου μόριον τόγε μόριον προσρητέον τοῦ ὅλου; καὶ ὅλον ἄρα ἐσὶν ὃ ἐὰν ἓν ᾖ, καὶ μόριον ἔχῃ. Πάνυ γε. Τί οὖν; τῶν μορίων ἑκάτερον τούτων
c. τοῦ ἑνὸς ὄντος τό, τε ἓν καὶ τὸ ὄν, ἆρα ἀπολείπεσθον, ἢ τὸ ἓν, τοῦ ὄντος εἶναι μόριον, ἢ τὸ ὄν, τοῦ ἑνὸς μόριον; Οὐκ ἂν εἴη. Πάλιν ἄρα καὶ τῶν μορίων ἑκάτερον τό, τε ἓν ἴσχει καὶ τὸ ὄν, καὶ γίγνεται τὸ ἐλάχιστον ἐκ δυοῖν αὖ μορίοιν τὸ μόριον· καὶ κατὰ τὸν αὐτὸν λόγον οὕτως ἀεὶ, ὅ, τι περ ἂν μόριον γένηται, τουτῳ τῷ μορίῳ ἀεὶ ἴσχει. τό, τε γὰρ ἓν, τὸ ὂν ἀεὶ

re? Omnino. Rurſus itaque dicamus, unum ſi eſt, quidnam contingat. Age, id adverte. an non neceſſe, hanc ſuppoſitionem ipſum unum eiuſcemodi praedicare, quaſi partes habeat? Quonam modo? Hoc pacto. Si eſſe de uno ente dicitur, & ipſum unum de ente uno: eſt autem idem eſſentia & unum, eodem exſiſtente uno, quod ſuppoſuimus: nonne neceſſe eſt, totum quidem unum, ens ipſum eſſe, eiuſque partes tam unum quam eſſe exſiſtere? Neceſſe. Utrum vero utramque harum partium, partem dumtaxat appellamus? an partem, totius partem praedicare oportet? Totius. Totum igitur eſt, quod unum eſt, ac partem habet. Penitus. Quid autem? num hae partes unius entis, ſcilicet unum & ens, ita ſe invicem deſerunt, ut ipſi enti unum, & ipſi uni ens deſit? Non certe. Igitur utraque pars & unum ſimul & ens complectitur: adeo ut pars quaelibet ex duabus ſaltem particulis conſtituatur: & ſecundum eandem rationem quaecunque particula occurrit, utraque ſemper in ea claudatur. etenim unum ſemper ens, &

ἰσχει, καὶ τὸ ὂν τὸ ἓν· ὥστε ἀνάγκη δυ' ἀεὶ γιγνόμενον, μηδέποτε ἓν εἶναι. Παντάπασι μὲν οὖν. Οὐκοῦν ἄπειρον ἂν τὸ πλῆθος οὕτω τὸ ἓν ὂν εἴη; Ἐοικέ γε. Ἴθι δὴ καὶ τῇδε ἔτι. Πῇ; Οὐσίας φαμὲν μετέχειν τὸ ἓν, διὸ ἔστιν ὄν; Ναι. Καὶ διὰ ταῦτα δὴ τὸ ἓν ὂν πολλὰ ἐφάνη. Οὕτω. Τί δή; αὐτὸ τὸ ἓν, ὃ δὴ φαμὲν οὐσίας μετέχειν, ἐὰν αὐτὸ τῇ διανοίᾳ μόνον καθ' αὑτὸ λάβωμεν, ἄνευ τούτου οὗ φαμὲν μετέχειν, ἆρά γε ἓν μόνον φανήσεται; ἢ καὶ πολλὰ τὸ αὐτὸ τοῦτο; Ἕν, οἶμαι ἔγωγε. Ἰδωμεν δὴ ἄλλό τι. ἕτερον μὲν ἀνάγκη τὴν οὐσίαν αὐτοῦ εἶναι, ἕτερον δὲ αὐτό· εἴπερ μὴ οὐσίας τὸ ἓν, ἀλλὰ ὡς ἑνὸς οὐσίαν μετέσχεν. Ἀνάγκη. Οὐκοῦν, εἰ ἕτερον μὲν ἡ οὐσία, ἕτερον δὲ τὸ ἓν, οὔτε τῷ ἓν, τὸ ἓν τῆς οὐσίας ἕτερον, οὔτε τῷ οὐσίαν εἶναι, ἡ οὐσία τοῦ ἑνὸς ἄλλο· ἀλλὰ τῷ ἑτέρῳ τε καὶ ἄλλῳ ἕτερα ἀλλήλων. Πάνυ μὲν οὖν. Ὥστε οὐ ταυτόν ἐστιν οὔτε τῷ ἑνὶ οὔτε τῇ οὐσίᾳ τὸ ἕτερον. Πῶς γάρ; Τί οὖν

P. 143 a. b.

ens unum mutuis nexibus amplectitur. unde, cum ubique in quavis particula duo emergant, neceſſe eſt nunquam unum exſiſtere. Omnino. Nonne hac ratione unum ens, infinita multitudo erit? Videtur. Age, quaeſo, & hac perge. Qua? Diximus, unum eſſentia participare, in quantum eſt? Diximus. Et hanc ob cauſam unum ens multa eſſe apparuit. Sic eſt. Quid autem? ſi ipſum unum, quod eſſentiae particeps eſſe diximus, ipſum ſecundum ſe ipſum ſolum intelligentia cogitemus, ſeorſum ab illo, quo participare praediximus: numquid unum ſolum apparebit? vel etiam multa hoc ipſum? Unum ſolum, puto. Conſideremus iam & aliud quiddam. Alterum quiddam eſſe neceſſe eſt ipſius eſſentiam, alterum vero ipſum: ſi quidem non eſſentia ipſum unum, ſed ut unum eſſentia participat. Neceſſe eſt. Quod ſi alterum eſſentia, alterum unum: ipſum unum non ex eo, quod unum, ab eſſentia alterum eſt: neque eſſentia, in quantum eſſentia, ab uno eſt altera: ſed per id, quod eſt ipſum per ſe alterum, & ipſum per ſe aliud, altera ſunt invicem. Prorſus. Quamobrem ipſum alterum nec uni, nec eſſentiae idem eſt. Verum. Quid ergo?

c. ἐὰν προελώμεθα αὐτῶν εἴτε βούλει τὴν οὐσίαν καὶ τὸ ἕτερον, εἴτε τὴν οὐσιαν καὶ τὸ ἓν, εἴτε τὸ ἓν καὶ τὸ ἑτερον, ἆρ' οὐκ ἐν ἑκάστῃ τῇ προαιρέσει προαιρούμεθα τινὲ ὠ ὀρθῶς ἔχει καλεῖσθαι ἀμφοτέρω; Πῶς; Ὧδε. ἔστιν οὐσιαν εἰπεῖν; Ἔστι. Καὶ αὖθις εἰπειν ἓν; Και τοῦτο. Ἆρ' οὖν οὐχ ἑκάτερον αὐτοῖν εἴρηται; Ναί. Τί δ' ὅταν εἴπω οὐσία τε και ἓν, ἆρα οὐκ ἀμφοτέρω; Πάνυ γε. Οὐκοῦν καὶ ἐὰν οὐσία τε καὶ ἕτερον, ἢ ἑτερόν τε καὶ ἓν, καὶ οὕτω πανταχῶς ἐφ' ἑκαστου ἄμφω λέ-
d. γω; Ναι. Ὧ δ' ἂν ἄμφω ὀρθῶς προσαγορεύησθον, ἆρα οἴόντε ἄμφω μὲν αὐτὼ εἶναι, δύο δὲ μή; Οὐχ οἴόντε. Ὧ δ' ἂν δύο ἦτον, ἔστι τις μηχανὴ μὴ οὐχ ἑκάτερον αὐτοῖν ἓν εἶναι; Οὐδεμια. Τουτων ἄρα ἐπειπερ σὺν δύο ἕκαστα συμβαίνει εἶναι, καὶ ἓν ἂν εἴη ἕκαστον. Φαίνεται. Εἰ δὲ ἓν ἑκαστον αὐτῶν ἐστι, συντεθέντος ἑνὸς ὁποιουοῦν ἧτινιοῦν συζυγίᾳ, οὐ τρία γιγνεται τὰ πάντα; Ναί. Τρία δὲ, οὐ περιττά; καὶ δύο, ἄρ-
e. τια; Πῶς δ' οὔ; Τί δέ; δυοῖν ὄντοιν, οὐκ ἀνάγκη εἶναι καὶ δὶς; καὶ τριῶν ὄντων, τρὶς; εἴπερ ὑπάρχει τῷ τε δύο τὸ δὶς ἓν,

si ex iſtis elegerimus ſive eſſentiam & alterum, ſeu eſſentiam & unum, ſive unum & alterum: nonne in qualibet aſſumtione eliciemus aliqua, quae iure ambo appellari poterunt? Quomodo? Hoc modo, inquam. licetne eſſentiam dicere? Licet. Rurſuſque dicere unum? Et iſtud. Nonne utrumque illorum dictum eſt? Dictum utrumque. Quoties eſſentiam & unum dico, an non ambo dico? Dicis. Et ſi eſſentiam atque alterum, ſive alterum atque unum, nonne in iis ſingulis ambo dico? Prorſus. Quae vero ambo recte appellata ſunt, numquid poſſunt ambo eſſe, neque tamen eſſe duo? Nequaquam. At quae duo ſunt, cogitarine ita poſſunt, ut non illorum utrumque unum ſit? Minime. Quoniam igitur iſta ſimul duo ſunt, idcirco unumquodque unum exſiſtit. Videtur. Si unum quodlibet eorum eſt, & utrumque unum mutuo quodam coniugio invicem eſt connexum, nonne tria univerſa reſultant? Maxime. Tria vero nonne imparia, duo autem paria? Quidni? Et cum duo ſint, nonne neceſſe eſt,

καὶ τῷ τρία, τὸ τρὶς ἕν; Ἀνάγκη. Δυοῖν δὲ ὄντοιν καὶ δὶς, οὐκ ἀνάγκη δύο δὶς εἶναι; καὶ τριῶν καὶ τρὶς, οὐκ ἀνάγκη αὖ τρία τρὶς εἶναι; Πῶς δ' οὔ; Τι δέ; τριῶν ὄντων καὶ δὶς ὄντων, καὶ δυοῖν ὄντοιν καὶ τρὶς ὄντοιν, οὐκ ἀνάγκη τρία τε δὶς εἶναι καὶ δὶς τρία; Πολλή γε. Ἄρτιά τε ἄρα ἀρτιάκις ἂν εἴη, καὶ περιττὰ περιττάκις, καὶ ἄρτια περιττάκις, καὶ περιττὰ ἀρτιάκις. Ἔστιν οὕτως. Εἰ οὖν ταῦτα οὕτως ἔχει, εἴη τινὰ ἀριθμὸν ὑπολειπεσθαι, ὃν οὐκ ἀνάγκη εἶναι; Οὐδαμῶς γε. Εἰ ἄρα ἐστὶν ἕν, ἀνάγκη καὶ ἀριθμὸν εἶναι. Ἀνάγκη. Ἀλλὰ μὴν ἀριθμοῦ γε ὄντος, πόλλ' ἂν εἴη, καὶ πλῆθος ἄπειρον τῶν ὄντων. ἢ οὐκ ἄπειρος ἀριθμὸς πλήθει καὶ μετέχων οὐσίας γίγνεται; Καὶ πάνυ γε. Οὐκοῦν εἰ πᾶς ἀριθμὸς οὐσίας μετέχει, καὶ τὸ μόριον ἕκαστον τοῦ ἀριθμοῦ μετέχοι ἂν αὐτῆς; Ναι. Ἐπὶ πάντα ἄρα πολλὰ ὄντα ἡ οὐσία γενέμηται, καὶ οὐδενὸς ἀποστατεῖ τῶν ὄντων, οὔτε τοῦ σμικροτάτου, οὔτε τοῦ μεγίστου· ἢ τοῦτο μὲν ἄλογον ἔρεσθαι; πῶς γὰρ ἂν p. 144 a. b.

etiam bis adeſſe: & cum tria, ter? ſi quidem duobus ineſt bis unum, tribus vero ter unum. Neceſſe. Duobus denique exſiſtentibus ac bis, neceſſe eſt duo bis eſſe: & tribus exſiſtentibus atque ter, nonne neceſſe eſt rurſus tria ter eſſe? Quidni? Quid vero? tribus exſiſtentibus atque bis, & duobus atque ter exſiſtentibus, nonne neceſſe eſt tria bis eſſe, ac bis tria? Neceſſe eſt omnino. Erunt igitur pariter paria, impariterque imparia, nec non imparia pariter, & impariter paria. Certe. Si haec ita ſe habent, num putas, ullum numerum relinqui, qui non neceſſario illic inſit? Nullum. Idcirco, ſi eſt unum, neceſſe eſt & numerum eſſe. Procul dubio. Item, ſi numerus eſt, multa utique ſunt, & infinita entium multitudo: aut non infinitus numerus multitudine, etiam particeps eſſentiae fit? Maxime. Quod ſi totus ipſe numerus eſt eſſentiae particeps, unaquaeque etiam particula numeri eſſentia participabit. Prorſus. Per omnia ergo, quae multa ſunt, eſſentia diſtribuitur, nec ab aliquo eorum, quae ſunt, abeſt, ſeu minimum hoc ſit, ſive maximum. Atque id dubitare abſur-

δὴ οὐσία γε τῶν ὄντων του ἀποσατοῖ; Οὐδαμῶς. Κατακέκερμάτισαι ἄρα ὡς οἷόντε σμικρότατα καὶ μέγιστα καὶ πανταχῶς ὄντα, καὶ μεμέρισαι πάντων μάλιστα, καὶ ἔστι μέρη ἀπέραντα τῆς οὐσίας. Ἔχει οὕτω. Πλεῖστα ἄρα ἐστὶ τὰ μέρη
c. αὐτῆς. Πλεῖστα μέντοι. Τί οὖν; ἔστι τι αὐτῶν, ὃ ἐστι μὲν μέρος τῆς οὐσίας, οὐδὲν μέντοι μέρος; Καὶ πῶς ἂν τοι τοῦτο γένοιτο; Ἀλλ' ἐπεί πέρ γε, οἶμαι, ἔστιν, ἀνάγκη αὐτὸ ἀεί, ἕως περ ἂν ᾖ, ἕν γέ τι εἶναι· μηδὲν δὲ, ἀδύνατον. Ἀνάγκη. Πρὸς ἅπαντι ἄρα ἑκάστῳ τῷ τῆς οὐσίας μέρει πρόσεστι τὸ ἕν, οὐκ ἀπολειπόμενον οὔτε σμικροτέρου οὔτε μείζονος μέρους, οὔτε ἄλλου οὐδενός. Οὕτως. Ἆρα οὖν ἓν ὂν, πολλαχοῦ ἅμα ὅλον
d. ἐστί; τοῦτο ἄθρει. Ἀλλ' ἀθρῶ· καὶ ὁρῶ ὅτι ἀδύνατον. Μεμερισμένον ἄρα, εἴπερ μὴ ὅλον· ἄλλως γάρ που οὐδαμῶς ἅμα ἅπασι τοῖς τῆς οὐσίας μέρεσι παρέσαι, ἢ μεμερισμένον. Ναί. Καὶ μὴν τόγε μεριστὸν πολλὴ ἀνάγκη εἶναι τοσαῦτα ὅσά περ

dum eſt. quomodo enim eſſentia ab aliquo eorum, quae ſunt, abeſſe poteſt? Nullo. Diviſa eſt igitur, quoad fieri poteſt, in minima & maxima, atque in omnia, quae quomodocunque ſunt, maximeque omnium diſtributa, & infinitae ſunt eſſentiae partes. Sic ſe res habet. Plurimae igitur illius partes ſunt. Plurimae certe. Quid vero? eſtne quidquam ex iſtis, quod quidem pars eſſentiae ſit, non tamen pars ipſa unum quiddam ſit? At quo pacto id fieret? Verum poſtquam, ut arbitror, eſt, neceſſe eſt ipſam ſemper, quamdiu eſt, unum aliquid eſſe: nihil autem eſſe, impoſſibile eſt. Abſque dubio. Non ſolum ergo univerſae eſſentiae, ſed illius etiam ſinguliis partibus unum adeſt, partem nullam deſerens, ſive maior illa quidem, ſeu minor ſit, ſive quomodocunque ſe habeat. Sic eſt. Numquid cum ſit unum, ubique ſimul eſt totum? diligenter id conſidera. Conſidero, atque hoc eſſe impoſſibile video. Diviſum itaque, niſi totum. neque enim aliter univerſis ſimul eſſentiae partibus, quam diviſum, aderit. Sic eſt. Ceterum, quod partibile eſt, neceſſario totidem ſunt, quot ſunt partes. Neceſſario. Hac de cauſa

μέρη. Ἀνάγκη. Οὐκ ἄρα ἀληθῆ ἄρτι ἐλέγομεν, λέγοντες ὡς πλείοσα μέρη ἡ οὐσία γενεμημένη εἴη. οὐδὲ γὰρ πλειω τοῦ ἑνὸς γενέμηται, ἀλλ' ἴσα, ὡς ἔοικε, τῷ ἑνί. οὔτε γὰρ τὸ ὂν τοῦ ἑνὸς ἀπολείπεται, οὔτε τὸ ἓν τοῦ ὄντος· ἀλλ' ἐξισοῦσθον δύο ὄντε ἀεὶ παρὰ πάντα. Παντάπασιν οὕτω φαίνεται. Τὸ ἓν ἄρα αὐτὸ κεκερματισμένον ὑπὸ τῆς οὐσίας, πολλά τε καὶ ἄπειρα τὸ πλῆθός ἐστι. Φαίνεται. Οὐ μόνον ἄρα τὸ ὂν ἓν πολλά ἐστιν, ἀλλὰ καὶ αὐτὸ τὸ ἕν, ὑπὸ τοῦ ὄντος διανενεμημένον, πολλὰ ἀνάγκη εἶναι. Παντάπασι μὲν οὖν. Καὶ μὴν ὅτι γε ὅλου τὰ μόρια, μόρια, πεπερασμένον ἂν εἴη κατὰ τὸ ὅλον τὸ ἕν. ἢ οὐ περιέχεται ὑπὸ τοῦ ὅλου τὰ μόρια; Ἀνάγκη. Ἀλλὰ μὴν τόγε περιέχον, πέρας ἂν εἴη. Πῶς δ' οὔ; Τὸ ἓν ἄρα ὂν, ἔν τε ἔστι που καὶ πολλὰ, καὶ ὅλον καὶ μόρια, καὶ πεπερασμένον καὶ ἄπειρον πλήθει. Φαίνεται. Ἆρ' οὖν οὐκ, ἐπείπερ πεπερασμένον, καὶ ἔσχατα ἔχον; Ἀνάγκη. Τί δ' εἰ ὅλον, οὐ καὶ ἀρχὴν ἂν ἔχοι, καὶ μέσον καὶ τελευτήν; ἢ οἷόντε τι ὅλον εἶναι ἄνευ τριῶν τούτων; κἂν τοῦ ἓν ὁτιοῦν p. 145 a. e.

haud recte paulo ante dicebamus, eſſentiam in partes plurimas eſſe diſtributam : quippe cum non in plures, quam ipſum unum, ſed pares, diſcreta ſit. neque enim ens uni, neque unum enti deeſt; ſed duo haec potius per omnia penitus coaequantur. Omnino ſic apparet. Ipſum itaque unum ab eſſentia diſtributum, infinita multitudo eſt. Patet. Non modo igitur unum ens multa eſt, ſed & ipſum unum ab eſſentia diſtributum, multa eſſe oportet. Oportet ſane. Quin etiam ex eo, quod omnes partes, totius partes ſunt, terminatum ſecundum totum unum erit. an non comprehenduntur omnes a toto particulae? Comprehenduntur. Quod autem comprehendit, terminus eſt. Eſt. Propterea unum ens, unum quodammodo eſt & multa, totumque & partes, nec non finitum & multitudine infinitum. Apparet. Nonne, cum terminatum ſit, extrema quoque habet? Neceſſarium eſt. Praeterea, ſi totum eſt, principium mediumque & finem habebit? num totum aliquid abſque his

αὐτῶν ἀποστατῇ, ἐθελήσειέ τι ὅλου εἶναι; Οὐκ ἐθελήσει. Καὶ
b. ἀρχὴν δὴ, ὡς ἔοικε, καὶ τελευτὴν καὶ μέσον ἔχοι ἂν τὸ ἕν.
Ἔχοι. Ἀλλὰ μὴν τόγε μέσον, ἴσον τῶν ἐσχάτων ἀπέχει.
οὐ γὰρ ἂν ἄλλως μέσον εἴη. Οὐ γάρ. Καὶ σχήματος δή τινος,
ὡς ἔοικε, τοιοῦτον ὂν μετέχοι ἂν τὸ ἕν· ἤτοι εὐθέος, ἢ στρογ-
γύλου, ἤ τινος μικτοῦ ἐξ ἀμφοῖν. Μετέχοι γὰρ ἄν. Ἆρ' οὖν
οὕτως ἔχον, οὐκ αὐτό τε ἐν ἑαυτῷ ἔσαι καὶ ἐν ἄλλῳ; Πῶς;
Τῶν μερῶν που ἕκαστον ἐν τῷ ὅλῳ ἐστὶ, καὶ οὐδὲν ἐκτὸς τοῦ
ὅλου. Οὕτω. Πάντα δὲ τὰ μέρη ὑπὸ τοῦ ὅλου περιέχεται;
c. Ναί. Καὶ μὴν τά γε πάντα μέρη τὰ αὐτοῦ τὸ ἓν ἐστι· καὶ
οὔτέ τι πλέον, οὔτε ἔλαττον, ἢ πάντα. Οὐ γάρ; Οὐκοῦν καὶ
τὸ ὅλον τὸ ἕν ἐστι; Πῶς δ' οὔ; Εἰ ἄρα πάντα τὰ μέρη ἐν ὅλῳ
τυγχάνει ὄντα, ἔστι δὲ τά τε πάντα τὸ ἓν, καὶ αὐτὸ τὸ ὅλον,
περιέχεται δὲ ὑπὸ τοῦ ὅλου τὰ πάντα, ὑπὸ τοῦ ἑνὸς ἂν πε-
ριέχοιτο τὸ ἕν· καὶ οὕτως ἂν ἤδη τὸ ἓν, αὐτὸ ἐν ἑαυτῷ εἴη.
Φαίνεται. Ἀλλὰ μέντοι τόγε ὅλον αὖ οὐκ ἐν τοῖς μέρεσιν
ἐστὶν, οὔτε ἐν πᾶσιν, οὔτε ἔν τινι. εἰ γὰρ ἐν πᾶσιν, ἀνάγκη καὶ

tribus reperiri poteſt? & ſi quid ipſorum ab eo, quod unum, diſtat, totumne ulterius erit? Minime. Quamobrem principium mediumque & finem unum habet. Habet. Medium vero aequo intervallo ab extremis undique diſtat. non enim aliter eſſet medium. Non certe. Praeterea, cum tale ſit unum, figurae cuiuſdam eſt particeps, ſeu rectae, ſive rotundae, ſive alterius ex utriſque compoſitae. Particeps procul dubio. Quin etiam ſi huiuſmodi eſt, ipſum in ſe ipſo & in alio erit. Quonam pacto? Quaelibet pars in toto eſt, nec extra totum penitus ulla. Eſto. Singulaene partes ſub toto clauduntur? Ita. At unum cunctae ſuae partes exſiſtit, nec quid plus minuſve, quam univerſae. Sic eſt. Nonne & totum unum eſt? Quidni? Si omnes partes toto clauduntur, eſtque omnia unum & ipſum totum, continentur autem ſub toto ſingula, ab uno utique unum continebitur, atque ita unum ipſum in ſemetipſo iam erit. Videtur. Verumtamen totum in partibus minime eſt, neque in omnibus, neque in aliqua. ſi

ἐν ἑνί. ἓν τινι γὰρ ἑνὶ μὴ ὂν, οὐκ ἂν ἔτι που δύναιτο ἓν γε d.
ἅπασιν εἶναι· εἰ δὲ τοῦτο μὲν τὸ ἓν τῶν ἁπάντων ἐστί, τὸ δὲ
ὅλον ἐν τούτῳ, μὴ ἑνί, πῶς ἔτι ἓν γε τοῖς πᾶσιν ἓν ἔσαι;
Οὐδαμῶς. Οὐδὲ μὴν ἓν τισι τῶν μερῶν. εἰ γὰρ ἓν τισι τὸ ὅλον
εἴη, τὸ πλέον ἂν ἐν τῷ ἐλάττονι εἴη· ὃ ἔστιν ἀδύνατον. Ἀδύ-
νατον γάρ. Μὴ ἓν δ' ἐν πλείοσι, μηδ' ἐν ἑνί, μηδ' ἐν ἅπασι
τοῖς μέρεσι τὸ ὅλον, οὐκ ἀνάγκη ἐν ἑτέρῳ τινὶ εἶναι, ἢ μη-
δαμοῦ ἔτι εἶναι; Ἀνάγκη. Οὐκοῦν μηδαμοῦ μὲν ὂν, οὐδὲν e.
ἂν εἴη; ὅλον δὲ ὄν, ἐπειδὴ οὐκ ἐν αὐτῷ ἐστιν, ἀνάγκη ἐν ἄλλῳ
εἶναι; Πάνυ γε. Ἡ μὲν ἄρα τὸ ἓν, ὅλον ἐν ἄλλῳ ἐστὶν· ᾗ δὲ
τὰ πάντα μέρη ὄντα τυγχάνει, αὐτὸ ἐν ἑαυτῷ. καὶ οὕτω τὸ
ἓν ἀνάγκη αὐτό τε ἐν ἑαυτῷ εἶναι καὶ ἐν ἑτέρῳ. Ἀνάγκη.
Οὕτω δὴ πεφυκὸς τὸ ἓν ἆρ' οὐκ ἀνάγκη καὶ κινεῖσθαι καὶ
ἑστάναι; Πῇ; Ἑστηκὲς μέν που, εἴπερ αὐτὸ ἐν ἑαυτῷ ἐστιν. ἐν
γὰρ ἑνὶ ὄν, καὶ ἐκ τούτου μὴ μεταβαῖνον, ἐν τῷ αὐτῷ ἂν p.
εἴη, ἐν ἑαυτῷ ὄν. Ἐστι γάρ. Τὸ δέ γε ἐν τῷ αὐτῷ ἀεὶ ὂν, ἑστὼς 140
a.

enim in omnibus, neceſſe eſt & in una: & ſi in una quadam non ſit, in cunctis eſſe non poterit. ſi autem hoc' quidem unum cunctis conſtat, & in eo totum non uno, quo pacto amplius in omnibus erit unum? Nullo. Sed nihilo magis in partibus quibuſdam. nam ſi quibuſdam totum inſit, maius in minori erit. id autem impoſſibile. Impoſſibile. Cum igitur totum nec in pluribus, nec in una, neque etiam cunctis in partibus ſit, an non neceſſe eſt, ipſum vel eſſe in alio quodam, vel nuſquam exſiſtere? Neceſſe. Nonne, ſi nuſquam ſit, nihil penitus erit? & tamen cum totum ſit, neque ſit in ſe ipſo, reſtat, ut conſiſtat in alio? Penitus. Qua igitur unum totum eſt, in alio eſt: qua vero omnia partes eius ſunt, & ipſum cunctae partes, eſt ipſum in ſe ipſo. ideoque neceſſe eſt, unum tum in ſe ipſo, tum etiam in alio eſſe. Procul dubio. Et cum talis ſit unius natura, an non neceſſario ſequitur, ut ſtet atque etiam moveatur? Curnam? Stat quippe, ſiquidem ipſum in ſe ipſo conſiſtit. etenim inhaerens uni, nec ex eo digrediens, in eodem eſt in ſemetipſo. Eſt profe-

ἀΐπου ἀνάγκη ἀεὶ εἶναι. Πάνυ γε. Τί δέ; τὸ ἐν ἑτέρῳ ἀεὶ ὄν, οὐ, τὸ ἐναντίον, ἀνάγκη μηδέποτ' ἐν τῷ αὐτῷ εἶναι; μηδέποτε δὲ ὂν ἐν τῷ αὐτῷ, μηδὲ ἑξάναι; μὴ ἕξως δὲ, κινεῖσθαι; Οὕτως. Ἀνάγκη ἄρα τὸ ἕν, αὐτό τε ἐν ἑαυτῷ ἀεὶ ὂν καὶ ἐν ἑτέρῳ, ἀεὶ κινεῖσθαί τε καὶ ἑξάναι. Φαίνεται. Καὶ μὴν ταυτόν γε δεῖ εἶναι αὐτὸ ἑαυτῷ, καὶ ἕτερον ἑαυτοῦ. καὶ τοῖς ἄλ-
b. λοις ὡσαύτως ταυτόν τε καὶ ἕτερον εἶναι, εἴπερ καὶ τὰ πρόσθεν πέπονθε. Πῶς; Πᾶν που πρὸς ἅπαν ὧδε ἔχει· ἢ ταυτόν ἐστιν, ἢ ἕτερον· ἢ, ἐὰν μὴ ταυτὸν ᾖ μηδ' ἕτερον, μέρος ἂν εἴη τούτου πρὸς ὃ οὕτως ἔχει, ἢ ὡς πρὸς μέρος ὅλον ἂν εἴη. Φαίνεται. Ἆρ' οὖν τὸ ἕν, αὐτὸ αὐτοῦ μέρος ἐστίν; Οὐδαμῶς. Οὐδ' ἄρα ὡς πρὸς μέρος, αὐτὸ αὐτοῦ ὅλον ἂν εἴη, πρὸς ἑαυτὸ μέρος ὄν. Οὐ γὰρ οἷόν τε. Ἀλλ' ἆρα ἑτερόν ἐστιν ἑνὸς τὸ
c. ἕν; Οὐ δῆτα. Οὐκ ἄρα ἑαυτοῦ γε ἕτερον ἂν εἴη. Οὐ μέντοι. Εἰ οὖν μήτε ἕτερον, μήτε ὅλον, μήτε μέρος αὐτὸ πρὸς ἑαυτό ἐστιν, οὐκ ἀνάγκη ἤδη ταυτὸν εἶναι αὐτὸ ἑαυτῷ; Ἀνάγκη.

cto. Verum quod in eodem ſemper eſt, ſtare ſemper oportet. Oportet. At quod in alio ſemper, contra neceſſe eſt nunquam in eodem eſſe. ſi nunquam in eodem, nunquam praeterea ſtare: quod vero non ſtat, moveri oportet. Sic eſt. Neceſſe eſt igitur, unum, cum in ſe ipſo ſemper & in alio ſit, ſemper quoque ſtare atque moveri. Videtur. Quin etiam idem oportet ipſum ſibi ipſi eſſe, & a ſe ipſo alterum, & quoad alia ſimiliter idem & alterum: ſi modo, quae ſupra dicta ſunt, illi competunt. Qua ratione? Sic enim unumquidque ad quodlibet habet, ut vel idem cum eo ſit, vel diverſum. ſi nec idem, nec aliud, pars utique erit eius, erga quod ita ſe habet, velut ad partem, eritque totum. Patet. Numquid ipſum unum ſui ipſius pars eſt? Nequaquam. Non igitur quoad ſe ipſum totum erit, quaſi pars ſui ſit. Neque enim poſſibile. An forte alterum eſt unum ab uno? Minime. Non itaque a ſe ipſo alterum. Non certe. Si nec alterum, nec totum, neque pars, quoad ſe ipſum eſt, quid iam aliud reſtat, quam ut idem ſibi ſit? Iſthuc ipſum. Quid vero?

Τί δέ; τὸ ἑτέρωθι ὂν αὐτὸ ἑαυτοῦ ἐν τῷ αὐτῷ ὄντος ἑαυτῷ, οὐκ ἀνάγκη αὐτὸ ἑαυτοῦ ἕτερον εἶναι, εἴπερ καὶ ἑτέρωθι ἔσται; Ἔμοιγε δοκεῖ. Οὕτω μὴν ἐφάνη ἔχον τὸ ἕν, αὐτό τε ἐν ἑαυτῷ ὂν ἅμα καὶ ἐν ἑτέρῳ. Ἐφάνη γάρ. Ἕτερον ἄρα, ὡς ἔοικεν, εἴη ταυτῃ ἂν ἑαυτοῦ τὸ ἕν. Ἔοικε. Τι οὖν; εἰ τουτὶ ἕτερόν ἐστιν, οὐχ ἑτέρου ὄντος ἕτερον ἔσται; Ἀνάγκη. Οὐκοῦν ὅσα μὴ d. ἓν ἐστιν, ἅπανθ' ἕτερα τοῦ ἑνός; καὶ τὸ ἕν, τῶν μὴ ἓν; Πῶς δ' οὔ; Ἕτερον ἂν εἴη ἄρα τὸ ἓν τῶν ἄλλων. Ἕτερον. Ὅρα δή· αὐτό τε ταυτὸν καὶ τὸ ἕτερον, ἆρ' οὐκ ἐναντία ἀλλήλοις; Πῶς δ' οὔ; Ἦ οὖν ἐθελήσει ταυτὸν ἐν τῷ ἑτέρῳ, ἢ ἕτερον ἐν ταυτῷ ποτε εἶναι; Οὐκ ἐθελήσει. Εἰ ἄρα τὸ ἕτερον ἐν ταυτῷ μηδέποτε ἔσται, οὐδὲν ἐστι τῶν ὄντων ἐν ᾧ ἐστι τὸ ἕτερον χρόνον οὐδένα. εἰ γὰρ ὁντινοῦν εἴη ἔν τῳ, ἐκεῖνον ἂν τὸν χρόνον ἐν e. ταυτῷ εἴη τὸ ἕτερον. οὐχ οὕτως; Οὕτως. Ἐπειδὴ δ' οὐδέποτε ἐν τῷ αὐτῷ ἐστιν, οὐδέποτε ἕν τινι τῶν ὄντων ἂν εἴη τὸ ἕτερον. Ἀληθῆ. Οὔτ' ἄρα ἐν τοῖς μὴ ἓν, οὔτε ἐν τῷ ἑνὶ εἴη ἂν τὸ ἕτε-

quod alibi eſt, quam ipſummet in eodem exſiſtens in ſemet ipſo, nonne cogitur alterum a ſe ipſo fieri, ſi quidem alibi, quam ipſummet, exſiſtat? Mihi quidem videtur. Huiuſmodi plane patuit eſſe unum, in ſe ipſo ſcilicet, & in alio eſſe. Patuit profecto. Ex hoc igitur conſtat, unum eſſe a ſe ipſo alterum. Videtur. Si quid vero ab aliquo alterum eſt, nonne ab altero alterum? Neceſſe. Quaecunque unum minime ſunt, num ab uno altera, & unum alterum ab iis, quae non unum? Quidni? Ideo unum ab aliis omnibus alterum apparebit. Alterum. Aſpice praeterea, num alterum ipſum, & ipſum idem contraria invicem ſint. Cur non? Voletne unquam idem in altero, vel alterum in eodem conſiſtere? Nunquam. Ergo ſi nunquam alterum in eodem eſt, nihil ex iis, quae ſunt, in quo per aliquod tempus ipſum alterum ſit. nam ſi per aliquod tempus ſit in aliquo, per id tempus in eodem ipſum alterum erit. an non? Certe. Poſtquam vero nunquam in eodem conſtat, nunquam profecto in aliquo eorum, quae ſunt, ipſum alterum erit. Vera dicis. Idcirco nec in iis, quae

ρον. Οὐ γὰρ οὖν. Οὐκ ἄρα τῷ ἑτέρῳ γ' ἂν εἴη τὸ ἕν, τῶν μὴ ἓν, οὐδὲ τὰ μὴ ἓν, τοῦ ἑνὸς ἕτερα. Οὐ γάρ. Οὐδὲ μὴν ἑαυτοῖς γε ἕτερ' ἂν εἴη ἀλλήλων, μὴ μετέχοντα τοῦ ἑτέρου. Πῶς
p. γάρ; Εἰ δὲ μήτε ἑαυτοῖς ἕτερά ἐσι, μήτε τῷ ἑτέρῳ, οὐ πάν-
147 τη ἂν ἤδη ἐκφύγοι τὸ μὴ ἕτερα εἶναι ἀλλήλων. Ἐκφεύγοι.
a. Ἀλλὰ μὴν οὐδὲ τοῦ ἑνός γε μετέχει τὰ μὴ ἕν. οὐ γὰρ ἂν μὴ ἓν ἦν, ἀλλά πη ἂν ἓν ἦν. Ἀληθῆ. Οὐδ' ἂν ἀριθμὸς εἴη ἄρα τὰ μὴ ἕν. οὐδὲ γὰρ ἂν οὕτω μὴ ἓν ἦν παντάπασιν, ἀριθμόν γε ἔχοντα. Οὐ γὰρ οὖν. Τι δέ; τὰ μὴ ἓν, τοῦ ἑνὸς ἆρα μόριά ἐσιν; ἢ κἂν οὕτω μετεῖχε τοῦ ἑνὸς τὰ μὴ ἕν;
b. Μετεῖχεν. Εἰ ἄρα παντὶ τὸ μὲν, ἕν ἐσι, τὰ δὲ, μὴ ἓν, οὔτ' ἂν μόριον τῶν μὴ ἓν τὸ ἓν εἴη, οὔτε ὅλου ὡς μόριον· οὔτε αὖ τὰ μὴ ἓν τοῦ ἑνὸς μόρια, οὔτε ὅλα ὡς μορίῳ τῷ ἑνί. Οὐ γάρ. Ἀλλὰ μὴν ἔφαμεν, τὰ μήτε μόρια, μήτε ὅλα, μήτε ἕτερα ἀλλήλων, τὰ αὐτὰ ἔσεσθαι ἀλλήλοις. Ἔφαμεν γάρ. Φῶμεν

non ſunt unum, nec in uno erit alterum. Non ſane. Sequitur, ut unum ab iis, quae non unum, & quae non unum ab uno per ipſum alterum altera eſſe nequeant. Sequitur plane. Quod niſi participent ipſo altero, altera ſecundum ſe ipſa invicem eſſe non poterunt. Quo enim pacto? Atqui ſi nec ſe ipſis, nec ipſo altero altera ſunt, altera eſſe invicem nullo pacto poſſunt. Nullo. Praeterea quae unum non ſunt, uno minime participiant. neque enim eſſent non unum, ſed quodammodo unum. Verum. Hanc ob cauſam quae non ſunt unum, neque etiam numerus ſunt. alioquin non penitus unius eſſent expertia, ſi quem numerum habeant. Non certe. An vero quae non ſunt unum, partes unius ſunt? an ſic forte uno participarent, quae non ſunt unum? Participarent. Si itaque hoc quidem omnino unum eſt, illa vero non unum, nec pars unum erit eorum, quae non unum, neque totum ad illa, quaſi ipſa ſint partes: neque rurſus quae non unum, unius particulae, neque etiam tota, quaſi unum pars exſiſtat. Non profecto. Ceterum aſſeruimus, quae neque tota, neque partes ſunt, neque invicem altera, eadem invicem eſſe de-

ἆρα καὶ τὸ ἓν πρὸς τὰ μὴ ἓν οὕτως ἔχον, τὸ αὐτὸ εἶναι αὐτοῖς; Φῶμεν. Τὸ ἓν ἄρα, ὡς ἔοικεν, ἑτερόν τε τῶν ἄλλων ἐστὶ καὶ ἑαυτοῦ, καὶ ταυτὸν ἐκείνοις τε καὶ ἑαυτῷ. Κινδυνεύει φαίνεσθαι, ἔκ γε τοῦ λόγου. Ἆρ' οὖν καὶ ὅμοιόν τε καὶ ἀνόμοιον ἑαυτῷ τε καὶ τοῖς ἄλλοις; Ἴσως. Ἐπειδὴ γοῦν ἕτερον τῶν ἄλλων ἐφάνη, καὶ τἆλλά που ἕτερ' ἂν ἐκείνου εἴη. Τί μήν; Οὐκοῦν ἕτερον τῶν ἄλλων, ὥστερ καὶ τἆλλα ἐκείνου; καὶ οὔτε μᾶλλον οὔτε ἧττον; Τί γάρ; Εἰ ἄρα μήτε μᾶλλον μήτε ἧττον, ὁμοίας. Ναί. Οὐκοῦν ἡ ἕτερον εἶναι πέπονθε τῶν ἄλλων, καὶ τἆλλα ἐκείνου ὡσαύτως, ταύτῃ ταυτὸν ἂν πεπονθότα εἴεν· καὶ τό, τε ἓν τοῖς ἄλλοις, καὶ τἆλλα τῷ ἑνί. Πῶς λέγεις; Ὧδε. ἕκαστον τῶν ὀνομάτων οὐκ ἐπί τινι καλεῖς; Ἔγωγε. Τί οὖν; τὸ αὐτὸ ὄνομα εἴποις ἂν πλεονάκις, ἢ ἅπαξ; Ἔγωγε. Πότερον οὖν, ἐὰν μὲν ἅπαξ εἴπῃς, ἐκείνο προσαγορεύεις οὗπερ ἐστὶ τοὔνομα; ἐὰν δὲ πολλάκις, οὐκ ἐκεῖνο; ἢ, ἐάν τε ἅπαξ ἐάν τε πολλάκις τὸ αὐτὸ ὄνομα ᾖ, πολλὴ ἀνάγκη σὲ τὸ αὐτὸ καὶ λέγειν ἀεί; Τί μήν; Οὐκοῦν

bere. Asseruimus. Fatemurne igitur, unum, cum ita ad ea, quae non unum, se habeat, illis idem esse? Fatemur. Ergo unum, ut videtur, alterum quiddam est ab aliis & a se ipso, rursusque sibi & illis idem. Sic ratio persuadet. Numquid simile quoque & dissimile sibi ipsi ac ceteris? Forte. Postquam alterum ab aliis esse patuit, alia quoque ab illo altera erunt. Quid prohibet? An non ita ab aliis alterum, ut ab illo & alia? nec magis quidquam, neque minus? Quidni? Si nec magis nec minus, restat, ut similiter. Similiter. Porro si uni contingit, ut alterum sit ab aliis, eodem modo, quo ab illo alia: ex hoc sequitur, ut eadem conditio quaedam tam uni, quam aliis, competat. Isthuc quomodo dicis? Sic. unumquodque nomen nonne suum habet significatum? Habet. Idem vero nomen, vel saepius vel semel pronuntias. Equidem. Utrum quando semel profers, illud appellas, cuius est nomen? quando vero saepius, non illud? an potius, sive semel, seu iterum iterumque nomen idem pronunties, necesse est, te sem-

καὶ τὸ ἕτερον ὄνομά ἐστιν ἐπί τινι; Πάνυ γε. Ὅταν ἄρα αὐτὸ
c. ᾧ ἔγγυῃ, ἐάν τε ἅπαξ, ἐάν τε πολλάκις, οὐκ ἐπ' ἄλλῳ οὐδὲ
ἄλλό τι ὀνομάζεις ἢ ἐκεῖνο οὗπερ ἦν ὄνομα. Ἀνάγκη. Ὅταν
δὴ λέγωμεν ὅτι ἕτερον μὲν τἆλλα τοῦ ἑνός, ἕτερον δὲ τὸ ἓν
τῶν ἄλλων, διὰ τὸ ἕτερον εἰπόντες, οὐδέν τι μᾶλλον ἐπ' ἄλλῃ
ἀλλ' ἐπ' ἐκείνῃ τῇ φύσει αὐτὸ ἀεὶ λέγομεν ἥπερ ἦν τοὔνομα.
Πάνυ μὲν οὖν. Εἰ ἄρα ἕτερον τῶν ἄλλων τὸ ἓν, καὶ τἆλλα
p. τοῦ ἑνὸς, κατὰ ταυτὸ ἕτερον πεπονθέναι, οὐκ ἄλλο, ἀλλὰ τὸ
148 αὐτὸ ἂν πεπονθὸς εἴη τὸ ἓν τοῖς ἄλλοις. τὸ δέ που ταυτὸν πε-
a. πονθὸς, ὅμοιον. οὐχί; Ναί. Ἡ δὴ τὸ ἓν ἕτερον τῶν ἄλλων
πέπονθεν εἶναι, κατ' αὐτὸ τοῦτο ἅπαν ἅπασιν ὅμοιον ἂν εἴη.
ἅπαν γὰρ ἁπάντων ἑτερόν ἐστιν. Ἔοικεν. Ἀλλ' ἦν τό γε ὅμοιον
τῷ ἀνομοίῳ ἐναντίον; Ναί. Οὐκοῦν καὶ τὸ ἕτερον τῷ ταυτῷ
αὐτῷ; Καὶ τοῦτο. Ἀλλὰ μὴν καὶ τοῦτό γ' ἐφάνη, ὡς ἄρα
b. τὸ ἓν τοῖς ἄλλοις ταυτόν τε καὶ ἕτερον. Ἐφάνη γάρ. Τοὐναν-
τίον δέ γε πάθος ἐστὶ τὸ εἶναι τὸ αὐτὸ τοῖς ἄλλοις, τῷ ἕτερον

per idem innuere? Idem ſemper. Nonne & ipſum alterum nomen eſt ad proprium aliquid ſignificandum impoſitum? Eſt. Quoties igitur nomen hoc profers, ſive ſemel, ſive ſaepius, non ad aliud refers, neque aliud quidquam nominas, quam id, cuius hoc nomen eſt. Neceſſe. Quando itaque dicimus, alterum eſſe unum ab aliis, & illa ab uno altera, bis nomen hoc *alterum* pronuntiantes, nunquam ad aliud quiddam ſignificandum inducimus, quam naturam, cuius proprium nomen eſt. Omnino quidem. Si ergo unum alterum eſt ab iis, & alia ab uno altera, patiens illud idem alterum, quod in aliis eſt, ſecundum illud, non ſecundum aliud quiddam, alterum eſt ab aliis unum: quodcunque vero idem patitur, ſimile eſt. an non? Immo. Secundum quod autem unum habet, ut ſit ab aliis alterum, ſecundum hoc idem quodlibet cuilibet ſimile eſt: quodlibet enim eſt a quolibet alterum. Videtur. Eſtne ſimile diſſimilibus contrarium? Eſt ſane. Nonne & ipſum alterum ipſi eidem? Et iſtud. Verumtamen hoc etiam patuit, quod ipſum unum aliis & idem & alterum ſit. Patuit plane. Con-

εἶναι τῶν ἄλλων. Πάνυ γε. Ἡ γε μὴν ἕτερον, ὅμοιον ἐφάνη. Ναί. Ἡ ἄρα ταυτὸν, ἀνόμοιον ἔσται, κατα τοὐναντιον πάθος τῷ ὁμοιοῦντι πάθει. ὁμοιου δέ που τὸ ἕτερον; Ναι. Ἀνομοιώσει ἄρα τὸ ταυτόν· ἢ οὐκ ἐναντιον ἔσται τῷ ἑτέρῳ. Ἔοικεν. Ὅμοιον ἄρα καὶ ἀνόμοιον ἐσται τὸ ἐν τοῖς ἄλλοις· ᾗ μὲν ἕτερον, ὅμοιον· ᾗ δὲ ταυτὸν, ἀνόμοιον. Ἔχει γὰρ οὕτω δὴ, ὡς ἔοικε, c.
καὶ τοιοῦτον λόγον. Καὶ γὰρ τόνδε ἔχει. Τινα; Ἡ ταυτὸν πέπονθε, μὴ ἄλλοιον πεπονθέναι· μὴ ἄλλοιον δὲ πεπονθὸς, μὴ ἀνόμοιον· μὴ ἀνόμοιον δὲ, ὅμοιον εἶναι. ᾗ δ' ἄλλο πέπονθεν, ἀλλοῖον· ἀλλοῖον δὲ ὂν, ἀνόμοιον εἶναι. Ἀληθῆ λεγεις. Ταυτόν τε ἄρα ὂν τὸ ἐν τοῖς ἄλλοις, καὶ ὅτι ἕτερόν ἐστι, κατ' ἀμφότερα καὶ καθ' ἑκάτερον, ὅμοιόν τε ἂν εἴη καὶ ἀνόμοιον τοῖς ἄλλοις. Πάνυ γε. Οὐκοῦν καὶ ἑαυτῷ ὡσαυτως, ἐπειπερ d.
ἕτερόν τε ἑαυτοῦ καὶ ταυτὸν ἑαυτῷ ἐφάνη, κατ' ἀμφοτερα καὶ κατὰ ἑκάτερον ὅμοιόν τε καὶ ἀνόμοιον φανήσεται; Ἀναγκη. Τὸ δὲ δὴ περὶ τοῦ ἅπτεσθαι τὸ ἐν αὐτοῦ καὶ τῶν ἄλ-

traria vero paſſio eſt, eſſe aliis idem, & eſſe ab aliis alterum. Prorſus. Qua tamen alterum, ſimile apparuit. Et hoc. Qua igitur idem, diſſimile erit ſecundum paſſionem contrariam paſſionis illius, quae ſimile fecerat. Simile autem nonne faciebat ipſum alterum? Prorſus. Ipſum ergo idem diſſimile reddet: alioquin ipſius alterius contrarium minime erit. Apparet. Ex iis concluditur, unum ſimile atque diſſimile aliis eſſe: qua ſane alterum, ſimile; qua vero idem, diſſimile. Talem, ut videtur, rationem habet. Et ſane hanc habet. Quam? Ut qua idem paſſum eſt, non alienum ſit paſſum: ſi non alienum paſſum fuerit, neque diſſimile etiam: ſi non diſſimile, reſtat, ut ſimile: ſin autem aliud ſuſceperit, & alienum: ſi alienum, etiam diſſimile ſit. Vere dicis. Unum ergo & quia ceteris idem, & quia alterum, ſecundum ambo haec & ſecundum horum utrumque ſimile atque diſſimile aliis erit. Maxime. Nonne & ſibi ipſi eodem modo, ſiquidem alterum a ſe ipſo, & ſibi ipſi idem apparuit, ſecundum ambo atque utrumque ſimile pariter atque diſſimile apparebit? Neceſſe eſt. Conſidera praeterea,

λων, καὶ τοῦ μὴ ἅπτεσθαι πέρι, πῶς ἔχει, σκόπει. Σκοπῶ. Λύτὸ γάρ που ἐν ἑαυτῷ ὅλῳ τὸ ἓν ἐφάνη ὄν. Ὀρθῶς. Οὐκοῦν καὶ ἐν τοῖς ἄλλοις τὸ ἕν; Ναί. Ἡ μὲν ἄρα ἐν τοῖς ἄλ-
c. λοις, τῶν ἄλλων ἅπτοιτο ἄν· ἡ δὲ αὐτὸ ἐν ἑαυτῷ, τῶν μὲν ἄλλων ἀπειργοιτο ἅπτεσθαι, αὐτὸ δὲ αὐτοῦ ἅπτοιτο ἂν, ἐν ἑαυτῷ ὄν. Φαίνεται. Οὕτω μὲν δὴ ἅπτοιτο ἂν τὸ ἓν αὐτοῦ τε καὶ τῶν ἄλλων. Ἅπτοιτο. Τι δὲ τῇδε; ἆρ' οὐ πᾶν τὸ μέλλον ἅψεσθαί τινος, ἐφεξῆς δεῖ κεῖσθαι ἐκείνῳ οὗ μέλλει ἅπτεσθαι, ταύτην τὴν ἔδραν κατέχον ἥ ἂν μετ' ἐκείνην ἡ ἕδρα ἥ ἂν κέηται ἅπτεται; Ἀνάγκη. Καὶ τὸ ἓν ἄρα, εἰ μέλλει αὐτὸ αὐτοῦ ἅπτεσθαι, ἐφεξῆς δεῖ εὐθὺς μετὰ ἑαυτὸ κεῖσθαι, τὴν ἐχομένην χώραν κατέχον ἐκείνης ἐν ᾗ αὐτό ἐστι. Δεῖ γὰρ οὖν.
p. Οὐκοῦν δύο μὲν ὂν τὸ ἓν, ποιήσειεν ἂν ταῦτα, καὶ ἐν δυοῖν
149 χώραιν ἅμα γένοιτο; ἕως δ' ἂν ᾖ ἕν, οὐκ ἐθελήσει; Οὐ γὰρ
a. οὖν. Ἡ αὐτὴ ἄρα ἀνάγκη τῷ ἑνὶ, μήτε δύο εἶναι, μήτε ἅπτεσθαι αὐτὸ αὑτοῦ. Ἡ αὐτή. Ἀλλ' οὐδὲ μὴν τῶν ἄλλων ἅψεται. Τί δή; Ὅτι φαμὲν τὸ μέλλον ἅψεσθαι, χωρὶς ὂν,

quaeſo, quonam pacto unum ad tangendum, vel non tangendum ſe ipſum, & alia ſeſe habeat. Conſidero equidem. Ipſum unum in ſe ipſo toto eſſe conſtitit. Probe. An non & in aliis unum? Et in aliis. Quatenus igitur in aliis, alia tangit: quatenus in ſe ipſo, tangere quidem alia impeditur, ſe ipſum vero tangit, cum in ſe ipſo ſit. Apparet. Hac utique ratione unum & ſe, & alia tangit. Tangit. Quid vero ad haec? nonne quodcunque tacturum aliquid eſt, prope illud, quod tacturum eſt, iacere oportet, atque eam ſedem occupare, quae ſequitur illius ſedem, in qua cum primum fuerit, tanget? Neceſſarium hoc eſt. Ideo unumquodque, ſi ſe tangere debet, continuo poſt ſe ipſum exſtare oportet, proximam loco, in quo ipſum eſt, ſedem occupans. Oportet omnino. Nonne unum, ſi duo eſſet, haec efficeret, & duobus ſimul in locis exſiſteret: donec vero unum eſt, minime? Eſt, ut dicis. Eadem ergo neceſſitas efficit, ut unum nec duo ſit, neque ſeſe tangat. Eadem. At nihilo magis alia tanget. Quamobrem? Quoniam

ἐφεξῆς δεῖν ἐκείνῳ εἶναι οὗ μέλλει ἅπτεσθαι· τρίτον δὲ αὐτῶν ἐν μέσῳ μηδὲν εἶναι. Ἀληθῆ. Δύο ἄρα δεῖ, τὸ ὀλίγιστον, εἶναι, εἰ μέλλει ἅψις εἶναι. Δεῖ. Ἐὰν δὲ τοῖν δυοῖν ὅροιν τρίτον προσγένηται ἑξῆς, αὐτὰ μὲν, τρία ἔσαι· αἱ δὲ ἅψεις, δύο. Ναί. b. Καὶ οὕτω δὴ ἀεὶ ἑνὸς προσγιγνομένου, μία ἅψις προσγίγνεται, καὶ συμβαίνει τὰς ἅψεις τοῦ πλήθους τῶν ἀριθμῶν μιᾷ ἐλάττους εἶναι. ᾧ γὰρ τὰ πρῶτα δυὸ ἐπλεονέκτησε τῶν ἅψεων, εἰς τὸ πλείω εἶναι τὸν ἀριθμὸν ἢ τὰς ἅψεις, τῷ ἴσῳ τούτῳ καὶ ὁ ἑξῆς ἀριθμὸς πᾶς πασῶν τῶν ἅψεων πλεονεκτεῖ. ἤδη γὰρ τελευτῶν ἅμα ἐν τε τῷ ἀριθμῷ προσγίνεται καὶ μία ἅψις τῶν ἅψεων. Ὀρθῶς. Ὅσα ἄρα ἐστὶ τὰ ὄντα τὸν ἀριθμὸν, ἀεὶ c. μιᾷ αἱ ἅψεις ἐλάττους εἰσὶν αὐτῶν. Ἀληθῆ. Εἰ δέ γε ἓν μόνον ἐστὶ, δυὰς δὲ μὴ ἔστιν, ἅψις οὐκ ἂν εἴη. Πῶς γάρ; Οὐκοῦν ὁρᾶμεν, τὰ ἄλλα τοῦ ἑνὸς, οὔτε ἓν ἐστιν, οὔτε μετέχει αὐτοῦ, εἴπερ ἄλλα ἐστίν. Οὐ γάρ. Οὐκ ἄρα ἔν ἐστιν ἀριθμὸς ἐν

diximus, quod tactum aliquid eſt, ſeorſum poſitum, proximum illi, quod tangendum eſt, eſſe oportere, tertium vero praeter haec intermedium nullum. Vera. Quapropter duo ſaltem adeſſe oportet, quoties futurus eſt tactus. Oportet. Sin autem praeter terminos duos tertium quiddam medium intervenerit, tria quidem per ordinem ſubſequentur, tactus autem gemini. Prorſus. Atque ita ſemper uno quodam adiecto, unus quoque tactus adiicitur. ex quo contingit, ipſos tactus a numerorum multitudine uno exſuperari: quanto enim prima duo tactus ipſos exſuperarunt, ita ut plura numero, quam tactus eſſent, tanto deinceps univerſus numerus univerſos tactus excedit. Etenim in poſterum unum ſimul additur numero, & unus tactus tactibus ipſis opponitur. Recte. Quot igitur ea, quae ſunt, numero ſunt, totidem ſemper & tactus, uno dumtaxat excepto. Vera loqueris. Itaque ſi unum eſſet ſolum, nec uſquam duo, tactus quoque nullus eſſet. Quonam modo? Diximus, quae alia ſunt ab uno, nec eſſe unum, nec uno etiam participare, donec alia ſint. Diximus. Ex iis conficitur, ut non ſit in aliis numerus unus, quippe cum unum illis minime

τοῖς, ἄλλοις, ἑνὸς μὴ ὄντος ἐν αὐτοῖς. Πῶς γάρ; Οὔτ' ἄρα ἓν ἐστι τὰ ἄλλα, οὔτε δύο, οὔτε ἄλλου ἀριθμοῦ ἔχοντα ὄνομα
d. οὐδέν. Οὔ. Τὸ ἓν ἄρα μόνον ἐστιν ἕν, καὶ δυὰς οὐκ ἂν εἴη. Οὐ φαίνεται. Ἅψις ἄρα οὐκ ἔστι, δυοῖν μὴ ὄντοιν. Οὐκ ἔστιν. Οὔτ' ἄρα τὸ ἓν τῶν ἄλλων ἅπτεται, οὔτε τἄλλα τοῦ ἑνὸς· ἐπείπερ ἅψις οὐκ ἔστιν. Οὐ γὰρ οὖν. Οὕτω δὴ κατὰ πάντα ταῦτα τὸ ἓν τῶν ἄλλων καὶ ἑαυτοῦ ἅπτεταί τε καὶ οὐχ ἅπτεται. Ἔοικεν. Ἆρ' οὖν καὶ ἴσον ἐστὶ καὶ ἄνισον αὑτῷ τε καὶ τοῖς ἄλλοις; Πῶς, Εἰ μεῖζον εἴη τὸ ἓν ἢ τἄλλα, ἢ ἔλαττον, ἢ αὖ τἄλλα
e. τοῦ ἑνὸς μεῖζω ἢ ἐλάττω, ἆρα οὐκ ἂν τῷ μὲν ἓν εἶναι τὸ ἕν, καὶ τἄλλα, ἄλλα τοῦ ἑνὸς, οὔτέ τι μείζω οὔτέ τι ἐλάττω ἂν εἴη ἀλλήλων αὐταῖς γε ταύταις ταῖς οὐσίαις; ἀλλ' εἰ μὲν πρὸς τῷ τοιαῦτα εἶναι ἑκάτερα ἰσότητα ἔχοιεν, ἴσα ἂν εἴη πρὸς ἄλληλα; εἰ δὲ τὰ μὲν, μέγεθος, τὸ δὲ, σμικρότητα, ἢ καὶ μέγεθος μὲν τὸ ἓν, σμικρότητα δὲ τἄλλα, ὁποτέρῳ μὲν τῷ εἴδει μέγεθος πρόσειη, μεῖζον ἂν εἴη, ᾧ δὲ σμικρότης, ἔλαττον; Ἀνάγκη. Οὐκοῦν ἐχόν γε τινὲ τούτω εἴδη τό, τε

adsit. Enimvero quo pacto id fieri posset? Unde alia nec sunt unum, nec duo, nec alio quovis numero designata. Non sane. Ipsum igitur unum solummodo unum est, duo autem non sunt. Non, ut apparet. Et si duo non sunt, tactus quoque nullus erit. Nullus. Ergo nec unum alia tangit, nec illa unum, nullo exsistente tactu. Non prorsus. Omnibus iis de causis, unum se & alia tangit pariter, & non tangit. Sic videtur. An est praeterea aequale pariter & inaequale, tum sibi, tum etiam ceteris? Quo vero sit pacto? Si maius esset, vel minus unum, quam alia, aut alia rursus maiora, sive minora, quam illud, an non unum ex eo quod unum, & alia ex eo quod alia, quam unum, aut maiora aut minora invicem ex ipsis suis essentiis essent? verum si praeter rationes has utraque aequalitatem insuper haberent, aequalia invicem exsisterent. sin haec quidem magnitudinem, illa parvitatem, aut ipsum unum magnitudinem, alia parvitatem haberent: cuicunque speciei magnitudo adesset, maior exsisteret; cuicunque parvitas, minor.

μέγεθος καὶ ἡ σμικρότης; οὐ γὰρ ἄν που, μὴ ὄντε γε, ἐναντίω τε ἀλλήλοιν ἦτην, καὶ ἐν τοῖς οὖσιν ἐγγιγνοίσθην. Πῶς γὰρ ἄν; Εἰ ἄρα ἐν τῷ ἑνὶ σμικρότης ἐγγιγνεται, ἤτοι ἐν ὅλῳ p.
ἂν ἢ ἐν μέρει αὐτοῦ ἐνείη. Ἀνάγκη. Τι δ' εἰ ἐν ὅλῳ ἐγγιγνοι- 150
το, οὐχὶ ἢ ἐξ ἴσου ἂν τῷ ἑνὶ δι' ὅλου αὐτοῦ τεταμένη εἴη, a.
ἢ περιέχουσα αὐτό; Δῆλον δή. Ἆρ' οὐκ ἐξ ἴσου μὲν οὖσα ἡ σμικρότης τῷ ἑνὶ, ἴση ἂν αὐτῷ εἴη; περιέχουσα δε, μειζων; Πῶς δ' οὔ; Δυνατὸν οὖν σμικρότητα ἴσην τῳ εἶναι, ἢ μειζω τινός; καὶ πράττειν γε τὰ μεγέθους τε καὶ ἰσότητος, ἀλλὰ μὴ τὰ ἐλαττῆς; Ἀδύνατον. Ἐν μὲν ὅλῳ ἄρα τῷ ἑνὶ οὐκ ἂν b.
εἴη σμικρότης· ἀλλ' εἴπερ, ἐν μέρει. Ναι. Οὔτι γε ἐν παντὶ αὖ τῷ μέρει. εἰ δὲ μὴ, ταυτὰ ποιήσει ἅπερ πρὸς τὸ ὅλον ἴση ἔσχι, ἢ μειζων τοῦ μέρους ἐν ᾧ ἂν ἀεὶ ἐνῇ. Ἀνάγκη. Οὐδενί ποτε ἄρα ἐνέσαι τῶν ὄντων σμικρότης, μήτ' ἐν μέρει μήτ' ἐν ὅλῳ ἐγγιγνομένη· οὐδέ τι ἔσαι σμικρὸν πλὴν αὐτῆς τῆς σμικρότητος. Οὐκ ἔοικεν. Οὐδ' ἄρα μέγεθος ἐνέσαι ἐν

Neceſſe. Nonne ſunt duae quaedam huiuſmodi ſpecies, magnitudo & parvitas? etenim niſi eſſent, nunquam contrariae invicem exſiſterent, ac rebus ipſis ineſſent. Eſt, ut dicis. Igitur ſi uni parvitas accedit, vel toti uni, vel parti cuipiam inſidet. Neceſſarium. Si toti inſederit, vel aequa extentione per integrum unum intus ibit, vel externis limitibus complectetur. Plane. Ex aequo uni inſuſa parvitas, aequalis procul dubio uni erit: complectens autem, maior. Quidni? Num potis eſt parvitas aequalis cuiquam eſſe, vel amplior? effectuſque magnitudinis & aequalitatis in alio exercere, niſi poſſet in ſe ipſam? Non poteſt procul dubio. Unde concluditur, in toto uno parvitatem eſſe non poſſe. reſtat forſitan, ut ſit in parte. Reſtat. Non tamen in tota parte. eadem enim efficeret adverſus partem, quae & adverſus totum effecerat. quippe vel aequalis erit, vel maior illa ipſa parte, cuicunque ſemper inſit. Neceſſario ſequitur. Nulli igitur unquam rei parvitas inhaerebit, cum neque parti, neque toti inhaereat. ex quo fit, ut nihil futurum ſit parvum, praeter ipſammet parvitatem. Videtur. Sed

c. αὐτῷ. μεῖζον γὰρ ἄν τι εἴη ἄλλο, καὶ πλὴν αὐτοῦ μεγέθους· ἐκεῖνο ἐν ᾧ τὸ μέγεθος ἐνείη· καὶ ταῦτα, σμικροῦ αὐτοῦ οὐκ ὄντος· οὗ ἀνάγκη ὑπερέχειν ἐάνπερ ᾖ μέγα. τοῦτο δὲ ἀδύνατον, ἐπειδὴ σμικρότης οὐδαμοῦ ἔνι. Ἀληθῆ. Ἀλλὰ μὴν αὐτὸ μέγεθος, οὐκ ἄλλου μεῖζον ἢ αὐτῆς σμικρότητος· οὐδὲ σμικρότης ἄλλου ἔλαττον ἢ αὐτοῦ μεγέθους. Οὐ γάρ. Οὔτε ἄρα τἆλλα μείζω τοῦ ἑνὸς, οὐδὲ ἐλάττω, μήτε μέγεθος μήτε σμικρότητα ἔχοντα. οὔτε αὐτὼ τούτω πρὸς τὸ ἓν ἔχετον
d. τὴν δύναμιν τὴν τοῦ ὑπερέχειν τε καὶ ὑπερέχεσθαι, ἀλλὰ πρὸς ἀλλήλω. οὔτε αὖ τὸ ἓν τούτοιν οὐδὲ τῶν ἄλλων μεῖζον ἂν οὐδ' ἔλαττον εἴη, μήτε μέγεθος μήτε σμικρότητα ἔχον. Οὐκοῦν φαίνεταί γε. Ἆρ' οὖν, εἰ μήτε μεῖζον μήτε ἔλαττον τὸ ἓν τῶν ἄλλων, ἀνάγκη αὐτὸ ἐκείνων μήτε ὑπερέχειν μήτε ὑπερέχεσθαι; Ἀνάγκη. Οὐκοῦν τόγε μήτε ὑπερέχον μήτε ὑπερεχόμενον, πολλὴ ἀνάγκη ἐξ ἴσου εἶναι· ἐξ ἴσου δὲ
e. ὄν, ἴσον εἶναι. Πῶς γὰρ οὔ; Καὶ μὴν καὶ αὐτό γε τὸ ἓν πρὸς

neque etiam magnitudo inerit: quippe aliud quidquam praeter ipſammet magnitudinem maius eſſet, utputa id, cui inerit magnitudo. verumtamen nihil eſt parvum, quod quidem ſuperari oportet a magno, ſi quid magnum ſit. etenim quo pacto parvum aliquod reperies, cum parvitas in nullo reſideat? Vera loqueris. Quin etiam magnitudo ipſa nullo erit alio maior, quam parvitate: neque parvitas ipſa alio quopiam, quam ipſa magnitudine, minor. Nullo. Quamobrem cetera praeter unum, neque maiora, neque minora, quam unum, erunt, cum magnitudinis parvitatiſque expertia ſint. neque habebunt haec duo adverſus ipſum unum vim aliquam, qua vel excedant, vel excedantur, ſed inter ſe ipſa id efficient. neque etiam ipſum unum, aut hiſce duobus, aut aliis quibuslibet maius, vel minus erit: utpote quod tam magnitudinis, quam parvitatis, eſt expers. Sic utique apparet. Ideoque cum nec maius nec minus ſit unum, quam cetera, nec ſuperabit alia, neque ab aliis ſuperabitur. Abſque dubio. Nonne quod nec ſuperat, nec ſuperatur, neceſſario ſequitur, ut aeque ſe habeat? & ſi aeque, ut

ἑαυτὸ οὕτως ἂν ἔχοι· μήτε μέγεθος ἐν ἑαυτῷ μήτε σμικρότητα ἔχον, οὔτ' ἂν ὑπερέχοιτο οὔτ' ἂν ὑπερέχοι ἑαυτοῦ· ἀλλ' ἐξ ἴσου ὂν, ἴσον ἀεὶ εἴη ἑαυτῷ. Πάνυ μὲν οὖν. Τὸ ἓν ἄρα ἑαυτῷ τε καὶ τοῖς ἄλλοις ἴσον ἂν εἴη. Φαίνεται. Καὶ μὴν αὐτό γε ἐν ἑαυτῷ ὄν, καὶ περὶ ἑαυτὸ ἂν εἴη ἐξωθεν· καὶ περιέχον μὲν, μεῖζον ἂν ἑαυτοῦ εἴη· περιεχόμενον δὲ, ἔλαττον. καὶ οὕτω μεῖζον ἂν καὶ ἔλαττον εἴη αὐτὸ ἑαυτοῦ τὸ ἕν. Εἴη γὰρ ἄν. Οὐκοῦν καὶ τὸ ἀνάγκη, μηδὲν εἶναι ἐκτὸς τοῦ ἑνός τε καὶ τῶν ἄλλων; Πῶς γὰρ οὔ; Ἀλλὰ μὴν καὶ εἶναί που δεῖ τόγε ὂν ἀεί. Ναι. Οὐκοῦν τόγε ἓν τῷ ὄν, ἐν μείζονι ἕξαι, ἔλαττον ὄν; οὐ γὰρ ἂν ἄλλως ἕτερον ἐν ἑτέρῳ εἴη. Οὐ γάρ. Ἐπειδὴ δὲ οὐδὲν ἑτερόν ἐστι χωρὶς τῶν ἄλλων καὶ τοῦ ἑνὸς, δεῖ δὲ αὐτὰ ἓν τῳ εἶναι, οὐκ ἀνάγκη ἤδη ἐν ἀλλήλοις εἶναι, τά τε ἄλλα ἐν τῷ ἑνὶ, καὶ τὸ ἓν ἐν τοῖς ἄλλοις; ἢ μηδαμοῦ εἶναι; Φαίνεται. Ὅτι μὲν ἄρα τὸ ἓν ἐν τοῖς ἄλλοις ἔνεστι, μείζω ἂν εἴη τἄλλα τοῦ ἑνὸς, περιέχοντα αὐτό· τὸ δὲ ἓν, ἔλαττον τῶν p. 151 a. b.

aequale ſit? Immo. Sed hoc pacto unum ipſum ad ſeſe habet, expers ſcilicet & magnitudinis & parvitatis, ut nec exſuperet ſe ipſum, nec a ſe ipſo exſuperetur, ſed aeque ſe habens, aequale ſemper ſibi ſit. Et maxime quidem. Itaque unum ſibi ceteriſque aequale. Videtur. Verumtamen cum unum in ſe ipſo ſit, extrinſecus ſeſe circuit, atque ita ſe complectens, ſe ipſo amplius exſtat: cumque etiam comprehendatur, anguſtius eſt. quo fit, ut unum tum maius, tum etiam minus ſe ipſo ſit. Fit utique. Nonne hoc quoque neceſſarium eſt, nihil ſcilicet praeter unum & alia reperiri? Neceſſarium. Item, quidquid eſt, an non ſemper alicubi eſſe oportet? Oportet. Inſuper, quod in aliquo eſt, nonne ſemper in maiori minus? neque enim aliter aliud eſſet in alio. Eſt, quod dicis. Poſtquam vero nihil eſt praeter unum & alia, oportetque iſta in aliquo eſſe, nonne in ſe invicem haec viciſſim eſſe neceſſe eſt? alia ſcilicet in uno, & in aliis unum? aut nuſquam prorſus exiſtere? Conſtat. Quia ergo unum eſt in aliis, idcirco alia maiora ſunt, quam unum, utpote quae unum continent: unum

ἄλλων, περιεχόμενον. ὅτι δὲ τἄλλα ἐν τῷ ἑνί, τὸ ἓν τῶν ἄλλων κατὰ τὸν αὐτὸν λόγον μεῖζον ἂν εἴη· τὰ δὲ ἄλλα τοῦ ἑνὸς, ἐλάττω. Ἔοικε. Τὸ ἓν ἄρα ἴσον τε καὶ μεῖζον καὶ ἔλαττόν ἐστιν αὑτό τε αὑτοῦ καὶ τῶν ἄλλων. Φαίνεται. Καὶ μήν, εἴπερ μεῖζον, καὶ ἴσον καὶ ἔλαττον, ἴσων ἂν εἴη μέτρων καὶ
c. πλειόνων καὶ ἐλαττόνων αὐτῷ καὶ τοῖς ἄλλοις· ἐπειδὴ δὲ μέτρων, καὶ μερῶν. Πῶς δ' οὔ; Ἴσων ἄρα μέτρων ὂν, καὶ πλειόνων καὶ ἐλαττόνων, καὶ ἀριθμῷ ἔλαττον ἂν καὶ πλέον εἴη αὑτό τε αὑτοῦ καὶ τῶν ἄλλων, καὶ ἴσον αὑτῷ τε καὶ τοῖς ἄλλοις κατὰ ταυτά. Πῶς; Ὥνπερ μεῖζόν ἐστι, πλειόνων που καὶ μέτρων ἂν εἴη αὐτῶν· ὅσων δὲ μέτρων, καὶ μερῶν. καὶ ὧνπερ ἔλαττον, ὡσαύτως· καὶ οἷς ἴσον, κατὰ ταυτά. Οὕτως. Οὐκοῦν ἑαυτοῦ μεῖζον καὶ ἔλαττον ὂν, καὶ ἴσον, ἴσων ἂν εἴη
d. μέτρων, καὶ πλειόνων καὶ ἐλαττόνων αὐτῷ; ἐπειδὴ δὲ μέτρων, καὶ μερῶν; Πῶς δ' οὔ; Ἴσων μὲν ἄρα μερῶν ὂν αὐτῷ, ἴσον ἂν τὸ πλῆθος αὐτῷ εἴη· πλειόνων δὲ, πλέον· ἐλαττόνων δὲ, ἔλαττον τὸν ἀριθμὸν αὐτοῦ. Φαίνεται. Οὐκοῦν καὶ πρὸς

autem aliis minus, ex eo quod continetur: quia vero alia in uno ſunt, unum aliis ob eandem rationem maius eſt, illa vero minora. Videtur. Unum itaque aequale, maiuſque & minus ſe ipſo & aliis eſt. Apparet. Atqui ſi maius & minus & aequale, aequalium erit menſurarum, pluriumque & pauciorum, quoad ſe ipſum atque ad alia: &, ſi menſurarum, partium etiam. Quid prohibet? Eaſdem ergo menſuras, pluresque & pauciores habens, numero quoque plus atque minus erit & ad ſe ipſum, & ad cetera: nec non aequale ſibi atque aliis ob eaſdem cauſas. Quonam pacto? Quibus maius eſt, plures, quam illa, menſuras habet: quotque menſuras, totidem & partes: & quibus minus eſt, eodem modo; quibuſve aequale, ſimiliter. Sic eſt. Nonne, cum ſe ipſo maius minuſque ſit, & aequale, aequalium menſurarum pluriumque & pauciorum, quoad ſe ipſum eſt particeps? & poſtquam menſurarum, etiam partium? Quidni? Habenſque partes ſibi ipſi aequales, multitudine etiam aequale ſibi erit: plures vero plus, paucioreſque denique mi-

τἄλλα ὡσαύτως ἔξει τὸ ἕν; ὅτι μὲν μεῖζον αὐτῶν φαίνεται, ἀνάγκη πλέον εἶναι καὶ τὸν ἀριθμὸν αὐτῶν; ὅτι δὲ σμικρότερον, ἔλαττον; ὅτι δὲ ἴσον μεγεθει, ἴσον καὶ τὸ πλῆθος εἶναι τοῖς ἄλλοις; Ἀναγκη. Οὕτω δὴ αὖ, ὡς ἔοικε, τὸ ἕν, καὶ ἴσον, καὶ πλέον καὶ ἔλαττον τὸν ἀριθμὸν αὑτό τε αὑτοῦ ἐξαι καὶ e.
τῶν ἄλλων. Ἔξαι. Ἆρ' οὖν καὶ χρόνου μετέχει τὸ ἓν; καὶ ἔστι τε καὶ γίγνεται νεωτερόν τε καὶ πρεσβύτερον αὐτό τε αὑτοῦ καὶ τῶν ἄλλων; καὶ οὔτε νεώτερον οὔτε πρεσβυτερον οὔτε ἑαυτοῦ οὔτε τῶν ἄλλων, χρόνου μετέχον; Πῶς; Εἶναι μέν που αὐτῷ ὑπάρχει, εἴπερ ἔν ἐστι. Ναί. Τὸ δὲ εἶναι ἄλλό τι ἐστὶν ἢ μέθεξις οὐσίας μετὰ χρόνου τοῦ παρόντος; ὥσπερ τὸ ἦν μετὰ τοῦ παρεληλυθότος, καὶ αὖ τὸ ἔσαι μετὰ τοῦ μέλλον- p.
τος, οὐσίας ἐστὶ κοινωνια; Ἔστι γάρ. Μετέχειν μὲν ἄρα ἔστι 152
χρόνου, εἴπερ καὶ τοῦ εἶναι. Πάνυ γε. Οὐκοῦν πορευομένου τοῦ χρόνου; Ναί. Ἀεὶ ἄρα πρεσβύτερον γιγνεται ἑαυτοῦ, εἴπερ προέρχεται κατὰ χρόνον. Ἀνάγκη. Ἆρ' οὖν μεμνήμεθα, ὅτι νεωτέρου γιγνομένου τὸ πρεσβύτερον πρεσβύτερον

nus numero ſemetipſo? Videtur. An non ad alia ſimiliter ſe unum habebit? quia maius illis apparet, neceſſe eſt plus, quam illa, numero eſſe: quia vero minus magnitudine, etiam numero minus: quia denique aequale in magnitudine, numero quoque par eſſe. Neceſſario fit. Hac iterum ratione, unum, par, plus, minus, ſecundum numerum ſe ipſo erit, ac ceteris. Erit ſane. Numquid & tempore unum participat, eſtque & fit iunius ac ſenius ſe ipſo ſimul & aliis? & rurſus contra nec iunius neque ſenius ſe ipſo, vel aliis, dum participat tempore? At quomodo id fieri poteſt? Eſſe profecto illi competit, ſi quidem unum eſt. Competit. Ipſum eſſe autem quid aliud eſt, quam eſſentiae cum praeſenti tempore participatio: quemadmodum ipſum erat cum praeterito, & ipſum erit cum futuro, eſſentiae ipſius communicatio? Iſthuc ipſum. Ergo ſi ipſo eſſe participat, neceſſe eſt temporis quoque eſſe particeps. Nimirum. Nonne fluentis temporis? Certe. Semper ergo ſenius ſe ipſo fit, ſi quidem ſecundum tempus percurrit. Neceſſe. Re-

γίγνεται; Μεμνήμεθα. Οὐκοῦν, ἐπειδὴ πρεσβύτερον ἑαυτοῦ
b. γίγνεται τὸ ἓν, νεωτέρου ἂν γιγνομένου ἑαυτοῦ πρεσβύτερον
γίγνοιτο; Ἀνάγκη. Γίγνεται μὲν δὴ νεώτερόν τε καὶ πρε-
σβύτερον αὑτοῦ οὕτω. Ναί. Ἔστι δὲ πρεσβύτερον ἆρ' οὐχ
ὅταν κατὰ τὸν νῦν χρόνον ᾖ γιγνόμενον, τὸν μεταξὺ τοῦ
ἦν τε καὶ ἔσται; οὐ γάρ που πορευόμενόν γε ἐκ τοῦ ποτε εἰς
τὸ ἔπειτα ὑπερβήσεται τὸ νῦν. Οὐ γάρ. Ἆρ' οὖν οὐκ ἐπί-
σχει τότε τοῦ γίγνεσθαι πρεσβύτερον, ἐπειδὰν τῷ νῦν ἐντύ-
c. χῃ; καὶ οὐ γίγνεται, ἀλλ' ἔστι τότ' ἤδη πρεσβύτερον; πρσϊὸν
γὰρ οὐκ ἄν ποτε ληφθείη ὑπὸ τοῦ νῦν. τὸ γὰρ πρσϊὸν, οὕ-
τως ἔχει ὡς ἀμφοτέρων ἐφάπτεσθαι, τοῦ τε νῦν καὶ τοῦ
ἔπειτα· τοῦ μὲν νῦν ἀφιέμενον, τοῦ δ' ἔπειτα ἐπιλαμβανό-
μενον· μεταξὺ ἀμφοτέρων γιγνόμενον, τοῦ τε ἔπειτα καὶ
τοῦ νῦν. Ἀληθῆ. Εἰ δέ γε ἀνάγκη μὴ παρελθεῖν τὸ νῦν πᾶν
τὸ γιγνόμενον, ἐπειδὰν κατὰ τοῦτο ᾖ, ἐπίσχει ἀεὶ τοῦ γίγνε-
d. σθαι· καὶ ἔστι τότε τοῦτο ὅ, τι ἂν τύχοι γιγνόμενον. Φαίνε-
ται. Καὶ τὸ ἓν ἄρα, ὅταν πρεσβύτερον γιγνόμενον ἐντύχῃ

cordamurne, quod ſenius ſemper fit, ſenius eo, quod iunius, fit? Recordamur. Nonne igitur, poſtquam unum ſe ipſo fit ſenius, ſe ipſo dum iunius fit, fit & ſenius? Neceſſarium eſt. Fit ergo per hunc modum iunius ſe ipſo ac ſenius. Fit. Senius autem nonne tunc eſt, quando praeſens iam tempus attingit, quod medium eſt ipſius erat & erit? neque enim currens ex praecedente in poſterum, praeſens ipſum ſupergreditur. Non certe. An non deſinit tunc fieri ſenius, cum primum praeſens tangit? nec tum fit, ſed eſt iam ſenius? procedens enim, ab ipſo praeſenti nequaquam comprehenditur. quod namque procedit, ſic ſe habet, ut utrumque, praeſens ſcilicet futurumque, attingat; praeſens quidem relinquens, futurum apprehendens, inter utrumque medium praeſens futurumve cadens. Vera. Si vero neceſſe eſt, quodcunque fit, ipſum praeſens minime tranſgredi, cum primum illud nactum eſt, fieri deſinit, eſtque tunc iam illud, quod fiebat. Apparet. Unum igitur quando ſenius factum, ipſum praeſens aſſequitur, deſiſtit fieri, eſt-

τῷ νῦν, ἐπέσχε τοῦ γίγνεσθαι, καὶ ἔστι τότε πρεσβύτερον. Πάνυ μὲν οὖν. Οὐκοῦν οὗπερ ἐγίγνετο πρεσβύτερον, τούτου καὶ ἔστιν; ἐγίγνετο δὲ αὐτοῦ; Ναί. Ἔστι δὲ τὸ πρεσβύτερον νεωτέρου πρεσβύτερον; Ἔστι. Καὶ νεώτερον ἄρα τότε αὐτοῦ ἐστὶ τὸ ἕν, ὅταν πρεσβυτερον γιγνόμενον ἐντύχῃ τῷ νῦν. Ἀνάγκη. Τό γε μὴν νῦν ἀεὶ πάρεστι τῷ ἑνὶ διὰ παντὸς τοῦ εἶναι. ἔστι γὰρ ἀεὶ νῦν ὅταν περ ᾖ. Πῶς γὰρ οὔ; Ἀεὶ ἄρα ἐστί τε καὶ γίγνεται πρεσβύτερον ἑαυτοῦ καὶ νεώτερον τὸ ἕν. Ἔοικε. Πλείω δὲ χρόνον αὐτὸ ἑαυτοῦ ἐστιν ἢ γίγνεται; ἢ τὸν ἴσον; Τὸν ἴσον. Ἀλλὰ μὴν τόν γε ἴσον χρόνον ἢ γιγνόμενον ἢ ὄν, τὴν αὐτὴν ἡλικιαν ἔχει. Πῶς δ' οὔ; Τὸ δὲ τὴν αὐτὴν ἡλικίαν ἔχον, οὔτε πρεσβύτερον οὔτε νεώτερόν ἐστιν. Οὐ γάρ. Τὸ ἓν ἄρα τὸν ἴσον χρόνον αὐτὸ ἑαυτῷ καὶ γιγνόμενον καὶ ὄν, οὔτε νεώτερον, οὔτε πρεσβύτερον ἑαυτοῦ ἐστιν, οὔτε γίγνεται. Οὔ μοι δοκεῖ. Τί δὲ τῶν ἄλλων; Οὐκ ἔχω λέγειν. Τόδε γε μὴν ἔχεις λέγειν, ὅτι τἄλλα τοῦ ἑνὸς, εἴπερ ἕτερά ἐστιν, ἀλλὰ μὴ ἕτερον, πλείω ἐστὶν ἑνός. ἕτερον μὲν γὰρ ὂν, ἓν ἂν ἦ· ἕτερα δὲ ὄντα, e. p. 153 a.

que iam ſenius. Omnino. An non illo ſenius eſt, quo fiebat ſenius? fiebat autem ſe ipſo. Ita. Senius vero iuniori ſenius? Eſt. Iunius ergo ſe ipſo tunc eſt unum, quando ſenius factum, praeſens aſſequitur. Neceſſe. Ipſum praeterea praeſens ſemper uni adeſt per univerſum eſſe. ſemper enim eſt praeſens, quamdiu eſt. Quidni? Semper ergo unum eſt, & fit iunius atque ſenius ſemetipſo. Videtur. Quin etiam longiuſne, vel brevius tempus eſt, aut fit, quam ipſummet; an potius aequum? Aequum. Verum quod aequale tempus eſt, aut fit, eandem agit aetatem. Quidnam prohibet? Quod autem eandem aetatem implet, neque ſenius eſt, neque iunius. Nequaquam. Quapropter unum, cum aequale tempus ad ſe ipſum & ſit, & fiat, neque ſenius, neque iunius ſe ipſo, aut eſt, aut efficitur. Haud ſane mihi videtur. Quo autem modo ad alia ſe habet? Neſcio, quid dicam. Hoc tamen potes dicere, quod alia ab uno, ſi quidem altera ſunt, non alterum, plura ſunt quam unum. nam ſi alterum, unum eſſent: altera vero cum ſint,

πλείω ἑνός ἐϛι, καὶ πλῆθος ἂν ἔχοι. Ἔχοι γὰρ ἄν. Πλῆθος δὲ ὂν, ἀριθμοῦ πλείονος ἂν μετέχοι ἢ τοῦ ἑνός. Πῶς δ' οὔ; Τί οὖν; ἀριθμοῦ φήϛομεν τὰ πλείω γίγνεϛθαί τε καὶ γεγονέναι πρότερον; ἢ τὰ ἐλάττω; Τὰ ἐλάττω. Τὸ ὀλίγιϛον ἄρα πρῶ-
b. τον. τοῦτο δ' ἔϛι τὸ ἕν. ἦ γάρ; Ναί. Πάντων ἄρα τὸ ἓν πρῶτον γέγονε τῶν ἀριθμὸν ἐχόντων. ἔχει δὲ καὶ τἆλλα πάντα ἀριθμὸν, εἴπερ ἄλλα καὶ μὴ ἄλλο ἐϛίν. Ἔχει γάρ. Πρῶτον δέ γε, οἶμαι, γεγονὸς, πρότερον γέγονε· τὰ δὲ ἄλλα, ὑϛερον. τὰ δ' ὕϛερα γεγονότα, νεώτερα τοῦ πρότερον γεγονότος. καὶ οὕτως ἂν εἴη τὰ ἄλλα νεώτερα τοῦ ἑνός· τὸ δὲ ἕν, πρεσβύτερον τῶν ἄλλων. Εἴη γὰρ ἄν. Τί δὲ τόδε; ἆρ' ἂν εἴη τὸ ἓν παρὰ φύϛιν τὴν αὑτοῦ γεγονός; ἢ ἀδύνατον; Ἀδύνατον. Ἀλλὰ
c. μὴν μέρη γε ἔχον ἐφάνη τὸ ἕν. εἰ δὲ μέρη, καὶ ἀρχὴν καὶ τελευτὴν καὶ μέϛον. Ναί. Οὐκοῦν πάντων πρῶτον ἀρχὴ γίγνεται, καὶ αὐτοῦ τοῦ ἑνὸς, καὶ ἑκάϛου τῶν ἄλλων; καὶ μετὰ τὴν ἀρχὴν, καὶ τἆλλα πάντα μέχρι τοῦ τέλους; Τί μήν; Καὶ μὴν μόριά γε φήϛομεν ταῦτ' εἶναι πάντα τἆλλα

plura quam unum ſunt, & multitudinem habent. Habent prorſus. Multitudo autem maiorem numerum, quam unum, habet. Certe. Quid vero? ex iis, quae ad numerum ſpectant, quaenam prius fieri aut facta fuiſſe dicemus? num quae plura ſunt, an quae pauciora? Quae pauciora. Quod ergo pauciſſimum, primum: id autem eſt unum. an non? Immo. Unum ergo primum factum eſt omnium, quae numerum capiunt. habent autem cetera omnia numerum, ſi quidem alia ſunt, non aliud. Habent profecto. Primo autem factum, prius fuit: alia vero, poſterius. poſterius autem facta, iuniora ſunt, quam quod ante factum: ideoque alia hoc pacto iuniora, quam unum ſunt, unumque aliis antiquius. Certe. Quid autem ad hoc? Num unum effici praeter naturam ſuam poteſt: vel id potius impoſſibile? Impoſſibile. Verumtamen partes habere unum apparuit. quod ſi partes, principium quoque, mediumque, & finem. Plane. Nonne omnium primo principium fit, & unius, & reliquorum cuiuſque? ac poſt principium cetera uſque ad

τοῦ ὅλου τε καὶ ἑνός· αὐτὸ δὲ ἐκεῖνο ἅμα τῇ τελευτῇ γεγονέναι ἕν τε καὶ ὅλον. Φήσομεν γάρ. Τελευτὴ δέ γε, οἶμαι, ὕστατον γίγνεται. τοῦτο δ' ἅμα τὸ ἓν πέφυκε γίγνεσθαι. ὥστ' εἴπερ ἀνάγκη αὐτὸ τὸ ἓν μὴ παρὰ φύσιν γίγνεσθαι, ἅμα τελευτῇ ἂν γεγονὸς, ὕστατον ἂν τῶν ἄλλων πεφυκὸς εἴη γίγνεσθαι. Φαίνεται. Νεώτερον ἄρα τῶν ἄλλων τὸ ἕν ἐστι, τὰ δ' ἄλλα τοῦ ἑνὸς πρεσβύτερα. Οὕτως αὖ μοι φαίνεται. Τί δὲ δή; ἀρχὴν, ἢ ἄλλο μέρος ὁτιοῦν τοῦ ἑνὸς, ἢ ἄλλου ὁτουοῦν, ἐάντερ μέρος ᾖ, ἀλλὰ μὴ μέρη, οὐκ ἀναγκαῖον ἓν εἶναι, μέρος γε ὄν; Ἀνάγκη. Οὐκοῦν τὸ ἓν ἅμα τε τῷ πρώτῳ γιγνομένῳ γίγνοιτ' ἄν, καὶ ἅμα τῷ δευτέρῳ· καὶ οὐδενὸς ἀπολείπεται τῶν ἄλλων γιγνομένων, ὅ, τι περ ἂν προσγίγνηται ὁτῳοῦν, ἕως ἂν πρὸς τὸ ἔσχατον διελθὸν, ὅλον ἓν γένηται· οὔτε μέσου, οὔτε ἐσχάτου, οὔτε πρώτου, οὔτε ἄλλου οὐδενὸς ἀπολειφθὲν ἐν τῇ γενέσει. Ἀληθῆ. Πᾶσιν ἄρα τοῖς ἄλλοις τὴν αὐτὴν ἡλικίαν ἴσχει τὸ ἕν. ὥστ' εἰ μὴ παρὰ φύσιν πέφυ- d. e.

finem omnia? Quidni? Fatemurne, haec reliqua omnia partes totius atque unius esse? & illud ipsum una cum fine unum totumque factum fuisse? Fatemur. Finis tandem, ut arbitror, postremo fit: cumque hoc simul unum secundum sui naturam completur. quamobrem si necesse est, unum haud praeter naturam suam effici, cum fine simul confectum, postremum omnium naturae suae iure perficitur. Apparet. Iunius itaque aliis unum est, aliaque uno antiquiora. Sic iterum mihi videtur. Quid autem? principium aut aliqua alia pars sive unius, sive cuiuslibet alterius, si modo pars, non partes sit, nonne unum est, si quidem pars exsistit. Necessarium istud est. Ex hoc sequitur, unum simul cum primo effecto fieri, simulque etiam cum secundo, ac etiam reliquorum, quaecunque fiunt, nulli unquam deesse, donec ad extremum usque percurrens unum totum fiat, non a primo, non a medio, non ab ultimo, non ab alio prorsus ullo in generatione exclusum. Verum. Eandem ergo unum, quam & cetera omnia, aetatem agit. quapropter si non praeter naturam suam natum est ipsum

κεν αὐτὸ τὸ ἕν, οὔτε πρότερον οὔτε ὕστερον τῶν ἄλλων γε-
p. γονὸς ἂν εἴη, ἀλλ' ἅμα. καὶ κατὰ τοῦτον τὸν λόγον τὸ ἓν
154 τῶν ἄλλων οὔτε πρεσβύτερον οὔτε νεώτερον ἂν εἴη, οὐδὲ τἄλ-
a. λα τοῦ ἑνός· κατὰ δὲ τὸν πρόσθεν, πρεσβύτερόν τε καὶ νεώ-
τερον, καὶ τἄλλα ἐκείνου ὡσαύτως. Πάνυ μὲν οὖν. Ἔστι μὲν
δὴ οὕτως ἔχον τε καὶ γεγονός. ἀλλὰ τί αὖ περὶ τοῦ γίγνε-
σθαι αὐτὸ πρεσβύτερόν τε καὶ νεώτερον τῶν ἄλλων, καὶ τἄλ-
λα τοῦ ἑνὸς, καὶ μήτε νεώτερον μήτε πρεσβύτερον γίγνεσθαι;
ἆρα ὥσπερ περὶ τοῦ εἶναι, οὕτω καὶ περὶ τοῦ γίγνεσθαι ἔχει;
b. ἢ ἑτέρως; Οὐκ ἔχω λέγειν. Ἀλλ' ἐγὼ τοσόνδέ γε, ὅτι εἰ
καὶ ἔστι πρεσβύτερον ἕτερον ἑτέρου, γίγνεσθαί γε αὐτὸ πρεσβύ-
τερον ἔτι, ἢ ὡς τοπρῶτον εὐθὺς γενόμενον διήνεγκε τῇ ἡλι-
κίᾳ, οὐκ ἂν ἔτι δύναιτο· οὐδ' αὖ τὸ νεώτερον ὄν, ἔτι νεώτερον
γίγνεσθαι. ἀνίσοις γὰρ ἴσα προστιθέμενα, χρόνῳ τε καὶ ἄλ-
λῳ ὁτῳοῦν, ἴσῳ ποιεῖ διαφέρειν ἀεὶ ὅσῳπερ ἂν τοπρῶτον δι-
ενέγκῃ. Πῶς γὰρ οὔ; Οὐκ ἄρα τόγε ὂν τοῦ ἑνὸς ὄντος γίγνοιτ'
c. ἂν ποτὲ πρεσβύτερον, οὔτε νεώτερον, εἴπερ ἴσῳ διαφέρει ἀεὶ

unum, neque prius, neque poſterius, quam cetera, ſed ſimul potius, factum eſt. ideoque ſecundum hanc rationem unum neque ſenius neque iunius aliis, neque alia uno: ſecundum vero rationem ſuperiorem unum & ſenius ſimul & iunius ceteris omnibus, atque e converſo reliqua cuncta uno. Omnino ſic eſſet. Hoc ergo modo ſe habet, & tale eſt effectum. Verum quidnam ſentis de eo, quod dicitur, fieri unum ſenius, atque iunius aliis, aliaque uno? ac etiam neque iunius, neque ſenius fieri? Utrum eadem ratione ſe habet circa ipſum fieri, qua circa ipſum eſſe ſe habere praediximus? an aliter? Quid dicam, ignoro. Ego autem tantum dicam: quod ſi quid eſt antiquius alio, antiquius quoad illud deinde fieri, quam antea ſecundum aetatis intervallum fuiſſet, minime poteſt: neque etiam quod iunius eſt, in poſterum iunius fieri. nam aequalia inaequalibus addita, ſeu tempori ſive cuilibet alteri, eodem intervallo diſtare, quo & antea, illa ſemper efficiunt. Nihil prohibet. Non igitur id quod eſt, illo quod unum eſt,

τὴν ἡλικίαν· ἀλλ' ἔστι καὶ γέγονε πρεσβύτερον, τὸ δὲ, νεώτερον γίγνεται δ' οὔ. Ἀληθῆ. Καὶ τὸ ἓν ἄρα ὄν, τῶν ἄλλων ὄντων οὔτε πρεσβύτερον ποτὲ, οὔτε νεώτερον γίγνεται. Οὐ γὰρ οὖν. Ὅρα δὲ εἰ τῇδε πρεσβυτερα καὶ νεωτερα γίγνεται. Πῇ δή; Ἢ τό, τε ἓν τῶν ἄλλων ἐφάνη πρεσβύτερον, καὶ τἄλλα τοῦ ἑνός. Τί οὖν; Ὅταν τὸ ἓν τῶν ἄλλων πρεσβυτεραν ᾖ, πλείω χρόνον γέγονεν ἢ τἄλλα. Ναί. Πάλιν δὴ σκόπει· ἐὰν d.
πλείονι καὶ ἐλάττονι χρόνῳ προστιθῶμεν τὸν ἴσον χρόνον, ἆρα τῷ ἴσῳ μοριῳ διοισει τὸ πλέον τοῦ ἐλάττονος, ἢ σμικροτέρῳ; Σμικροτέρῳ. Οὐκ ἄρα ἔσται ὅ, τι περ τοπρῶτον ἦν πρὸς τἄλλα ἡλικια διαφέρον τὸ ἕν, τοῦτο καὶ εἰς τὸ ἑπειτα, ἀλλὰ ἴσην λαμβάνον χρόνον τοῖς ἄλλοις, ἐλαττον αἰεὶ τῇ ἡλικίᾳ διοισει αὐτῶν ἢ πρότερον. ἢ οὔ; Ναί. Οὐκοῦν τό γε ἔλαττον διαφέρον ἡλικίᾳ πρός τι ἢ πρότερον, νεώτερον γιγνοιτ' ἂν ἢ e.
ἐν τῷ πρόσθεν, πρὸς ἐκεῖνα πρὸς ἃ ἦν πρεσβύτερον πρότερον; Νεώτερον. Εἰ δὲ ἐκεῖνο νεώτερον, οὐκ ἐκεῖνα αὖ τὰ ἄλλα

aut antiquius, aut iunius fieri poteſt; quandoquidem eadem ſemper diſtantia aetatis intercedit: ſed & eſt, & fuit hoc quidem ſenius, illud autem iunius; fit vero minime. Eſt, ut dicis. Ita id, quod unum eſt, ceteris, quaecunque ſunt, nunquam vel iunius, vel ſenius efficitur. Nunquam. Sed aſpice poſthac, utrum alia quadam ratione & iuniora haec & ſeniora fiant. Quanam? Hac, inquam. unumne antiquius aliis, & alia uno eſſe conſtitit? Quid tum? Quandoquidem unum ſenius eſt quam cetera, longius quam illa tempus exſtitit. Quin immo. Adverte iterum: ſi quando longiori & breviori tempori par tempus adiiciamus, utrum aequa particula diſcrepabit longius a breviori, an minore? Minore. Unum igitur non tanto aetatis intervallo alia deinceps excedet, quanto prius exceſſerat: ſed par tempus ac cetera ſortitum, minus ſemper quam prius ab illis aetate diſtabit. an non? Profecto. Nonne quod minus excedit aliquid aetate quam prius, iunius fit quam prius, quoad illa, quibus erat antiquius? Iunius procul dubio. Si illud iunius, an non illa, ſi cum uno conferas,

πρὸς τὸ ἓν πρεσβύτερα ἢ πρότερον; Πάνυ γε. Τὸ μὲν νεώτερον ἄρα γεγονὸς, πρεσβύτερον γίγνεται πρὸς τὸ πρότερον γεγονός τε καὶ πρεσβύτερον ὄν. ἔστι δὲ οὐδέποτε πρεσβυτερον, ἀλλὰ γίγνεται αἰεὶ ἐκείνου πρεσβύτερον. ἐκεινο μὲν γὰρ ἐπὶ
p. τὸ νεώτερον ἐπιδιδωσι, τὸ δ' ἐπι τὸ πρεσβυτερον. τὸ δ' αὖ πρε-
155 σβύτερον τοῦ νεωτέρου νεώτερον γίγνεται ὡσαύτως. ἰόντε γὰρ
a. αὐτὼ εἰς τὸ ἐναντίον, τὸ ἐναντίον ἀλλήλοιν γίγνεσθον· τὸ μὲν νεώτερον, πρεσβύτερον τοῦ πρεσβυτέρου· τὸ δε πρεσβύτερον, νεώτερον τοῦ νεωτέρου. γενέσθαι δὲ οὐκ ἂν οἵωτε ἦτην. εἰ γὰρ γένοιντο, οὐκ ἂν ἔτι γίγνοιντο, ἀλλ' εἶεν ἄν. νῦν δὲ γίγνονται μὲν πρεσβύτερα ἀλλήλων καὶ νεώτερα. τὸ μὲν ἓν, τῶν ἄλλων νεώτερον γίγνεται, ὅτι πρεσβύτερον ἐφάνη ὂν καὶ πρό-
b. τερον γεγονός· τὰ δὲ ἄλλα τοῦ ἑνὸς πρεσβύτερα, ὅτι ὕστερα γέγονε. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τἄλλα τούτῳ πρὸς τὸ ἓν ἴσχει, ἐπειδήπερ αὐτοῦ πρεσβύτερα ἐφάνη καὶ πρότερα γεγονότα. Φαίνεται γὰρ οὖν οὕτω. Οὐκοῦν ᾗ μὲν οὐδὲ ἕτερον ἑτέρου πρεσβύτερον γίγνεται οὐδὲ νεώτερον, κατὰ τὸ ἴσῳ

seniora quam prius erunt? Penitus. Quod ergo iunius ante fiebat, senius fit ad illud, quod ante fiebat, eratque antiquius. est autem nunquam antiquius, verum illo semper antiquius fit. Illud porro iuvenescit, hoc contra senescit. quod rursus antiquius, iuniori iunius similiter efficitur. nam cum ista in contrarium tendant, contraria invicem fiunt. Iunius quidem seniori senius: senius contra, iunius iuniori. facta vero fuisse nequeunt. Nam si facta fuissent, non amplius fierent, sed iam essent. nunc vero & iuniora, & seniora invicem efficiuntur. Unum quidem ceteris iunius fit, ex eo, quod senius esse apparuit, & prius effectum: cetera vero seniora quam unum fiunt, ex eo, quod posteriora facta fuerint. Et secundum eandem rationem cetera quoque similiter ad unum se habent: quippe cum antiquiora & priora illo facta fuisse apparuerint. Idem mihi quoque videtur. An non qua ratione neutrum illorum altero vel iunius fit vel senius, secundum quod pari numero invicem differunt, neque unum

ἀριθμῷ ἀλλήλων ἀεὶ διαφέρειν, οὔτε τὸ ἓν τῶν ἄλλων πρεσβύτερον γίγνοιτ' ἄν, οὐδὲ νεώτερον, οὔτε τἆλλα τοῦ ἑνός; ἢ δὲ ἄλλῳ ἀεὶ μορίῳ διαφέρειν ἀνάγκη τὰ πρότερα τῶν ὑστέρων γενόμενα, καὶ τὰ ὕστερα τῶν προτέρων, ταύτῃ δὴ ἀνάγκη c. πρεσβύτερά τε καὶ νεώτερα ἀλλήλων γίγνεσθαι τά τε ἄλλα τοῦ ἑνὸς, καὶ τὸ ἓν τῶν ἄλλων; Πάνυ μὲν οὖν. Κατὰ δὴ πάντα ταῦτα τὸ ἓν αὐτό τε αὑτοῦ καὶ τῶν ἄλλων πρεσβύτερον καὶ νεώτερον ἐστί τε καὶ γίγνεται, καὶ οὔτε πρεσβύτερον οὔτε νεώτερον οὔτ' ἔστιν οὔτε γίγνεται οὔτε αὐτοῦ οὔτε τῶν ἄλλων. Παντελῶς μὲν οὖν. Ἐπειδὴ δὲ χρόνου μετέχει τὸ ἓν, καὶ τοῦ πρεσβύτερόν τε καὶ νεώτερον γίγνεσθαι, ἆρ' οὐκ d. ἀνάγκη καὶ τοῦ ποτε μετέχειν, καὶ τοῦ ἔπειτα, καὶ τοῦ νῦν, εἴτε χρόνου μετέχει; Ἀνάγκη. Ἦν ἄρα τὸ ἓν, καὶ ἔστι καὶ ἔσται, καὶ ἐγίγνετο καὶ γίγνεται καὶ γενήσεται. Τι μήν; Καὶ εἴη ἄν τι ἐκείνῳ καὶ ἐκεινου, καὶ ἦν καὶ ἔστι καὶ ἔσται. Πάνυ γε. Καὶ ἐπιστήμη δὴ εἴη ἂν αὐτοῦ καὶ δόξα καὶ αἴσθησις, εἴπερ καὶ νῦν ἡμεῖς περὶ αὐτοῦ πάντα ταῦτα πράττομεν. Ὀρθῶς λέγεις. Καὶ ὄνομα δὴ καὶ λόγος ἐστὶν αὐτῷ, καὶ ὀνομά-

aliis antiquius, aut iunius fieret, neque alia uno? qua vero ratione altera semper parte differre necesse est priora posteriobus, & posteriora prioribus, ex hoc necesse est seniora & iuniora invicem fieri, tum cetera uno, tum ceteris unum? Et maxime quidem. Omnibus igitur his de causis unum & se ipso, & aliis senius ac iunius est & fit: rursusque neque iunius neque senius se ipso, vel ceteris, aut est, aut unquam efficitur. Prorsus. Postquam vero unum temporis est particeps, seniusque & iunius fieri potest, nonne praeterea necesse est praeteriti, praesentis atque futuri esse particeps, cum participet tempore? Necessario sequitur. Erat igitur unum, & est, & erit, fiebatque, & fit, & fiet. Quidni? Esset quoque illi aliquid & illius, eratque, & est, & erit. Maxime. Ideoque scientia de illo esset, opinioque ac sensus, quippe cum & nos in praesentia haec de illo universa tractemus. Recte ais. Nomen item ac sermo ipsi adest, nomina-

e. ζεται καὶ λέγεται· καὶ ὅσά περ καὶ περὶ τἄλλα τῶν τοιούτων
τυγχάνει ὄντα, καὶ περὶ τὸ ἕν ἐϛι. Παντελῶς μὲν οὖν ἔχει
οὕτως. Ἔτι δὴ τὸ τρίτον λέγωμεν. τὸ ἕν εἰ ἔϛιν οἷον διεληλύ-
θαμεν, ἆρ' οὐκ ἀνάγκη αὐτὸ, ἕν τε ὂν καὶ πολλὰ, καὶ μήτε
ἓν μήτε πολλὰ, καὶ μετέχον χρόνου, ὅτι μέν ἐϛιν ἕν, οὐσίας
μετέχειν ποτέ; ὅτι δ' οὐκ ἔϛι, μὴ μετέχειν αὖ ποτε οὐσίας;
Ἀνάγκη. Ἆρ' οὖν ὅτε μετέχει, οἷόντε ἔϛαι τότε μὴ μετέ-
χειν; ἢ, ὅτε μὴ μετέχει, μετέχειν; Οὐχ οἷόντε. Ἐν ἄλλῳ
ἄρα χρόνῳ μετέχει, καὶ ἐν ἄλλῳ οὐ μετέχει. οὕτω γὰρ ἂν
p. μόνως τοῦ αὐτοῦ μετέχοι τε καὶ οὐ μετέχοι. Ὀρθῶς. Οὐκ-
156 οὖν ἔϛι καὶ οὗτος χρόνος ὅτε μεταλαμβάνει τοῦ εἶναι, καὶ ὅτε
a. ἀπαλλάττεται αὐτοῦ; ἢ πῶς οἷόντε ἔϛαι τοτὲ μὲν ἔχειν τὸ
αὐτὸ, τοτὲ δὲ μὴ ἔχειν; ἐὰν μήποτε καὶ λαμβάνῃ αὐτὸ
καὶ ἀφίῃ; Οὐδαμῶς. Τὸ δὴ οὐσίας μεταλαμβάνειν, ἆρά γε
οὐ γίγνεϑαι καλεῖς; Ἔγωγε. Τὸ δὲ ἀπαλλάττεϑαι οὐ-
σίας, ἆρα οὐκ ἀπόλλυϑαι; Καὶ πάνυ γε. Τὸ ἓν δὴ, ὡς ἔοι-

turque & dicitur. & quotcunque huiuſmodi circa alia reperiuntur, circa unum quoque exſiſtunt. Omnino quidem ſic ſe res habet. Verum tertio iam iterum diſſeramus, num unum ſit, quemadmodum ſupra diximus. numquid igitur neceſſe eſt, ipſum cum ſit unum, & multa, atque iterum, neque unum, neque multa, & participans tempore, quia unum eſt, eſſentia participare aliquando; quia vero non eſt, non participare aliquando? Neceſſarium hoc eſt. Num poſſibile eſt, cum participat, tunc minime participare? vel cum non participat, participare? Impoſſibile. In alio itaque tempore particeps, in alio vero eſt expers. hoc enim modo dumtaxat fieri poteſt, ut particeps atque expers eiuſdem ſit. Probe. Numquid eſt id tempus, quando accipit eſſe, & quando eſſe amittit? aut quo pacto eſſe poteſt, ut aliquando idem habeat, aliquando vero non habeat? niſi alias id capiat, alias autem amittat? Non aliter. Accipere eſſentiam, nonne fieri appellas? Equidem. Eſſentia vero privari, nonne deſtrui? Et maxime. Unum igitur, ut videtur, aſſumens atque de-

κε, λαμβάνον τε καὶ ἀφιὲν οὐσίαν, γίγνεται καὶ ἀπόλλυται.
Ἀνάγκη. Ἓν δὲ καὶ πολλὰ ὄν, καὶ γιγνόμενον καὶ ἀπολλύ- b.
μενον, ἆρ' οὐχ ὅταν μὲν γίγνηται ἓν, τὸ πολλὰ εἶναι ἀπόλλυται, ὅταν δὲ πολλὰ, τὸ ἓν εἶναι ἀπόλλυται; Πάνυ γε. Ἓν δὲ γιγνόμενον καὶ πολλὰ, ἆρ' οὐκ ἀνάγκη διακρίνεσθαι τε καὶ συγκρίνεσθαι; Πολλή γε. Καὶ μὴν ὁμοιόν γε καὶ ὅμοιον ὅταν γίγνηται, ὁμοιοῦσθαί τε καὶ ἀνομοιοῦσθαι; Ναί. Καὶ ὅταν μεῖζον καὶ ἔλαττον καὶ ἴσον, αὐξάνεσθαί τε καὶ θθίνειν, καὶ ἰσοῦσθαι; Οὕτως. Ὅταν δὲ κινούμενόν τε ἵστηται, καὶ ὅταν ἐξαῦς ἐπὶ τὸ κινεῖσθαι μεταβάλλῃ, δεῖ δήπου αὐτό γε c.
μηδ' ἐν ἑνὶ χρόνῳ εἶναι. Πῶς δή; Ἐξαῦς τε πρότερον, ὕστερον κινεῖσθαι· καὶ πρότερον κινούμενον, ὕστερον ἑστάναι. ἄνευ μὲν τοῦ μεταβάλλειν οὐχ οἷόντε ἐστὶ ταῦτα πάσχειν. Πῶς γάρ; Χρόνος δέ γε οὐδείς ἐστιν ἐν ᾧ τι οἷόντε ἅμα μήτε κινεῖσθαι μήτε ἑστάναι. Οὐ γὰρ οὖν. Ἀλλ' οὐδὲ μὴν μεταβάλλει ἄνευ τοῦ μεταβάλλειν. Οὐκ εἰκός. Πότ' οὖν μεταβάλλει; οὔτε γὰρ ἐξαῦς ἂν οὔτε κινούμενον μεταβάλλοι, οὔτε ἐν χρόνῳ d.

ponens eſſentiam, fit & interit. Neceſſarium. Cumque unum & multa ſit, ſive cum fit, ſive cum interit: nonne, quando fit unum, deſinit eſſe multa, quando vero multa, deſinit eſſe unum? Valde. Et cum fiat unum & multa, an non diſgregari & congregari oportet? Oportet. Quin etiam quoties diſſimile ſimileque efficitur, nonne aſſimilari, &, ut ita dicam, diſſimilari oportet? Immo. Et quando maius, & minus, atque aequale, creſcere, decreſcere, atque aequari? Sic eſt. At quoties ex motu in quietem, vel ex quiete in motum tranſit, oportet hoc non uno in tempore eſſe. Quanam ratione? Cum ſcilicet prius ſtaret, moveri poſtea: cumque antea moveretur, deinde conſiſtere. etenim abſque tranſmutatione haec pati nequit. Nequit. Tempus vero nullum eſt, in quo quippiam ſic habere ſe poſſit, ut ſimul neque ſtet, neque etiam moveatur. Nullum. Verumtamen neque tranſit abſque tranſmutatione. Haud conſentaneum eſſet. Quando ergo tranſit? neque enim dum ſtat, neque dum movetur, tranſit, ne-

ὄν. Οὐ γὰρ οὖν. Ἆρ' οὖν ἔστι τὸ ἄτοπον τοῦτο ἐν ᾧ τότ' ἂν εἴη ὅτε μεταβάλλει; Τὸ ποῖον δή; Τὸ ἐξαίφνης. τὸ γὰρ ἐξαίφνης τοιοῦτόν τι ἔοικε σημαίνειν, ὡς ἐξ ἐκείνου μεταβάλλον εἰς ἑκάτερον. οὐ γὰρ ἐκ γε τοῦ ἑστάναι ἑστὼς ἔτι μεταβάλλει, οὐδ' ἐκ τῆς κινήσεως κινουμένης ἔτι μεταβάλλει· ἀλλὰ ἡ ἐξαίφνης αὕτη φύσις, ἄτοπός τις ἐγκάθηται, μεταξὺ τῆς κινήσεώς τε καὶ στάσεως, ἐν χρόνῳ οὐδενὶ οὖσα.
e. καὶ εἰς ταύτην δὴ καὶ ἐκ ταύτης τό, τε κινούμενον μεταβάλλει ἐπὶ τὸ ἑστάναι, καὶ τὸ ἑστὼς ἐπὶ τὸ κινεῖσθαι. Κινδυνεύει. Καὶ τὸ ἐν δή, εἴπερ ἕστηκέ τε καὶ κινεῖται, μεταβάλλει ἂν ἑφ' ἑκάτερα. μόνως γὰρ ἂν οὕτως ἀμφότερα ποιοῖ. μεταβάλλον δ' ἐξαίφνης μεταβάλλει· καὶ ὅτε μεταβάλλει, ἐν οὐδενὶ χρόνῳ ἂν εἴη· οὐδὲ κινοῖτ' ἂν τότε, οὐδ' ἂν σταίη. Οὐ γάρ. Ἆρ' οὖν οὕτω καὶ πρὸς τὰς ἄλλας μεταβολὰς ἔχει, ὅταν
p. ἐκ τοῦ εἶναι εἰς τὸ ἀπόλλυσθαι μεταβάλῃ, ἢ ἐκ τοῦ μὴ εἶναι
157 εἰς τὸ γίγνεσθαι, μεταξὺ τινῶν τότε γίγνεται κινήσεών τε
a. καὶ στάσεων; καὶ οὔτε ἔστι τότε, οὔτε οὐκ ἔστιν· οὔτε γίγνεται,

que dum in tempore eſt. Non certe. An eſt hoc mirabile quiddam, in quo tunc eſt, cum tranſit? Quidnam? Momentum individuum, inquam. hoc enim momentum, certum quiddam ſignificat, ex quo in utrumque tranſitur. neque enim ex ſtatu, dum ſtat, neque ex motu, dum movetur, adhuc tranſit: verum momentanea ipſa natura atque miranda, media motui quietique interponitur, ac nullo prorſus in tempore eſt, nec non in hanc atque ex hac, quod motum eſt, tranſit in ſtatum, & quod quievit, in motum. Apparet. Unum itaque, ſi quidem ſtat atque movetur, in utraque procul dubio tranſit. ſolo enim hoc modo utraque facit. tranſiens autem, momento individuo tranſit: cumque migrat, nullo in tempore eſt, neque ſtat tunc, neque movetur. Minime. Numquid eodem modo ad ceteras mutationes ſeſe habet? quando ex ipſo eſſe in interitum migrat, vel ex non eſſe in ipſum fieri: medium tunc fit quorundam motuum ac ſtatuum; nec eſt tunc, neque non eſt, neque fit etiam, neque

εὔτε ἀπόλλυται; Ἔοικε γοῦν. Κατὰ δὴ τὸν αὐτὸν λόγον καὶ ἐξ ἑνὸς ἐπὶ πολλὰ ἰὸν, καὶ ἐκ πολλῶν ἐφ' ἓν, οὔτε ἓν ἐστιν, οὔτε πολλὰ, οὔτε διακρίνεται, οὔτε συγκρίνεται· καὶ ἐξ ὁμοίου ἐπὶ ἀνόμοιον, καὶ ἐξ ἀνομοίου ἐπὶ τὸ ὅμοιον ἰὸν, οὔτε ὅμοιον, οὔτε ἀνόμοιον· οὔτε ὁμοιούμενον, οὔτε ἀνομοιούμενον. καὶ ἐκ μικροῦ ἐπὶ μέγα, καὶ ἐπὶ ἴσον καὶ εἰς τἀναντία ἰὸν, οὔτε b. σμικρὸν, οὔτε μέγα, οὔτε ἴσον, οὔτε αὐξανόμενον, οὔτε φθίνον, οὔτε ἰσούμενον εἴη ἄν. Ἔοικε. Ταῦτα δὴ τὰ παθήματα πάντ' ἂν πάσχοι τὸ ἕν, εἰ ἔστι. Πῶς δ' οὔ; Τι δὲ τοῖς ἄλλοις προσήκοι ἂν πάσχειν, ἓν εἰ ἔστιν, ἆρα οὐ σκεπτέον; Σκεπτέον. Λέγωμεν δὴ, ἓν εἰ ἔστι, τἄλλα τοῦ ἑνὸς τί χρὴ πεπονθέναι. Λέγωμεν. Οὐκοῦν, ἐπείπερ ἄλλα τοῦ ἑνός ἐστιν, οὔτε τὸ ἓν ἔστι τἄλλα; οὐ γὰρ ἂν ἄλλα τοῦ ἑνὸς ἦν. Ὀρθῶς. Οὐδὲ μὴν ξύρεταί γε παντάπασι τοῦ ἑνὸς τἄλλα, ἀλλὰ μετέχει πη. Πῇ c. δή; Ὅτι που τἄλλα τοῦ ἑνὸς μόρια ἔχοντα, ἄλλα ἐστίν. εἰ γὰρ μόρια μὴ ἔχει, παντελῶς ἂν ἓν εἴη. Ὀρθῶς. Μόρια δέ γε, φαμὲν, τούτου ἐστὶν ὃ ἂν ὅλου ᾖ. Φαμὲν γάρ. Ἀλλὰ μὴν

interit? Videtur. Eadem quoque ratione ex uno migrans in multa, & e multis in unum, nec unum eſt, neque multa, nec congregatur, neque diſgregatur: & ex ſimili in diſſimile, rurſuſque ex diſſimili in ſimile migrans, nec ſimile, neque diſſimile, neque aſſimilatum, neque, ut ita dicam, diſſimilatum, & ex parvo in magnum, & in ipſum aequale, & contraria tranſiens, non parvum, non magnum, non creſcens, non decreſcens, non adaequans. Non videtur. Haec igitur univerſa, unum ſi eſt, patitur. Quidni? An non conſiderandum praeterea, alia quid patiantur, ſi unum eſt? Conſiderandum. Dicamus igitur, Unum ſi eſt, alia ab uno quidnam pati oportet? Dicamus. Nonne quia alia ſunt, quam unum, non unum ſunt? alioquin alia, quam unum, non eſſent. Probe. Non tamen penitus uno privata ſunt, ſed quodammodo uno participant. Qua ratione? Quoniam alia ab uno, ex eo quod partibus conſtant, alia ſunt quam unum. niſi enim partes haberent, unum penitus eſſent. Recte. Partes autem, eius,

τόγε ὅλον, ἓν ἐκ πολλῶν ἀνάγκη εἶναι, οὗ ἔσαι μόρια τὰ μόρια. ἑκασον γὰρ τῶν μορίων, οὐ πολλῶν μόριον χρὴ εἶναι, ἀλλὰ ὅλου. Πῶς τοῦτο; Εἴ τι πολλῶν μόριον εἴη, ἐν οἷς ἂν
d. αὐτὸ εἴη, ἑαυτοῦ τε δήπου μόριον ἔσαι, ὃ ἐστιν ἀδύνατον, καὶ τῶν ἄλλων δὴ ἑνὸς ἑκάστου, εἴπερ καὶ πάντων. ἑνὸς γὰρ μὴ ὂν μόριον, πλὴν τουτου τῶν ἄλλων ἔσαι· καὶ οὕτως ἑνὸς ἑκάστου οὐκ ἔσαι μόριον. μὴ ὂν δὲ μόριον ἑκάστου, οὐδενὸς τῶν πολλῶν ἔσαι· μηδενὸς δὲ ὄν, πάντων τούτων τι εἶναι, ὧν οὐδενὸς οὐδέν ἐστι καὶ μόριον καὶ ἄλλο ὁτιοῦν, ἀδύνατον εἶναι. Φαίνεταί γε δή. Οὐκ ἄρα τῶν πολλῶν, οὐδὲ πάντων, τὸ μόριον, μόριον, ἀλλὰ μιᾶς τινος ἰδέας, καὶ ἑνός τινος, ὃ καλοῦμεν ὅλον, ἐξ
e. ἁπάντων ἓν τέλειον γεγονὸς, τούτου μόριον ἂν τὸ μόριον εἴη. Παντάπασι μὲν οὖν. Εἰ ἄρα τἆλλα μόρια ἴσχει, κἂν τοῦ ὅλου τε καὶ ἑνὸς μετέχοι. Πάνυ γε. Ἓν ἄρα ὅλον τέλειον μόρια ἔχον, ἀνάγκη εἶναι τἆλλα τοῦ ἑνός. Ἀνάγκη. Καὶ μὴν

quod totum eſt, partes eſſe aſſeruimus. Aſſeruimus plane. Atqui totum ipſum unum ex multis eſſe oportet, cuius partes ſunt, quae partes appellantur. quaelibet enim partium non multorum pars, ſed totius, exſiſtit. At quomodo iſtud? Si quid multorum pars eſſet, quibus ipſum ineſſet, & ſui ipſius quodammodo eſſet pars, quod eſt impoſſibile, & aliorum cuiuſque: ſi quidem omnium. unius enim non exſiſtens pars, uno excepto aliorum omnium erit: atque ita uniuſcuiuſque pars non erit. non exſiſtens vero pars cuiuſque, nullius ex multis erit: &, ſi nullius eſt, eſſe quidquam iſtorum omnium, quorum nullius vel pars, vel aliud quidquam eſt, impoſſibile erit. Apparet quidem. Non ergo multorum, nec omnium pars eſt, quaecunque ſit pars, ſed unius cuiuſdam ideae, & unius cuiuſdam, quod totum vocamus, factum ex cunctis unum atque perfectum. huius, inquam, pars eſt, quaecunque ſit pars. Omnino quidem. Si ergo alia partes habent, toto atque uno participant. Maxime. Unde unum totum perfectum partes continens, alia ipſa ab uno eſſe neceſſe eſt. Neceſſe. Quin etiam de unaquaque parte eadem

καὶ περὶ τοῦ μορίου γε ἑκάστου ὁ αὐτὸς λόγος. καὶ γὰρ τούτου
ἀνάγκη μετέχειν τοῦ ἑνός. εἰ γὰρ ἕκαστον αὐτῶν μόριόν ἐστι,
τό γε ἕκαστον εἶναι, ἓν δήπου σημαίνει· ἀφωρισμένον μὲν τῶν p.
ἄλλων, καθ' αὑτὸ δὲ ὄν, εἴπερ ἕκαστον ἔσται. Ὀρθῶς. Μετέχοι a.
δέ γε ἂν τοῦ ἑνὸς, δηλονότι ἄλλο ὂν ἢ ἕν. οὐ γὰρ ἂν μετεῖ-
χεν, ἀλλ' ἦν ἂν αὐτὸ ἕν. νῦν δὲ ἑνὶ μὲν εἶναι, πλὴν αὐτῷ τῷ
ἑνί, ἀδυνατόν που. Ἀδυνατον. Μετέχειν δέ γε τοῦ ἑνὸς ἀνάγ-
κη τῷ τε ὅλῳ καὶ τῷ μορίῳ. τὸ μὲν γὰρ ἓν, ὅλον ἔσται, οὗ
μόρια τὰ μόρια· τὸ δ' αὖ ἕκαστον, ἓν μόριον τοῦ ὅλου, ὃ ἂν ᾖ
μόριον ὅλου. Οὕτως. Οὐκοῦν ἕτερα ὄντα, τοῦ ἑνὸς μεθέξει b.
τὰ μετέχοντα αὐτοῦ; Πῶς δ' οὔ; Τὰ δ' ἕτερα τοῦ ἑνὸς, πολ-
λά που εἴη ἄν. εἰ γὰρ μήτε ἕν, μήτε ἑνὸς πλείω εἴη τἄλλα
τοῦ ἑνὸς, οὐδὲν ἂν εἴη. Οὐ γὰρ οὖν. Ἐπεὶ δέ γε πλείω ἑνός
ἐστι τά τε τοῦ ἑνὸς μορίου, καὶ τὰ τοῦ ἑνὸς ὅλου μετέχοντα,
οὐκ ἀνάγκη δὴ ἄπειρα πλήθει εἶναι αὐτά γε ἐκεῖνα τὰ μετα-
λαμβάνοντα τοῦ ἑνός; Πῶς; Ὧδε εἰδῶμεν. ἄλλο τι οὐχ ἓν

ratio eſt. etenim huius unius participem eſſe oportet. nam ſi ſingulae illarum pars eſt, hoc ipſum, quod dicitur ſingulae, unum quodammodo ſignificat: diſtinctum enim quiddam ab aliis, & ſecundum ſe ipſum exſiſtens ſignificat, ſi modo ſingulae ſunt. Recte. Erit autem unius particeps, ſi aliud quiddam, quam unum fuerit: alioquin haudquaquam participaret, ſed ipſum unum eſſet. at vero unum eſſe aliquid, praeter ipſum unum, nihil poteſt. Nihil. Participare autem uno neceſſe eſt, & totum ſimul & partem. Ipſum namque unum totum erit, cuius partes ſunt partes ſingulae: ſingulae vero partium, pars totius, quaecunque pars totius exſiſtat. Sic eſt. Nonne igitur, cum alia ſint, quam unum, uno participant omnia, quae participant? Quidni? Alia vero quam unum, multa quodammodo ſunt. nam ſi alia praeter unum, nec unum tamen, nec plura uno eſſent, penitus nihil eſſent. Nihil ſane. Poſtquam autem plura uno ſunt, quae unius partis, unius totius participia ſunt: nonne neceſſe eſt, multitudine infinita eſſe ipſa participantia uno? Quonam pacto? Hoc plane. aliud quiddam

ὄντα, οὐδὲ μετέχοντα τοῦ ἑνὸς, τότε ὅτε μεταλαμβάνει αὐ-
c. τοῦ, μεταλαμβάνει. Δηλαδή. Οὐκοῦν πλήθη ὄντα, ἐν οἷς τὸ
ἓν οὐκ ἔνι; Πλήθη μέντοι. Τί οὖν; εἰ ἐξέλοιμεν τῇ διανοίᾳ
τῶν τοιούτων ἀφελεῖν ὡς οἷοίτε ἐσμὲν ὅτι ὀλίγιστον, οὐκ
ἀνάγκη καὶ τὸ ἀφαιρεθὲν ἐκεῖνο, εἴπερ τοῦ ἑνὸς μὴ μετέχοι,
πλῆθος εἶναι, καὶ οὐχ ἕν; Ἀνάγκη. Οὐκοῦν οὕτως ἀεὶ σκο-
ποῦντι αὐτὴν καθ' αὑτὴν τὴν ἑτέραν φύσιν τοῦ εἴδους, ὅσον
ἂν αὐτῆς ἀεὶ ὁρῶμεν, ἄπειρον ἔσαι πλήθει; Παντάπασι μεν
d. οὖν. Καὶ μὴν ἐπειδάν γε ἓν ἕκαστον μόριον γένηται, πέρας ἤδη
ἔχει πρὸς ἄλληλα, καὶ πρὸς τὸ ὅλον, καὶ τὸ ὅλον πρὸς τὰ
μόρια. Κομιδῇ μὲν οὖν. Τοῖς ἄλλοις δὴ τοῦ ἑνὸς συμβαίνει,
ἐκ μὲν τοῦ ἑνὸς καὶ ἐξ ἑαυτῶν κοινωνησάντων, ὡς ἔοικεν,
ἕτερόν τι γίγνεσθαι ἐν αὐτοῖς, ὃ δὴ πέρας παρέσχε πρὸς ἄλ-
ληλα· ἡ δὲ αὐτῶν φύσις καθ' ἑαυτὰ, ἀπειρίαν. Φαίνεται. Οὕ-
τω δὴ τἆλλα τοῦ ἑνὸς, καὶ ὅλα καὶ κατὰ τὰ μόρια, ἀπειρά
τέ ἐσι καὶ πέρατος μετέχει. Πάνυ γε. Οὐκοῦν καὶ ὅμοιά τε

quam unum iſta ſunt, neque etiam uno participant tunc, cum primum uno participant. Certe. Nonne multitudines ſunt, in quibus non ineſt unum? Multitudines certe. Quod ſi velimus intelligentia ipſa ex iis aliquid quam minimum excerpere, an non neceſſe erit, illud extractum, utpote quod unius eſt expers, multitudinem eſſe, non unum? Neceſſe. Nonne tibi ſic ſemper conſideranti ipſam ſecundum ſe ipſam alteram ſpeciei naturam, quantumcunque illius inſpexeris, infinitum multitudine ſemper occurret? Et maxime quidem. Verumtamen poſtquam una quaelibet pars effecta eſt, terminum iam partes invicem, & ad totum habent: nec non ad partes totum. Valde quidem. Itaque aliis, quam uni, contingit, ex ipſo uno, & ex ſe ipſis iam in uno communicantibus, alterum quiddam in ipſis fieri: quod quidem terminum invicem praebuit; natura autem illorum ſecundum ſe ipſam, infinitatem. Manifeſtum eſt. In hunc itaque modum alia, quam unum, tum tota, tum etiam ſecundum particulas, & infinita ſunt, & termino quodam participant. Prorſus. An non igitur ſimilia

καὶ ἀνόμοια ἀλλήλοις τε καὶ ἑαυτοῖς; Πῇ δή; Ἡ μέν που e.
ἄπειρά ἐστι κατὰ τὴν ἑαυτῶν οὐσίαν πάντα, ταυτὸν πεπονθότα ἂν εἴη ταύτῃ. Πάνυ γε. Καὶ μὴν ἥ γε ἅπαντα πέρατος μετέχει, καὶ ταυτῇ πάντ' ἂν εἴη ταυτὸν πεπονθότα. Πῶς δ' οὔ; Ἡ δέ γε πεπερασμένα τε εἶναι καὶ ἄπειρα πέπονθεν, ἐναντία πάθη ἀλλήλοις ὄντα, ταῦτα τὰ παθήματα πέπονθε. Ναι. Τὰ δ' ἐναντία γε, ὡς οἶσθε ἀνομοιότατα. Τι μήν; Κατὰ μὲν ἄρα ἑκάτερον τὸ πάθος ὅμοια ἂν εἴη αὐτά τε αὐτοῖς καὶ ἀλ- 159
λήλοις· κατὰ δ' ἀμφότερα, ἀμφοτέρως ἐναντιώτατά τε καὶ ἀνομοιότατα. Κινδυνεύει. Οὕτω δὴ τἆλλα, ταυτά τε αὐτοῖς καὶ ἀλλήλοις ὁμοιά τε καὶ ἀνόμοια εἴη ἄν. Οὕτω. Καὶ ταυτὰ δή, καὶ ἕτερα ἀλλήλων, καὶ κινούμενα καὶ ἑστῶτα, καὶ πάντα τὰ ἐναντία πάθη, οὐκέτι χαλεπῶς εὑρήσομεν πεπονθότα τἆλλα τοῦ ἑνός· ἐπείπερ καὶ ταῦτα ἐφάνη πεπονθότα. Ὀρ- b.
θῶς λέγεις. Οὐκοῦν εἰ ταῦτα μὲν ἤδη ἐῶμεν ὡς φανερὰ, ἐπισκοποῖμεν δὲ πάλιν, ἓν εἰ ἔστιν ἄρα, καὶ οὐχ οὕτως ἔχει τἆλ-

diſſimiliaque invicem, & ſibi ipſis? Quamobrem? Qua quidem infinita ſunt ſecundum ipſorummet naturam, omnia idem quodammodo ex hoc invicem patiuntur. Patiuntur. Item qua cuncta participant termino, ex hoc quoque idem omnia patiuntur. Quidni? Qua tamen illis convenit, ut finita ſint ſimul & infinita, quae ſunt contrariae paſſiones, quam maxime fieri poteſt, diſſimilia ſunt. Nimirum. Ergo ſecundum alterutram rationem ipſa ſibimet, & invicem ſimilia erunt: ſecundum utramque vero utrinque, quam maxime contraria atque diſſimilia. Conſtat. Sic igitur alia eadem ſibi ipſis & invicem, ſimiliaque & diſſimilia erunt. Erunt. Ac rurſus eadem & altera, agitataque & ſtantia, ceteraſque contrarias rationes ſuſcipientia, cetera, quae accidunt his, quae alia ſunt quam unum, facile reperiemus, poſtquam haec iam nobis conſtant. Recte dicis. Quid igitur? non haec tanquam perſpicua praetermittemus, diſpiciemuſque rurſum, ſi quidem unum eſt, cetera, quae unum non ſunt, num non iſto pacto habent, an iſto ſolum? Prorſus. Principio igitur

λα τοῦ ἑνὸς, ἢ οὕτω μόνον; Πάνυ μὲν οὖν. Λέγωμεν δὴ ἐξ ἀρχῆς, ἐν εἰ ἔστι, τί χρὴ τἄλλα τοῦ ἑνὸς πεπονθέναι. Λέγωμεν γάρ. Ἆρ' οὖν χωρὶς μὲν τὸ ἓν τῶν ἄλλων, χωρὶς δὲ τἄλλα τοῦ ἑνός; Τί δή; Ὅτι που οὐκ ἔστι παρὰ ταῦτα ἕτερον, ὃ
c. ἄλλο μέν ἐστι τοῦ ἑνὸς, ἄλλο δὲ τῶν ἄλλων. πάντα γὰρ εἴρηται, ὅταν ῥηθῇ τό, τε ἓν καὶ τἄλλα. Πάντα γάρ. Οὐκ ἄρα ἔτ' ἐστὶν ἕτερον τούτων, ἐν ᾧ τό, τε ἓν ἂν εἴη τῷ αὐτῷ, καὶ τἄλλα. Οὐ γάρ. Οὐδέποτε ἄρα ἐν ταυτῷ ἐστι τὸ ἓν καὶ τἄλλα. Οὐκ ἔοικε. Χωρὶς ἄρα; Ναί. Οὐδὲ μὴν μόριά γε ἔχειν φαμὲν τὸ ὡς ἀληθῶς ἕν. Πῶς γάρ; Οὔτ' ἄρα ὅλον εἴη ἂν τὸ ἓν ἐν τοῖς ἄλλοις, οὔτε μόρια αὐτοῦ, εἰ χωρίς τε ἐστι τῶν ἄλλων καὶ μόρια μὴ ἔχῃ. Πῶς γὰρ οὔ; Οὐδενὶ ἄρα τρόπῳ
d. μετέχοι ἂν τἄλλα τοῦ ἑνὸς, μήτε κατὰ μόριόν τι αὐτοῦ, μήτε κατὰ ὅλον μετέχοντα. Οὐκ ἔοικεν. Οὐδαμῇ ἄρα ἐν τἄλλα ἐστὶν, οὐδ' ἔχει ἐν ἑαυτοῖς ἓν οὐδέν. Οὐ γὰρ οὖν. Οὐδ' ἄρα πολλά ἐστι τἄλλα. ἓν γὰρ ἂν ἦν ἑκαστον αὐτῶν μόριον τοῦ ὅλου, εἰ πολλὰ ἦν. νῦν δὲ οὔτε ἕν, οὔτε πολλὰ, οὔτε

videamus, unum ſi eſt, ceteris quid evenire neceſſe ſit. Videamus. An non ſeorſum quidem unum ab aliis, ſeorſum alia erunt ab uno? Curnam? Quia nihil eſt praeter iſta, quod aliud quidem ſit, quam unum, aliudque quam alia. univerſa quippe comprehenſa ſunt, cum unum & alia dictum eſt. Univerſa. Quare nihil praeter haec reſtat, in quo velut eadem in ſede & unum & alia conſideant. Nihil prorſus. Nunquam igitur in idem unum aliaque concurrunt. Nunquam. Seorſum ergo? Seorſum. Dictum praeterea fuit, ipſum revera unum partes nullas habere. Quomodo enim habere poſſet? Neque totum igitur unum aliis inerit, neque eius particulae, ſi quidem ſeorſum eſt ab aliis, nulliſque particulis conſtituitur. Ita eſt. Nullo itaque modo alia uno participabunt, cum neque totum ipſum, neque partem eius capiant. Nullo, ut videtur. Atque idcirco alia nullo pacto unum ſunt, neque in ſe ipſis unum aliquod habent. Minime. Unde nec multa ſunt alia. etenim ſi multa eſſent, unumquodque illorum, utpote pars

ὅλον, οὔτε μόριά ἐςι τἄλλα τοῦ ἑνός· ἐπειδὴ αὐτοῦ οὐδαμοῦ
μετέχει. Ὀρθῶς. Οὐδ' ἄρα δύο, οὔτε τρία, οὔτε τὰ αὐτά ἐςι
τὰ ἄλλα, οὔτε ἕν ἐςιν ἐν αὐτοῖς, εἴπερ τοῦ ἑνὸς πανταχῇ e.
ςέρεται. Οὕτως. Οὐδὲ ὅμοια ἄρα καὶ ἀνόμοια, οὔτε ταυτά
ἐςι τῷ ἑνὶ τὰ ἄλλα, οὔτε ἐνεςιν ἐν αὐτοῖς ὁμοιότης καὶ ἀνο-
μοιότης. εἰ γὰρ ὅμοια καὶ ἀνόμοια αὐτὰ εἴη, ᾗ ἔχει ἐν ἑαυ-
τοῖς ὁμοιότητα καὶ ἀνομοιότητα, δύο που εἴδη ἐναντία ἀλλή-
λοις ἔχοι ἂν ἐν ἑαυτοῖς τἄλλα τοῦ ἑνός. Φαίνεται. Ἦν δέ γε
ἀδύνατον δυοῖν τινοῖν μετέχειν ἃ μηδενὸς μετέχει. Ἀδύνα-
τον. Οὔτ' ἄρα ὅμοια οὔτ' ἀνόμοιά ἐςιν, οὔτ' ἀμφότερα, τἄλ-
λα. ὅμοια μὲν γὰρ ἂν ὄντα ἢ ἀνόμοια, ἑνὸς ἂν τοῦ ἑτέρου p.
εἴδους μετέχοι· ἀμφότερα δὲ ὄντα, δυοῖν τοῖν ἐναντίοιν. ταῦ- 160
τα δὲ ἀδύνατον ἐφάνη. Ἀληθῆ. Οὐδ' ἄρα τὰ αὐτὰ, οὐδ' ἕτε- a.
ρα· οὐδὲ κινούμενα, οὐδὲ ἑςῶτα· οὐδὲ γιγνόμενα, οὐδὲ ἀπολ-
λύμενα· οὐδὲ μείζω, οὐδὲ ἐλάττω· οὐδὲ ἴσα· οὐδὲ ἄλλο οὐδὲν
πέπονθε τῶν τοιούτων. εἰ γάρ τι τοιοῦτον πεπονθέναι ὑπο-

totius, unum esset. nunc autem non unum, non multa, non totum, non partes alia sunt, postquam nihilo unius participant. Probe. Quapropter nec duo, nec tria sunt, nec unum illis inest, siquidem uno prorsus orbantur. Sic est. Itaque nec similia, neque dissimilia, nec eadem sunt alia uni, neque illis similitudo ac dissimilitudo inest. si enim similia atque dissimilia ipsa essent, ex eo quod in se ipsis similitudinem dissimilitudinemque haberent, duas utique contrarias invicem species tam ipsa alia, quam unum, in se ipsis comprehenderent. Apparet. Ac fieri non potest, ut quae nullo participant, participent duobus. Non certe. Neque ergo similia, neque dissimilia sunt, neque ambo, quaecunque ab uno alia. etenim si similia, vel dissimilia sint, una quadam altera specie participarent: & si ambo, duabus quibusdam contrariis speciebus. haec autem impossibilia esse patuit. Vera dicis. Non igitur eadem, non altera, non agitata, non quieta, non orientia, non pereuntia, non maiora, non minora, non aequa, non denique aliud quidquam huius generis accidet. nam si

μένει τἄλλα, καὶ ἑνὸς καὶ δυοῖν καὶ τριῶν καὶ περιττοῦ καὶ
b. ἀρτίου μεθέξει ὧν αὐτοῖς ἀδύνατον ἐφάνη μετέχειν, τοῦ ἑνός
γε παντὶ παντως ξερομένοις. Ἀληθέστατα. Οὕτω δὴ ἓν εἰ ἔστι,
πάντα τέ ἐστι τὸ ἕν, καὶ οὐδὲ ἓν ἐστι καὶ πρὸς ἑαυτὸ καὶ πρὸς
τἄλλα ὡσαύτως. Παντελῶς μεν οὖν. Εἶεν. εἰ δὲ δὴ μὴ ἔστι τὸ
ἕν, τί χρὴ συμβαίνειν, ἆρ' οὐ σκεπτέον μετα τοῦτο; Σκε-
πτέον γάρ. Τις ἂν εἴη αὕτη ἡ ὑπόθεσις, εἰ ἓν μὴ ἔστιν; ἆρά τι
διαφέρει τῇδε, εἰ μὴ ἓν μὴ ἔστι; Διαφέρει μέντοι. Διαφέρει
μόνον; ἢ καὶ πᾶν τοὐναντίον ἔστιν εἰπεῖν, εἰ μὴ ἓν μὴ ἔστι,
c. τοῦ, ἓν μὴ ἔστι; Πᾶν τοὐναντίον. Τί δ' εἴ τις λέγοι, εἰ μέγε-
θος μὴ ἔστιν, ἢ σμικρότης μὴ ἔστιν, ἢ ἄλλό τι τῶν τοιούτων,
ἆρα ἐφ' ἑκάστου ἂν δηλοῖ ὅτι ἕτερόν τι λέγει τὸ μὴ ὄν; Πάνυ
γε. Οὐκοῦν καὶ νῦν δηλοῖ ὅτι ἕτερον λέγει τῶν ἄλλων τὸ μὴ
ὄν, ὅταν εἴπῃ, ἓν εἰ μὴ ἔστι; καὶ ἴσμεν ὃ λέγει; Ἴσμεν. Πρῶ-
τον μὲν ἄρα γνωστόν τι λέγει· ἔπειτα ἕτερον τῶν ἄλλων, ὅταν
εἴπῃ ἓν, εἴτε τὸ εἶναι αὐτῷ προσθεὶς, εἴτε τὸ μὴ εἶναι. οὐδὲν

quid tale ſuſceperint, unoquoque & duobus, & tribus, parique & impari participarent: quod eſſe impoſſibile vidimus, cum uno per omnia ſint deſtituta. Veriſſima haec ſunt. His ergo de cauſis, unum ſi eſt, omnia eſt unum, & nihil eſt, & ad ſe ipſum, atque ad alia eodem modo. Omnino ſic ſe res habet. At vero ſi unum non ſit, quid contingat nonne poſthac conſiderandum eſt? Conſiderandum. Quaenam haec ſuppoſitio eſt, Si unum non eſt? num aliquo differt ab iſta, Si non unum non eſt? Differt ſane. Num ſolummodo differt, vel etiam omnino contraria eſt haec, Si non unum non eſt, illius, Si unum non eſt? Contraria omnino. Quid autem? ſi quiſpiam dixerit, Si magnitudo non eſt, vel parvitas non eſt, vel aliud quidquam huiuſmodi, nonne in ſingulis innuit, quod aliud quiddam dicat ipſum non ens? Omnino. Nonne igitur nunc declarat, quod alterum quiddam praeter alia ipſum non ens dicit, quando dicit, unum ſi non eſt? intelligimuſne, quid dicat? Intelligimus. Primum igitur aliquid, quod cognoſci poteſt, exprimit: deinde alterum

γὰρ ἧττον γιγνώσκεται τί τὸ λεγόμενον μὴ εἶναι, καὶ ὅτι d.
διάφορον τῶν ἄλλων. ἢ οὔ; Ἀνάγκη. Ὧδε ἄρα λεκτέον ἐξ
ἀρχῆς, ἓν εἰ μὴ ἔστι, τί χρὴ εἶναι. πρῶτον μὲν οὖν αὐτῷ τοῦ-
το ὑπάρχειν δεῖ, ὡς ἔοικεν, εἶναι αὐτοῦ ἐπιστήμην· ἢ μηδὲ ὅ,
τι λέγεται γιγνώσκεσθαι, ὅταν τις εἴπῃ ἓν εἰ μὴ ἔστιν. Ἀληθῆ.
Οὐκοῦν καὶ τἆλλα ἕτερα αὐτοῦ εἶναι, ἢ μηδὲ ἐκεῖνο ἕτερον
τῶν ἄλλων λέγεσθαι; Πάνυ γε. Καὶ ἑτεροιότης ἄρα ἔστιν
αὐτῷ πρὸς τὴν ἐπιστήμην. οὐ γὰρ τὴν τῶν ἄλλων ἑτεροιότητα
λέγει, ὅταν τὸ ἓν, ἕτερον τῶν ἄλλων λέγῃ, ἀλλὰ τὴν ἐκεί- e.
νου. Φαίνεται. Καὶ μὴν τοῦ γε ἐκείνου, καὶ τοῦ τινος, καὶ
τουτου, καὶ τουτῳ, καὶ τούτων, καὶ πάντων τῶν τοιούτων
μετέχει τὸ μὴ ὄν. οὐ γὰρ ἂν τὸ ἓν ἐλέγετο, οὐδ' ἂν τοῦ ἑνὸς
ἕτερα, οὐδ' ἐκείνῳ ἂν τι ἦν, οὐδ' ἄν τι ἐλέγετο, εἰ μήτε τοῦ
τινος αὐτῷ μετῆν, μήτε τῶν ἄλλων τούτων. Ὀρθῶς. Εἶναι
μὲν δὴ τῷ ἑνὶ οὐχ οἷόντε, εἴπερ γε μὴ ἔστι· μετέχειν δὲ πολ-

quam alia, cum ait unum, ſive eſſe illi adiiciens, ſive non eſſe. nihilominus cognoſcitur, quid non eſſe dicatur, quodque differens quiddam eſt ab aliis. an non? Neceſſe. In hunc itaque modum a principio dicendum, Unum ſi non eſt, quid eſſe oportet. In primis itaque ipſi hoc oportet accidere, ut videtur, eſſe videlicet quandam eius ſcientiam, aut nihil intelligere nos, quid dicamus, quando Unum ſi non eſt, proferimus. Vera loqueris. An non & alia altera eſſe, quam illud, vel neque illud alterum quam alia praedicari? Maxime. Ergo diverſiras quoque praeter ſcientiam illi adeſt. neque enim aliorum diverſitatem dicit, quando unum alterum quam alia vocat, ſed ſui ipſius diverſitatem. Apparet. Quin etiam ipſius illius, & alicuius, & huius, & huic, & horum, atque omnium huiuſmodi particeps ipſum non ens dicitur. neque enim unum diceretur, neque ab uno alia, nec illi quidquam eſſet, nec illius quidquam: neque aliquid appellaretur, niſi particeps cuiuſdam, aut quorundam huiuſmodi ſit. Recte. Eſſe tamen unum, niſi exſiſtat, impoſſibile eſt: participare vero multis, nihil prohibet, ſed & neceſſe eſt,

p. λῶν οὐδὲν κωλύει. ἀλλὰ καὶ ἀνάγκη, εἴπερ τό γε ἓν ἐκεῖνο
161 καὶ μὴ ἄλλο μὴ ἔςιν. εἰ μέντοι μήτε τὸ ἓν, μήτ' ἐκεῖνο, μήτ'
a. ἔςαι, ἀλλὰ περὶ ἄλλού του ὁ λόγος, οὐδὲ φθέγγεσθαι δεῖ
οὐδέν· εἰ δὲ τὸ ἓν ἐκεῖνο καὶ μὴ ἄλλο ὑπόκειται μὴ εἶναι, καὶ
τοῦ ἐκείνου καὶ ἄλλων πολλῶν ἀνάγκη αὐτῷ μετεῖναι. Καὶ
πάνυ γε. Καὶ ἀνομοιότης ἄρα αὐτῷ ἐςι πρὸς τἄλλα. τὰ γὰρ
ἄλλα, τοῦ ἑνὸς ἕτερα ὄντα, ἑτεροῖα καὶ εἴη ἄν. Ναί. Τὰ δ'
ἑτεροῖα, οὐκ ἀλλοῖα; Πῶς δ' οὔ; Τὰ δ' ἀλλοῖα, οὐκ ἀνόμοια;
b. Ἀνόμοια μὲν οὖν. Οὐκοῦν εἴπερ τῷ ἑνὶ ἀνόμοιά ἐςι, δῆλον
ὅτι ἀνομοίῳ τά γε ἀνόμοια ἀνόμοια ἂν εἴη. Δῆλον. Εἴη δ' ἂν
καὶ τῷ ἑνὶ ἀνομοιότης, πρὸς ἣν τἄλλα ἀνόμοια αὐτῷ ἐςιν.
Ἔοικεν. Εἰ δὲ δὴ τῶν ἄλλων ἀνομοιότης ἔςιν αὐτῷ, ἆρ' οὐκ
ἀνάγκη ἑαυτοῦ ὁμοιότητα αὐτῷ εἶναι; Πῶς; Εἰ ἑνὸς ἀνομοιό-
της ἐςὶ τῷ ἑνὶ, οὐκ ἄν που περὶ τοῦ τοιούτου ὁ λόγος εἴη,
οἵου τοῦ ἑνός· οὐδ' ἂν ἡ ὑπόθεσις εἴη περὶ ἑνὸς, ἀλλὰ περὶ ἄλ-
c. λου ἢ ἑνός. Πάνυ γε. Οὐ δεῖ δέ γε. Οὐ δῆτα. Δεῖ ἄρα ὁμοιό-
τητα τῷ ἑνὶ αὐτοῦ ἑαυτῷ εἶναι. Δεῖ. Καὶ μὴν οὐδ' αὖ ἴσον

si quidem ipsum unum illud dumtaxat, nec aliud non est. Quod si nec unum ipsum, nec illud, non erit, sed de alio quodam sermo habetur, nihil pronuntiari oportet. sin autem unum illud dumtaxat, non aliud praesupponitur non esse, & ipsius illius, & aliorum multorum particeps esse dicendum est. Et maxime quidem. Quamobrem dissimilitudo illi est ad alia. nam cum alia altera sint, quam unum, extranea esse oportet. Oportet. Extranea vero nonne aliena? Quidni? Aliena autem nonne dissimilia sunt? Dissimilia plane. Atqui si uni dissimilia sunt, dissimili dissimilia erunt. Plane. Aderit itaque & uni dissimilitudo, secundum quam alia ipsi dissimilia sunt. Videtur. Et si illi dissimilitudo ad alia competit, nonne ad se ipsum similitudo conveniet? Quonam modo? Si uni insit dissimilitudo ad unum, haud sane de huiusmodi quodam, ut de uno, sermo haberetur, neque suppositio de uno, sed de alio quopiam, fieret. Prorsus. At isthuc non decet. Non certe. Ob hanc causam oportet uni similitudinem

γ' ἐστὶ τοῖς ἄλλοις. εἰ γὰρ εἴη ἴσον, εἴη τε ἂν ἤδη καὶ ὅμοιον ἂν εἴη αὐτοῖς κατὰ τὴν ἰσότητα. ταῦτα δ' ἀμφότερα ἀδύνατα, εἴτερ μὴ ἔστιν ἕν. Ἀδύνατα. Ἐπειδὴ δὲ οὐκ ἔστι τοῖς ἄλλοις ἴσον, ἆρα οὐκ ἀνάγκη καὶ τἆλλα ἐκείνῳ μὴ ἴσα εἶναι; Ἀνάγκη. Τὰ δὲ μὴ ἴσα, οὐκ ἄνισα; Ναί. Τὰ δὲ ἄνισα, οὐ τῷ ἀνίσῳ ἄνισα; Πῶς δ' οὔ; Καὶ ἀνισότητος δὴ μετέχει τὸ ἕν, πρὸς ἣν τἆλλα αὐτῷ ἐστιν ἄνισα; Μετέχει. Ἀλλὰ μέν- d.
τοι ἀνισότητος ἐστὶ μέγεθός τε καὶ σμικρότης. Ἔστι γάρ. Ἔστιν ἄρα καὶ μέγεθός τε καὶ σμικρότης τῷ τοιούτῳ ἑνί; Κινδυνεύει. Μέγεθος μὴν καὶ σμικρότης ἀεὶ ἀφέστατον ἀλλήλοιν. Πάνυ γε. Μεταξὺ ἄρα τι αὐτοῖν ἀεί ἐστιν. Ἔστιν. Ἔχεις οὖν τι ἄλλο εἰπεῖν μεταξὺ αὐτοῖν ἢ ἰσότητα; Οὔκ· ἀλλὰ τοῦτο. Ὅτῳ ἄρα ἔστι μέγεθος καὶ σμικρότης, ἔστι καὶ ἰσότης αὐτῷ, μεταξὺ τούτοιν οὖσα. Φαίνεται. Τῷ δὲ ἑνὶ μὴ ὄντι, e.
ὡς ἔοικε, καὶ ἰσότητος ἂν μετεῖη καὶ μεγέθους καὶ σμικρότη-

ad ſe ipſum adeſſe. Oportet. Item nec aequale aliis eſt. etenim ſi aequale eſſet, iam profecto etiam ſimile illis ſecundum aequalitatem exſiſteret. utraque vero haec impoſſibilia, cum unum minime ſit. Impoſſibilia. Poſtquam vero ceteris aequale non eſt, nonne & alia neceſſe eſt illi aequalia nequaquam eſſe? Neceſſe. Quae autem non aequalia, inaequalia ſunt. Inaequalia. Inaequalia vero inaequali cuipiam inaequalia ſunt? Certe. Unde & inaequalitatis particeps unum apparet, ſecundum quam cetera ipſi inaequalia ſunt. Particeps profecto. Ceterum ad inaequalitatem magnitudo ac parvitas attinet. Attinet. Et magnitudo ergo & parvitas tali uni convenit. Videtur. Magnitudo rurſus & parvitas ſemper invicem diſtant. Diſtant. Ideoque medium quiddam ſemper intervenit. Sane. Num reperis medium aliud inter haec, praeter aequalitatem? Nullum aliud. Cuicunque igitur magnitudo & parvitas accidit, accidit quoque aequalitas, horum obtinens medium. Conſtat. Uni igitur, dum non eſt, aequalitas, magnitudo, & parvitas accidere videntur. Videntur. Praeterea & eſſentia participare quodam-

τος. Ἔοικε. Καὶ μὴν οὐσίας γε δεῖ αὐτὸ μετέχειν πη. Πῶς δή; Ἔχειν αὐτὸ δεῖ οὕτως ὡς λέγομεν. εἰ γὰρ μὴ οὕτως ἔχει, οὐκ ἂν ἀληθῆ λέγοιμεν ἡμεῖς, λέγοντες τὸ ἓν μὴ εἶναι· εἰ δὲ ἀληθῆ, δῆλον ὅτι ὄντα αὐτὰ λέγομεν. ἢ οὐχ οὕτως; Οὕτω μὲν οὖν. Ἐπειδὴ δὲ φαμὲν ἀληθῆ λέγειν, ἀνάγκη
p. ἡμῖν φάναι καὶ ὄντα λέγειν. Ἀνάγκη. Ἔστιν ἄρα, ὡς ἔοι-
162 a. κε, τὸ ἓν οὐκ ὄν. εἰ γὰρ μὴ ἔστι μὴ ὄν, ἀλλά τι τοῦ εἶναι ἀνήσει πρὸς τὸ μὴ εἶναι, εὐθὺς ἔστι ὄν. Παντάπασι μὲν οὖν. Δεῖ ἄρα αὐτὸ δεσμὸν ἔχειν τοῦ μὴ εἶναι, τὸ εἶναι μὴ ὄν, εἰ μέλλει μὴ εἶναι· ὁμοίως ὥσπερ τὸ ὄν, τὸ μὴ ὂν ἔχειν μὴ εἶναι, ἵνα τελέως αὖ εἶναι ᾖ. οὕτως γὰρ ἂν τό, τε ὂν μάλιστ' ἂν εἴη, καὶ τὸ μὴ ὂν οὐκ ἂν εἴη μετέχοντα, τὸ μὲν ὄν, οὐσίας τοῦ εἶναι ὄν· μὴ οὐσίας δὲ, τοῦ εἶναι μὴ ὄν· εἰ μέλλει τελέως εἶναι. τὸ δὲ μὴ ὄν, μὴ οὐσίας μὲν τοῦ μὴ εἶναι μὴ ὄν, οὐσίας
b. δὲ τοῦ εἶναι μὴ ὄν· εἰ καὶ τὸ μὴ ὂν αὖ τελέως ἔστι. Ἀληθέστατα. Οὐκοῦν, ἐπειπερ τῷ τε ὄντι, τοῦ μὴ εἶναι, καὶ τῷ μὴ

modo ipſum oportet. At quomodo? Habere ſe ipſum oportet eo modo, quo diximus. niſi enim ſic ſeſe haberet, haudquaquam vera diceremus, dum unum non eſſe fatemur: ſin autem vera, manifeſtum eſt, quod ea, quae ſunt, proferimus. nonne? Sic eſt. Cum vero nos vera praedicare dixerimus, neceſſe eſt, ut ea, quae ſunt, afferere nos profiteamur. Neceſſe. Eſt ergo unum, ut videtur, non ens. ſi enim non ſit non ens, ſed aliquid ipſius eſſe remittat ad hoc, ut non ſit, ſtatim erit ens. Omnino quidem. Oportet igitur ut non ens, eſſe non ens, velut vinculum ipſius non eſſe habeat, ſi debet non eſſe: quemadmodum contra ens ipſius eſſendi vinculum habet ipſum non eſſe non ens, ut perfecte rurſus eſſe liceat. ita enim ipſum ens maxime erit, & ipſum non ens maxime non erit, ſi ipſum ens quidem participet eſſentia eſſendi ens; non autem eſſentia eſſendi non ens, ſi omnino eſſe debeat: ipſum vero non ens non participet eſſentia non eſſendi non ens, ſed eſſentia non eſſendi ens, ſi quidem non ens penitus videri debeat. Veriſſima haec ſunt. Nonne igitur,

ὄντι, τοῦ εἶναι μετέχει, καὶ τῷ ἑνὶ, ἐπειδὴ οὐκ ἔστι, τοῦ εἶναι ἀνάγκη μετεῖναι, εἰς τὸ μὴ εἶναι. Ἀνάγκη. Καὶ οὐσία δὴ φαίνεται τῷ ἑνὶ, εἰ μὴ ἔστι. Φαίνεται. Καὶ μὴ οὐσία ἄρα, εἴπερ μὴ ἔστι. Πῶς δ' οὔ; Οἴόντε οὖν, τὸ ἔχον πως, μὴ ἔχειν οὕτω, μὴ μεταβάλλον ἐκ ταυτης τῆς ἕξεως; Οὐχ οἴόντε. Πᾶν ἄρα τὸ τοιοῦτον μεταβολὴν σημαινει, ὃ ἂν οὕτω τε καὶ μὴ οὕτως ἔχῃ. Πῶς δ' οὔ; Μεταβολὴ δὲ, κινησις; ἢ τι φήσομεν; Κινησις. Οὐκοῦν τὸ ἕν, ὂν τε καὶ οὐκ ὂν ἐφάνη; Ναί. Οὕτως ἄρα καὶ οὐχ οὕτως ἔχον φαίνεται. Ἔοικε. Καὶ κινούμενον ἄρα τὸ οὐκ ὄν, ἓν πεφανται· ἐπειπερ καὶ μεταβολὴν ἐκ τοῦ εἶναι ἐπὶ τὸ μὴ εἶναι ἔχον. Κινδυνεύει. Ἀλλὰ μὴν, εἰ μηδαμοῦ γε ἐστὶ τῶν ὄντων, ὡς οὐκ ἔστιν, εἴπερ μὴ ἔστιν, οὐδ' ἂν μεθίσταιτο ποδέν ποι. Πῶς γάρ; Οὐκ ἄρα τῷ γε μεταβαίνειν κινοῖτ' ἄν. Οὐ γάρ. Οὐδὲ μὴν ἐν τῷ αὐτῷ ἂν στρέφοιτο. ταυτοῦ γὰρ οὐδαμοῦ ἅπτεται. οὐ γάρ ἐστι τὸ ταυτόν. τὸ δὲ

c.

d.

postquam ens non essendi particeps est, & non ens ipsius essendi particeps, unum quoque, cum non sit, ipso esse participare necesse est ad hoc, ut vere non sit? Necesse. Essentia igitur adesse videtur uni, si non sit. Videtur. Atqui non essentia rursus, si quidem minime sit. Quidni? Num potest aliquid, quod certo quodam modo affectum, sic habere se dicitur, non sic se habere, cum nondum ex huiusmodi habitu transmutatum sit? Non potest. Quodcunque igitur sic se, & non sic se habet, mutationem quandam patitur. Patitur. Mutationem vero motumve, an aliud quiddam esse dicemus? Motum. Unum autem nonne & ens & non ens apparuit? Apparuit. Ergo & sic, & non sic se habens. Videtur. Unum ergo non ens moveri videtur, si quidem mutationem ex ipso esse in non esse recipit. Patet. Enimvero si nusquam in natura rerum adest, cum non sit, non utique aliunde alio migrare potest. Quo pacto enim posset? Non ergo movetur, ex eo quod transeat. Minime. Neque tamen in eodem versatur. etenim ipsum idem nusquam attingit. ens namque ens ipsum idem, non ens autem in aliquo eorum, quae sunt,

μὴ ὂν, ἓν τῷ τῶν ὄντων ἀδύνατον εἶναι. Ἀδύνατον γάρ. Οὐκ ἄρα τὸ ἓν, μὴ ὂν, σρέφεσθαι ἂν δυναιτο ἐν ἐκείνῳ ἐν ᾧ μὴ ἔσιν. Οὐ γὰρ οὖν. Οὐδὲ μὴν ἀλλοιοῦταί που τὸ ἓν ἑαυτοῦ, οὔτε τὸ ὂν, οὔτε τὸ μὴ ὄν. οὐ γαρ ἂν ἦν ὁ λόγος ἔτι περὶ τοῦ ἑνὸς, εἴπερ ἠλλοιοῦτο αὐτὸ ἑαυτοῦ, ἀλλὰ περι ἄλλου τινός. Ὀρθῶς. Εἰ δὲ μήτ' ἀλλοιοῦται, μήτε ἐν ταυτῷ σρέφεται, c. μήτε μεταβαίνει, ἆρ' ἂν πη ἔτι κινοῖτο; Πῶς δή; Τό γε μὴν ἀκίνητον ἀνάγκη ἡσυχίαν ἄγειν, τὸ δὲ ἡσυχάζον, ἑσάναι. Ἀνάγκη. Τὸ ἓν ἄρα, ὡς ἔοικεν, οὐκ ὂν, ἕσηκέ τε καὶ κινεῖται. Ἔοικε. Καὶ μὴν, εἴπέρ γε κινεῖται, μεγάλη ἀνάγκη αὐ- p. τῷ ἀλλοιοῦσθαι. ὅπη γὰρ ἄν τι κινηθῇ, κατὰ τοσοῦτον οὐκ- 163 a. ἐξ' ὡσαύτως ἔχει ὡς εἶχεν, ἀλλ' ἕτερως. Οὕτω. Κινούμενον δὲ τὸ ἓν, καὶ ἀλλοιοῦται. Ναί. Καὶ μὴν μηδαμῇ γε κινούμενον, οὐδαμῇ ἂν ἀλλοιοῖτο. Οὐ γάρ. Ἡ μὲν ἄρα κινεῖται τὸ οὐκ ὂν ἓν, ἀλλοιοῦται· ᾗ δὲ μὴ κινεῖται, οὐκ ἀλλοιοῦται. Οὐ γάρ. Τὸ ἓν ἄρα μὴ ὂν ἀλλοιοῦταί τε καὶ οὐκ ἀλλοιοῦται.

esse impossibile est. Impossibile certe. Non ergo unum, cum non sit, in eo versari, in quo minime est, unquam posset. Nunquam. Neque etiam alteratur unum ab se ipso, neque ens, neque non ens. haud enim sermo de uno ulterius haberetur, si quidem a se ipso alteratum fuisset; verum de alio quodam praeter unum. Probe. Si neque alteratur, neque in eodem revolvitur, neque progreditur, quonam pacto movebitur? Nullo. Quod vero moveri nequit, quietem agere necesse est: & quod quiescit, consistere. Necesse. Igitur unum, si non est, stat atque movetur. Videtur. Quin etiam si movetur, necesse est procul dubio alterari. quatenus enim quid movetur, eatenus non eodem modo, quo prius, sed alio sese habet. Plane. Ergo unum, dum movetur, etiam alteratur. Profecto. Verumtamen nullo modo motum, nullo modo alteratur. Nullo penitus. Quamobrem unum quod non est, qua quidem movetur, absque dubio alteratur: qua vero non movetur, minime alteratur. Minime. Ideoque unum si non sit, alteratur, atque etiam minime alteratur. Constat. At

Φαίνεται. Τὸ δ' ἀλλοιούμενον ἆρ' οὐκ ἀνάγκη γίγνεσθαι μὲν ἕτερον ἢ πρότερον, ἀπόλλυσθαι δὲ ἐκ τῆς προτέρας ἕξεως; τὸ δὲ μὴ ἀλλοιούμενον, μήτε γίγνεσθαι μήτε ἀπόλλυσθαι; b.

Ἀνάγκη. Καὶ τὸ ἓν ἄρα, μὴ ὄν, ἀλλοιούμενον μὲν, γίγνεταί τε καὶ ἀπόλλυται· μὴ ἀλλοιούμενον δὲ, οὔτε γίγνεται, οὔτε ἀπόλλυται. καὶ οὕτω τὸ ἕν, μὴ ὄν, γίγνεταί τε καὶ ἀπόλλυται· καὶ οὔτε γίγνεται, οὔτ' ἀπόλλυται. Οὐ γάρ. Αὖθις δὴ ἐπὶ τὴν ἀρχὴν ἴωμεν πάλιν, ὀψόμενοι εἰ ταυτὰ ἡμῖν φανεῖται ἅπερ καὶ νῦν, ἢ ἕτερα. Ἀλλὰ χρή. Οὐκοῦν, ἐν εἰ μὴ ἔστι, ἔφαμεν τί χρὴ περὶ αὐτοῦ συμβαίνειν; Ναι. Τὸ δὲ c.
μὴ ἔστιν ὅταν λέγωμεν, ἆρα μὴ ἄλλό τι σημαίνει ἢ οὐσίας ἀτουσιαν τούτῳ ὃ ἂν Φῶμεν μὴ εἶναι; Οὐδὲν ἄλλο. Πότερον οὖν, ὅταν Φῶμεν μὴ εἶναί τι, πῶς οὐκ εἶναι Φαμὲν αὐτὸ, πῶς δὲ εἶναι; ἢ τοῦτο τὸ μὴ ἔστι, λεγόμενον, ἁπλῶς σημαίνει ὅτι οὐδαμῶς οὐδαμῇ ἐστιν, οὐδέ πη μετέχει οὐσίας, τόγε μὴ ὄν; Ἁπλούστατα μὲν οὖν. Οὔτε ἄρα δυναιτο εἶναι ἂν τὸ μὴ

quod alteratur, an non alterum, quam antea, fieri, priſtinumque habitum exuere oportet? quod vero non alteratur, neque fieri, neque etiam interire? Neceſſario ſequitur. Unde unum quod non eſt, quia alteratur, efficitur ac perit: quia vero non alteratur, nec fit, nec interit. atque ita & fit pariter atque interit: rurſuſque neque fit, neque interit. Sic eſt. Rurſus iam ad principium redeamus, liquido inſpecturi, utrum haec deinceps, quemadmodum hactenus, an aliter, eſſe videantur. Operae pretium hoc eſt. Nonne iam diſſeruimus, quid circa unum accidat, ſi ipſum minime ſit? Diſſeruimus. At quoties non ens proferimus, nihil aliud nobis ſignificat, quam eſſentiae abſentiam ab illo, quod quidem non eſſe pronuntiamus. Nil aliud. Utrum quando dicimus non eſſe aliquid, aliquo modo ipſum non eſſe intelligimus, aliquo modo eſſe? an potius hoc ipſum Non eſt, quoties pronuntiatur, ſimpliciter ſignificat, quod nullo prorſus modo uſquam eſt: & cum non ſit, nulla ex parte eſt eſſentiae capax? Abſolute id ſignificat. Neque ergo eſſe ipſum non ens poterit, neque

d. ὂν, οὔτε ἄλλως οὐδαμῶς οὐσίας μετέχειν. Οὐ γάρ. Τὸ δὲ γίγνεσθαι καὶ τὸ ἀπόλλυσθαι, μή τι ἄλλο ἤ, ἢ τὸ μὲν οὐσίας μεταλαμβάνειν, τὸ δ' ἀπολλύναι οὐσίαν; Οὐδὲν ἄλλο. Ὃ δέ γε μηδὲν τούτου μέτεστιν, οὔτ' ἂν λαμβάνοι οὔτ' ἀποβάλλοι αὖ τι. Πῶς γάρ; Τῷ ἑνὶ ἄρα, ἐπειδὴ οὐδαμῇ ἔστιν, οὔτε ἐκτέον, οὔτε ἀπαλλακτέον, οὔτε μεταληπτέον οὐσίας μηδαμῶς. Εἰκός. Οὔτε ἄρα ἀπόλλυται τὸ μὴ ὂν ἕν, οὔτε γίγνεται, ἐπείπερ οὐδαμῇ μετέχει οὐσίας. Οὐ φαίνεται. Οὐδ' ἄρ' ἀλλοιοῦται
e. οὐδαμῇ· ἤδη γὰρ ἂν γίγνοιτό τε καὶ ἀπόλλυοιτο τοῦτο πάσχον. Ἀληθῆ. Εἰ δὲ μὴ ἀλλοιοῦται, οὐκ ἀνάγκη μηδὲ κινεῖσθαι; Ἀνάγκη. Οὐδὲ μὴν ἑστάναι φήσομεν τὸ μηδαμοῦ ὄν. τὸ γὰρ ἑστὼς, ἐν τῷ αὐτῷ τινι ἀεὶ δεῖ εἶναι τῷ αὐτῷ. Πῶς γὰρ οὔ; Οὕτω δὴ αὐτὸ μὴ ὂν, μήτε ποτὲ ἑστάναι μήτε κινεῖσθαι λέγωμεν. Μὴ γὰρ οὖν. Ἀλλὰ μὴν οὐδ', ἔτι γε αὐτῷ τι τῶν ὄντων. ἤδη γὰρ ἂν τοῦτο μετέχον ὄντος, οὐσίας μετέχοι.
P. 164 a. Δῆλον. Οὔτε ἄρα μέγεθος, οὔτε σμικρότης, οὔτε ἰσότης αὐ-

alio quoquam modo eſſentiam attingere. Minime. Fieri autem & interire unum aliud eſt, quam illud quidem eſſentiam accipere, hoc autem amittere? Nil aliud. Ergo cui nulla huius pars convenire poteſt, nunquam aut accipit ipſam, aut amittit. Nunquam. Uni ergo, poſtquam nullo modo eſt, neque nanſciſci, neque abiicere, neque alio pacto eſſentiam capere convenit. Decens eſt. Non itaque interit ipſum unum, cum non ſit, neque fit, utpote quod nulla ex parte eſt eſſentiae capax. Non videtur. Neque rurſus aliquo pacto alteratur. iam enim & fieret, & periret, ſi hoc pati poſſet. Verum. Si minime alteratur, an non etiam neceſſe eſt nequaquam moveri? Neceſſe. Neque tamen ſtare alicubi, quod nullo modo eſt, aſſeremus. quod enim ſtat, in aliquo eodem ſemper eſſe oportet. Quidni? Sic plane ipſum non ens, nunquam aut ſtare, aut moveri fatebimur. Nunquam. Praeterea nihil ex iis, quae ſunt, illi adeſt. iam enim eſſentia participaret, utpote quod alicuius exiſtentis eſſet particeps. Manifeſtum eſt. Non magnitudo igitur illi, non parvitas, non aequalitas accidit. Non

τῷ ἓξιν. Οὐ γάρ. Οὐδὲ μὴν ὁμοιότης γε, οὐδὲ ἑτεροιότης, οὔτε πρὸς αὐτὸ οὔτε πρὸς τἄλλα εἰη ἂν αὐτῷ. Οὐ φαίνεται. Τί δέ; τἄλλα ἐσθ' ὅπως ἂν εἰη αὐτῷ, εἰ μηδὲν αὐτῷ δεῖ εἶναι; Οὐκ ἔξιν. Οὔτε ἄρα ὅμοια, οὔτε ἀνόμοια, οὔτε ταυτὰ, οὔτε ἕτερα ἔξιν αὐτῷ τὰ ἄλλα. Οὐ γάρ. Τί δέ; τὸ ἐκείνου, ἢ τὸ ἐκείνῳ, ἢ τὸ τι, ἢ τὸ τούτου, ἢ τὸ τουτου, ἢ ἄλλου, ἢ ἄλλῳ ἢ ποτὲ, ἢ ἔπειτα, ἢ νῦν ἢ ἐπιστήμη, ἢ δόξα, ἢ αἴσθησις, b. ἢ λόγος, ἢ ὄνομα, ἢ ἄλλο ὁτιοῦν τῶν ὄντων περὶ τὸ μὴ ὂν ἔχει; Οὐκ ἔχει. Οὕτω δὴ ἓν οὐκ ὂν οὐκ ἔχει πως οὐδαμῆ. Οὐκοῦν δὴ ἐοικέ γε οὐδαμῆ ἔχειν. Ἔτι δὴ λέγωμεν, ἓν εἰ μὴ ἔστι, τἄλλα τί χρὴ πεπονθέναι. Λέγωμεν γάρ. Ἄλλα μέν που δεῖ αὐτὰ εἶναι. εἰ γὰρ μηδὲ ἄλλα ἔστιν, οὐκ ἂν περὶ τῶν ἄλλων λέγοιτο. Οὕτως. Εἰ δὲ περὶ τῶν ἄλλων ὁ λόγος, τά- γε ἄλλα ἕτερά ἐστιν. ἢ οὐκ ἐπὶ τῷ αὐτῷ καλεῖς τό, τε ἄλλο καὶ τὸ ἕτερον; Ἔγωγε. Ἕτερον δέ γέ που φαμὲν, τὸ ἕτερον c. εἶναι ἑτέρου, καὶ τὸ ἄλλο δὴ ἄλλο εἶναι ἄλλου; Ναι. [illegible] ναι

profecto. Sed nihilo magis ſimilitudo, aut dive[illegible] vel ad alia, vel ad ſe ipſum aderit. Nequaquam videtur [illegible] & alia ullo modo illi eſſe poterunt, cum nihil pro[illegible] eſſe queat? Haud licet. Quapropter alia non ſimilia illi diſſimilia, non eadem, non altera ſunt. Non ſane. An [illegible] ipſum quod illius, vel ipſum quod illi, vel quid, vel [illegible] vel huius, vel alterius, vel alteri, aut quondam, aut de[illegible]ceps, aut nunc, ſeu ſcientia, ſive opinio, ſive ſenſus, an ſermo, an nomen, an aliud quodvis ex iis, quae ſunt, circa ipſum quod minime eſt, exſiſtet? Minime. His igitur rationibus unum, ſi non eſt, nullo prorſus modo aut uſquam ſeſe habet. Non ſane videtur ullo modo, aut uſquam ſeſe habere. Eſtne iterum diſputandum, unum ſi non eſt, quid aliis praeter unum evenire oporteat? Diſputandum. Primum igitur iſta alia, aliquid eſſe oportet. niſi enim alia ſint, haud ſane de ipſis aliis differeretur. Sic eſt. Et ſi de aliis ſermo fit, alia profecto altera ſunt. an non idem tu aliud & alterum vocas? Equidem. Alterum nonne ab altero alterum, &

τοῖς ἄλλοις ἄρα, εἰ μέλλοι ἄλλα εἶναι, ἔσι τι οὗ ἄλλα ἔσαι. Ἀνάγκη. Τί δὴ οὖν ἂν εἴη; Τοῦ μὲν γὰρ ἑνὸς οὐκ ἔσαι ἄλλα, μὴ ὄντος γε. Οὐ γάρ. Ἀλλήλων ἄρα ἐσί. τοῦτο γὰρ αὐτοῖς ἔτι λείπεται, ἢ μηδενὸς εἶναι ἄλλοις. Ὀρθῶς. Κατὰ πλήθη ἄρα ἕκαζα ἀλλήλων ἄλλα ἐσί. κατὰ ἓν γὰρ οὐκ ἂν οἷά τε εἴη, μὴ ὄντος ἑνός· ἀλλ' ἕκαστος, ὡς ἔοικεν, ὁ ὄγκος
d. αὐτῶν ἄπειρός ἐσι πλήθει· κἂν τὸ σμικρότατον δοκοῦν εἶναι λάβῃ τις, ὥσπερ ὄναρ ἐν ὕπνῳ φαίνεται, ἐξαίφνης ἀντὶ ἑνὸς δόξαντος εἶναι πολλὰ, καὶ ἀντὶ σμικροτάτου παμμέγεθες πρὸς τὰ κερματιζόμενα ἐξ αὐτοῦ. Ὀρθότατα. Τοιούτων δὴ ὄγκων ἄλλα ἀλλήλων εἴη ἂν τὰ ἄλλα, εἰ ἑνὸς μὴ ὄντος ἄλλα ἐσί. Κομιδῇ μὲν οὖν. Οὐκοῦν πολλοὶ ὄγκοι ἔσονται, εἷς ἕκαστος φαινόμενος, ὢν δὲ οὔ, εἴπερ ἓν μὴ ἔσαι; Οὕτω. Καὶ
c. ἀριθμὸς δὲ εἶναι αὐτῶν δόξει, εἴπερ ἓν ἕκαστον, πολλῶν ὄντων. Πάνυ γε. Καὶ τὰ μὲν δὴ, ἄρτια, τὰ δὲ, περιττὰ ἐν αὐτοῖς

aliud ab alio aliud, eſſe dicimus? Utique. Ergo ipſis aliis, ſi modo alia futura ſunt, aderit aliquid, a quo alia erunt. Neceſſe. Quidnam id potiſſimum erit? Ab uno quidem alia non erunt, cum illud minime ſit. Non certe. Invicem itaque alia ſunt. id enim ſolum reſtat. alioquin a nullo alia futura ſunt. Recte. Idcirco ſecundum multitudines ſingula invicem alia ſunt. etenim ſecundum unum nequeunt, non exſiſtente uno. verum quilibet, ut videtur, acervus illorum, multitudine infinitus exſiſtit: & ſi quod minimum apparet, quiſpiam ſumſerit, velut in ſomno, repente pro eo, quod unum viſum fuerat, multitudo occurrit; & pro eo, quod minimum apparuerat, quam maximum iam, ſi ad illa diſſecta conferas, apparet. Rectiſſime. Talibus, inquam, acervis diverſa invicem alia praeter unum erunt, ſi, non exſiſtente uno, alia ſunt. Quam maxime. At non plures acervi erunt, quorum quilibet unus prima fronte videbitur, nullus tamen unus erit, cum ipſum unum minime ſit? Certe. Numerus item illorum aliquis eſſe videbitur: ſi quidem & unum quodlibet, cum tamen multa ſunt. Valde quidem. Paria praeterea & impa-

ὄντα, οὐκ ἀληθῶς φαίνεται, εἴπερ ἓν μὴ ἔσαι. Οὐ γὰρ οὖν. Καὶ μὴν καὶ σμικρότατόν γε, φαμὲν, δόξειεν αὐτοῖς εἶναι. φαίνεται δὲ τοῦτο πολλὰ καὶ μεγάλα, πρὸς ἕκαστον τῶν πολλῶν, ὡς σμικρῶν ὄντων. Πῶς δ' οὔ; Καὶ ἴσος μὲν τοῖς πολ- p.
λοῖς καὶ σμικρὸς ἕκαστος ὄγκος δοξασθήσεται εἶναι. οὐ γὰρ 165
ἂν μετέβαινεν ἐκ μείζονος εἰς ἔλαττον φαινόμενος, πρὶν εἰς a.
τὸ μεταξὺ δόξειεν ἐλθεῖν. τοῦτο δ' εἴη ἂν φάντασμα ἰσότητος. Εἰκός. Οὐκοῦν καὶ πρὸς ἄλλον ὄγκον πέρας ἔχων, αὐτός τε πρὸς αὐτὸν, οὔτε ἀρχὴν, οὔτε πέρας, οὔτε μέσον ἔχων; Πῇ δή; Ὅτι ἀεὶ αὐτῶν ὅταν τὶς τι λάβῃ τῇ διανοίᾳ, ὡς τι τούτων ὄν, πρό τε τῆς ἀρχῆς, ἄλλη ἀεὶ φαίνεται ἀρχὴ μετά τε τὴν τελευτὴν, ἑτέρα ὑπολειπομένη τελευτή· ἔν τε τῷ b.
μέσῳ, ἄλλα μεσαίτερα τοῦ μέσου. σμικρότερα δὲ, διὰ τὸ μὴ δύνασθαι ἑνὸς αὐτῶν ἑκάστου λαμβάνεσθαι· ἅτε οὐκ ὄντος τοῦ ἑνός. Ἀληθέστατα. Θρύπτεσθαι δὲ, οἶμαι, κερματιζόμενον ἀνάγκη πᾶν τὸ ὄν, ὃ ἄν τις λάβῃ τῇ διανοίᾳ. ὄγκος

ria falso videbuntur, uno prorsus absente. Falso. Quod insuper exiguum in illis primo videbitur, ut dictum est, e vestigio quam maxima & quam plurima, quoad singula parva, quae etiam multa sunt, se nobis ostentat. Quid prohibet? Quin etiam acervus quisque aequalis multis parvisque acervis esse videbitur. nam haud liquido ex maiori in minus transisse videretur, nisi prius in medium perveniisse visus esset. hoc autem phantasma quoddam aequalitatis erit. Verisimile est. Nonne ad alium acervum terminum habens, ipsum ad se ipsum neque principium, neque medium, neque finem habet? Qua de causa? Quia semper cum quis horum aliquid intelligentia contuetur, ante principium semper aliud occurrit principium: & post finem alter semper finis subsequitur: nec non in medio, alia semper interiora, quam medium, semperque minora, ob id, quia nequit unum aliquid in his accipi, cum unum minime sit. Verissima loqueris. Discerpi denique necessario arbitror, ut dispersum, quodcunque intelligentia quis assumserit. semper enim acervus unius

γάρ που ἄνευ λαμβάνοιτο ἄν. Πάνυ μὲν οὖν. Οὐκοῦν τῷ τοιοῦτον πόρρωθεν μὲν ὁρῶντι, καὶ ἁμῆλυ, ἓν φαίνε-
c. σθαι ἀνάγκη· ἐγγύθεν δὲ, καὶ ἐξὸν νοοῦντι, πλήθει ἄπειρον ἓν ἑκαστον φανῆναι, εἴπερ ἔστι τοῦ ἑνὸς μὴ ὄντος; Ἀναγκαιότατον μὲν οὖν. Οὕτω δὴ ἄπειρά τε καὶ πέρας ἔχοντα, καὶ ἓν καὶ πολλὰ, ἕκαστα τὰ ἄλλα δεῖ φαίνεσθαι, ἓν εἰ μὴ ἔστι τἄλλα δὲ τοῦ ἑνός. Δεῖ γάρ. Οὐκοῦν καὶ ὅμοιά τε καὶ ἀνόμοια δόξει εἶναι; Πῇ δή; Οἷον ἐσκιαγραφημένα, ἀποστάντι μὲν, ἓν πάντα φαινόμενα, ταυτὸν φαίνεσθαι πεπονθέναι,
d. καὶ ὅμοια εἶναι. Πάνυ γε. Προσελθόντι δέ γε, πολλὰ καὶ ἕτερα, καὶ τῷ τοῦ ἑτέρου φαντάσματι, ἑτεροῖα καὶ ἀνόμοια ἑαυτοῖς. Οὕτω. Καὶ ὁμοίους δὴ καὶ ἀνομοίους τοὺς ὄγκους αὐτοὺς τε ἑαυτοῖς ἀνάγκη φαίνεσθαι καὶ ἀλλήλοις. Πάνυ μὲν οὖν. Οὐκοῦν καὶ τοὺς αὐτοὺς καὶ ἑτέρους ἀλλήλων, καὶ ἁπτομένους καὶ χωρὶς ἑαυτῶν, καὶ κινουμένους πάσας κινήσεις, καὶ ἑῶντας πανταχῇ καὶ γιγνομένους καὶ ἀπολλυ-

expers accipitur. Procul dubio. Nonne hoc tale eminus & obtuſe proſpicienti unum apparet? Neceſſe. Cominus autem & acute intelligenti unumquodque multitudine infinitum? ſi quidem ab uno non exiſtente deſeritur. Prae ceteris neceſſarium hoc eſt. In hunc itaque modum infinita, & finem habentia, & unum, & multa, quaelibet alia apparere oportet, ſi non unum, ſed alia praeter unum ſunt. Oportet utique. An non ſimilia quoque & diſſimilia videbuntur? At quomodo? Nam cum velut adumbrata eminus proſpicienti unum appareant omnia, in eodem aliquo communicare, ſimiliaque eſſe videbuntur. Prorſus. At vero propius accedenti, multa & altera: atque ipſo diverſitatis phantaſmate altera ſibi ipſis & diſſimilia. Sic accidit. Similes item atque diſſimiles ipſos ac rvos, tum ſibimet, tum invicem apparere neceſſe eſt. Et maxime quidem. Nonne etiam eoſdem & alteros invicem, & contiguos ſibi, & ſeorſum a ſe ipſis omnibuſque motibus agitatos, & undique permanentes, orientes & occidentes, ac neutra, omniaque huiuſmodi, quae

μένους, καὶ μηδέτερα, καὶ πάντα που τὰ τοιαῦτα, ἃ διεξελ-
θεῖν εὐπετὲς ἡμῖν ἤδη, εἰ ἑνὸς μὴ ὄντος πολλά ἐστιν. Ἀληθέ- c.
στατα μὲν οὖν. Ἔτι δὴ ἅπαξ, ἐλθόντες πάλιν ἐπὶ τὴν ἀρχήν,
εἴπωμεν, ἓν εἰ μὴ ἔστιν, τἄλλα δὲ τοῦ ἑνὸς, τί χρὴ εἶναι.
Εἴπωμεν γὰρ οὖν. Οὐκοῦν ἓν μὲν οὐκ ἔστι τἄλλα. Πῶς γάρ;
Οὐδὲ μὴν πολλά γε. ἐν γὰρ πολλοῖς οὖσιν εἴη ἂν καὶ ἕν. εἰ
γὰρ μηδὲν αὐτῶν ἐστιν ἕν, ἅπαντα οὐδέν ἐστιν. ὥστε οὐδ' ἂν
πολλὰ εἴη. Ἀληθῆ. Μὴ ἐόντος δὲ ἑνὸς ἐν τοῖς ἄλλοις, οὔτε
πολλὰ, οὔτε ἓν ἔστι τἄλλα. Οὐ γάρ. Οὐδέ γε φαίνεται ἓν, p.
οὐδὲ πολλά. Τί δή; Ὅτι τἄλλα τῶν μὴ ὄντων οὐδενὶ οὐδαμῇ 166
οὐδαμῶς οὐδεμίαν κοινωνίαν ἔχει· οὐδέ τι τῶν μὴ ὄντων a.
παρὰ τῶν ἄλλων τῳ ἔστιν. οὐδὲν γὰρ μέρος ἐστὶ τοῖς μὴ οὖσιν.
Ἀληθῆ. Οὐδ' ἄρα δόξα τοῦ μὴ ὄντος παρὰ τοῖς ἄλλοις ἐστὶν,
οὐδέ τι φάντασμα· οὐδὲ δοξάζεται οὐδαμῇ οὐδαμῶς τὸ μὴ
ὂν ὑπὸ τῶν ἄλλων. Οὐ γὰρ οὖν. Ἓν ἄρα εἰ μὴ ἔστιν, οὐ δοξά-
ζεται τι τῶν ἄλλων ἓν εἶναι, οὐδὲ πολλά. ἄνευ γὰρ ἑνὸς πολ- b.

quidem percurrere facile nobis eſſet, ſi uno non exiſtente multa fuerint? Veriſſima narras. Redeuntes iam iterum ad principium, declaremus, unum ſi non eſt, quidnam aliis praeter unum eventurum ſit. Declaremus. Principio igitur unum alia non erunt. Quomodo enim? Neque tamen multa. in iis enim, quae multa ſunt, ineſt & unum. etenim ſi nullum illorum eſt unum, cuncta nihil ſunt, quapropter neque multa. Vera loqueris. Cum itaque unum haud inſit aliis, nec multa, nec unum ſunt. Non plane. Neque etiam apparent unum, aut multa. Curnam? Quoniam alia cum iis, quae non ſunt, nullum prorſus commercium habent, neque quidquam ex iis, quae minime ſunt, ad aliquid aliorum attinet. nam nulla pars iis, quae non ſunt, adeſt. Verum. Neque igitur opinio de eo, quod minime eſt, nec phantaſma ceteris ineſt: neque ullo modo id, quod non eſt, ab aliis opinione concipitur. Non certe. Quapropter ſi unum non eſt, nihil aliorum opinione concipitur, aut unum, aut multa eſſe. nam abſque uno multa opinari penitus impoſſibile. Impoſſibile ni-

λὰ δοξάσαι ἀδύνατον. Ἀδύνατον γάρ. Ἓν ἄρα εἰ μὴ ἔστι, τἄλλα οὔτε ἔστιν, οὔτε δοξάζεται ἓν οὔτε πολλά. Οὐκ ἔοικεν. Οὐδ' ἄρα ὅμοια, οὐδὲ ἀνόμοια. Οὐ γάρ. Οὐδὲ μὴν τὰ αὐτά γε, οὐδ' ἕτερα· οὐδὲ ἁπτόμενα, οὐδὲ χωρίς· οὐδὲ ἄλλα ὅσα ἓν τοῖς πρόσθεν διήλθομεν, ὡς φαινόμενα αὐτὰ, τούτων οὐτέ τι ἔστιν, οὔτε φαίνεται τἄλλα, ἓν εἰ μὴ ἔστιν. Ἀληθῆ. Οὐκ-
c. οὖν καὶ συλλήβδην εἰ εἴποιμεν, ἓν εἰ μὴ ἔστιν, οὐδὲν ἔστιν, ὀρθῶς ἂν εἴποιμεν; Παντάπασι μὲν οὖν. Εἰρήσθω τοίνυν τοῦτό τε, καὶ ὅτι, ὡς ἔοικεν, ἓν εἴτ' ἔστιν εἴτε μὴ ἔστιν, αὐτό τε καὶ τἄλλα καὶ πρὸς αὐτὰ καὶ πρὸς ἄλληλα, πάντα πάντως ἐστί τε καὶ οὐκ ἔστι, καὶ φαίνεταί τε καὶ οὐ φαίνεται. Ἀληθέστατα.

mium. Ergo ſi unum non eſt, alia neque ſunt, neque opinione etiam cogitantur unum, aut multa eſſe. Non videtur. Unde neque ſimilia, neque etiam diſſimilia. Non. Neque etiam eadem, aut altera, neque contigua, neque ſeiuncta, neque reliqua, quotcunque in ſuperioribus, tanquam quae ad ipſa alia ſpectare viderentur, enarravimus, neque ſunt alia, nec eſſe alia videntur, unum ſi non eſt. Vera. Nonne, ut ſummatim loquar, ſi dixerimus, Unum ſi non eſt, nihil eſt, recte dicemus? Et maxime quidem. Hoc itaque dictum a nobis ſit: atque illud praeterea, quod, ut videtur, unum ſive ſit, ſive non ſit, tum ipſum, tum etiam alia ad ſeſe, atque invicem omnia omnino, ſunt atque non ſunt, apparentque inſuper, & non apparent. Veriſſima quidem haec ſunt.

ΣΥΜΠΟΣΙΟΝ

ΣΥΜΠΟΣΙΟΝ

Η

ΠΕΡΙ ΕΡΩΤΟΣ

Ἠθικός.

CONVIVIUM

SIVE

DE AMORE

Metaphyſicus ſive Theologicus.

ARGUMENTUM.

Haec diſputatio tota fere eſt allegorica & metaphyſica: cuius ſumma eſt, Amorem minime Deum eſſe, & pulcherrimum quiddam per ſe & praeſtantiſſimum, (quemadmodum ex communi tritaque ſententia, Phaedrum, Pauſaniam, Eryximachum & ceteros diſputationis ſocios Plato facit diſputantes) ſed cupiditatem quandam in nobis, nec pulchram, nec turpem, id eſt, nec bonam nec malam per ſe, ſed huiuſmodi, ut bonum, quo indiget, appetat, & ad illud conſequendum maximo impetu feratur. Huius Amoris officium eſſe, ut inter Deum & homines interpretis & quaſi portitoris fungatur munere. Mediae autem illius inter divinam & mortalem naturae originem adhibita imagine repraeſentat: illum videlicet paterno & materno genere longe lateque diverſo natum, quippe qui patre ſit Poro, divi-

tiarum Deo, matre vero Penia, id est, paupertate: ex patrno genere, ad peritiam, ex materno, ad imperitiam inclinare: ac proinde philosophica esse natura, quae ignorationis quidem conscientia, indagatrix est, ut veram solidamque scientiam divina illa animi vi adipiscatur, cuius philosophicae naturae igniculi haud dubie sunt in omnibus hominibus, quos idcirco prisci philosophi ἀλφηστὰς, id est, ad res investigandas & investigatio[illegible] ductu auspiciisque inveniendas natos, nuncuparunt. Ita & quisnam sit Amor, & quaenam sit illius origo, ex doctrina hic a Platone tradita sic describitur. Quod autem tam crebram παιδεραστίας Plato iniiciat mentionem, abominanda est in ipso audacia, nisi eo consilio id feciisset, ut eam detestandam esse, hominibus suis voluisset demonstrare. nam in primo νομοθεσίας, turpitudinem iliam detestatur, & τὸ παρὰ φύσιν τόλμημα vocat.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΣΥΜΠΟΣΙΟΥ ΠΡΟΣΩΠΑ

ΑΠΟΛΛΟΔΩΡΟΣ, ΕΤΑΙΡΟΣ ΑΠΟΛΛΟΔΩΡΟΥ, ΓΛΑΥΚΩΝ, ΑΡΙΣΤΟΔΗΜΟΣ, ΣΩΚΡΑΤΗΣ, ΑΓΑΘΩΝ, ΦΑΙΔΡΟΣ, ΠΑΥΣΑΝΙΑΣ, ΕΡΥΞΙΜΑΧΟΣ, ΑΡΙΣΤΟΦΑΝΗΣ, ΔΙΟΤΙΜΑ, ΑΛΚΙΒΙΑΔΗΣ.

p. 172 a. Δοκῶ μοι περὶ ὧν πυνθάνεσθε νῦν οὐκ ἀμελέτητος εἶναι. καὶ γὰρ ἐτύγχανον πρώην εἰς ἄστυ οἴκοθεν ἀνιὼν Φαληρόθεν. τῶν οὖν γνωρίμων τὶς, ὄπισθεν κατιδών με, πόρρωθεν

DIALOGI PERSONAE

APOLLODORUS, FAMILIARIS APOLLODORI, GLAUCO, ARISTODEMUS, SOCRATES, AGATHO, PHAEDRUS, PAUSANIAS, ERYXIMACHUS, ARISTOPHANES, DIOTIMA, ALCIBIADES.

VIDEOR mihi in his, quae petitis, satis praemeditatus esse. heri enim, cum domo ex Phalero in urbem redirem, quidam mihi notus a tergo me aspiciens, eminus vocavit:

ἐβούλεσθ' καὶ παίζων ἅμα τῇ κλήσει. Ὦ Φαληρεὺς, ἔφη, οὗτος Ἀπολλόδωρος οὐ περιμενεῖς; Κἀγὼ ἐπισχὰς περιέμεινα· καὶ ὃς, Ἀπολλόδωρε, ἔφη, καὶ μὴν ἔναγχός σε ἐζήτουν, βουλόμενος διακοῦσαι τὴν Ἀγάθωνος ξυνουσίαν, καὶ Σωκράτους, καὶ Ἀλκιβιάδου, καὶ τῶν ἄλλων τῶν τότε ἐν τῷ b. συνδείπνῳ παραγενομένων, περὶ τῶν ἐρωτικῶν λόγων, τίνες ἦσαν. ἄλλος γάρ τις μοι διηγεῖτο, ἀκηκοὼς Φοινίκου τοῦ Φιλίππου· ἔφη δὲ καὶ σὲ εἰδέναι. ἀλλὰ γὰρ οὐδὲν εἶχε σαφὲς λέγειν. σὺ οὖν μοι διήγησαι. δικαιότατος γὰρ εἶ τοὺς τοῦ ἑταίρου λόγους ἀπαγγέλλειν. πρότερον δέ μοι, ἦ δ' ὅς, εἰπὲ, σὺ αὐτὸς παρεγένου τῇ συνουσίᾳ ταύτῃ; ἢ οὔ; Κἀγὼ εἶπον ὅτι, Παντάπασιν ἔοικέ σοι οὐδὲν διηγεῖσθαι σαφὲς ὁ διηγού- c. μενος· εἰ νεωστὶ ἡγῇ τὴν συνουσίαν γεγονέναι ταύτην ἣν ἐρωτᾷς, ὥστε καὶ ἐμὲ παραγενέσθαι. Ἔγωγε δή. Πόθεν, ἦν δ' ἐγ', ὦ Γλαύκων; οὐκ οἶσθ' ὅτι πολλῶν ἐτῶν Ἀγάθων ἐνθάδε οὐκ ἐπιδεδήμηκεν; ἀφ' οὗ δ' ἐγὼ Σωκράτει συνδιατρίβω, καὶ ἐπιμελὲς πεποίημαι ἑκάστης ἡμέρας εἰδέναι ὅ, τι ἂν λέγῃ ἢ πράττῃ, οὐδέπω τρία ἔτη ἐστίν. πρότου δὲ περιτρέχων ὅπῃ

& inter vocandum iocatus, O Phaleree, inquit, Apollodore, non exſpectas? Ego autem conſtiti, atque exſpectavi. Tum ille: Quaerebam te modo, audire cupiens, qui de amore ſermones habiti ſunt in ea coena, ad quam Agatho, Socrates, Alcibiades, nonnullique alii convenerunt. Retulit enim mihi & alius quidam, qui a Phoenice Philippi filio audiverat, addiditque te ſcire. verum nihil certi ea de re afferre poterat. Quare tu mihi referas. tua enim intereſt, ſermones amici tui narrare. Id autem primum dicas, ipſe affuiſti, cum diſputarent, an non? Revera, inquam, nihil certi retuliſſe tibi ille videtur, ſi quidem conveniſſe illos adeo nuper exiſtimas, ut ego potuerim intereſſe. Exiſtimabam equidem, inquit ille. Undenam iſtuc? inquam ego. Neſcis, o Glauco, multis iam annis huc Agathonem non acceſſiſſe? Ex eo vero tempore, quo cum Socrate verſari coepi, eiuſque tum dicta tum facta diligentius quotidie obſervare, nondum tres anni

p. τύχοιμι, καὶ οἰόμενός τι ποιεῖν, ἀθλιώτερος ἦν ὁτουοῦν· οὐχ
173 ἧττον ἢ σὺ νῦν, οἰόμενος δεῖν πάντα μᾶλλον πράττειν ἢ φι-
a. λοσοφεῖν. Καὶ ὅς, Μὴ σκῶπτ', ἔφη· ἀλλ' εἰπέ μοι πότε ἐγένε-
το ἡ συνουσία αὕτη. Κἀγὼ εἶπον ὅτι, Παίδων ἡμῶν ὄντων
ἔτι, ὅτε τῇ πρώτῃ τραγῳδίᾳ ἐνίκησεν Ἀγάθων, τῇ ὑστεραίᾳ ἢ
ᾗ τὰ ἐπινίκια ἔθυεν αὐτός τε καὶ οἱ χορευταί. Πάνυ, ἔφη,
ἄρα πάλαι, ὡς ἔοικεν. ἀλλὰ τίς σοι διηγεῖτο; ἢ αὐτὸς Σω-
b. κράτης; Οὐ μὰ τὸν Δία, ἦν δ' ἐγώ, ἀλλ' ὅσπερ Φοινικί·
Ἀριστόδημος ἦν τις, Κυδαθηνεὺς, σμικρὸς, ἀνυπόδητος αἰεί.
παραγεγόνει δ' ἐν τῇ συνουσίᾳ, Σωκράτους ἐραστὴς ὢν ἐν τοῖς
μάλιστα τῶν τότε, ὡς ἐμοὶ δοκεῖ. οὐ μέντοι ἀλλὰ καὶ Σωκράτη
γε ἔνια ἤδη ἀνηρόμην, ὧν ἐκείνου ἤκουσα. καί μοι ὡμολόγει,
καθάπερ ἐκεῖνος διηγεῖτο. Τί οὖν, ἔφη, οὐ διηγῇ σὺ μοί; πάν-
τως δὲ ἡ ὁδὸς ἡ εἰς ἄστυ ἐπιτηδεία πορευομένοις καὶ λέγειν καὶ
ἀκούειν. οὕτω δὴ ἰόντες ἅμα τοὺς λόγους περὶ αὐτῶν ἐποιού-

fluxere. Antea vero, quacunque fors ferebat, oberrans, existimansque aliquid agere, omnium miserrimus eram: perinde ac tu nunc, qui quodlibet agendum censes potius, quam philosophandum. Ne mordeas, inquit ille: sed quo tempore convivium celebratum sit, enarra. Ad haec inquam, Dum pueri adhuc essemus, in primo tragoediae certamine victoriam reportavit Agatho: sequenti autem die post palmam, sacraque victoriae gratia celebrata, parato convivio disputatio instituta fuit. Longum, inquit, certe id tempus est. sed quis tibi narravit? numquid ipse Socrates? Non per Iovem, inquam: immo idem, qui & Phoenici, Aristodemus quidam Cydatheneus, qui exiguo corpore erat, & nudis semper pedibus ibat. interfuit enim disputationi: quippe qui maxime omnium, qui tunc erant, Socratem, ut mihi videtur, amaret. Quin etiam Socratem ipsum de nonnullis, quae ille retulerat, percontatus sum: qui in his cum illo consentiebat. Cur ergo, inquit, mihi non refers? apta quidem via est, quae ducit in urbem, & ad audiendum pariter, & ad dicendum. Sic itaque inter eundum de illis verba fe-

μεθ' ὥστε, ὅπερ ἀρχόμενος εἶπον, οὐκ ἀμελετήτως ἔχω. εἰ c.
οὖν δεῖ καὶ ὑμῖν διηγήσασθαι, ταυτὰ χρὴ ποιεῖν. καὶ γὰρ
ἐγωγε καὶ ἄλλως, ὅταν μὲν τινὰς περὶ φιλοσοφίας λόγους ἢ
αὐτὸς ποιῶμαι, ἢ ἄλλων ἀκούω, χωρὶς τοῦ οἴεσθαι ὠφελεῖ-
σθαι, ὑπερφυῶς ὡς χαιρω· ὅταν δὲ ἄλλους τινὰς, ἄλλως τε
καὶ τοὺς ὑμετέρους, τοὺς τῶν πλουσίων καὶ χρηματιστῶν, αὐ-
τός τε ἄχθομαι, ὑμᾶς τε τοὺς ἑταίρους ἐλεῶ, ὅτι οἴεσθέ τι
ποιεῖν, οὐδὲν ποιοῦντες. καὶ ἴσως αὖ ὑμεῖς ἡγεῖσθε ἐμὲ κακο-
δαίμονα εἶναι, καὶ οἴομαι ὑμᾶς ἀληθῆ οἴεσθαι· ἐγὼ μέντοι d.
ὑμᾶς οὐκ οἴομαι, ἀλλ' εὖ οἶδα. ΕΤΑΙ. Ἀεὶ ὅμοιος εἶ, ὦ
Ἀπολλόδωρε. ἀεὶ γὰρ σαυτόν τε κακηγορεῖς καὶ τοὺς ἄλ-
λους· καὶ δοκεῖς μοι ἀτεχνῶς πάντας ἀθλίους ἡγεῖσθαι πλὴν
Σωκράτους, ἀπὸ σαυτοῦ ἀρξάμενος. καὶ ὁπόθεν ποτὲ ταύ-
την τὴν ἐπωνυμίαν ἔλαβες τὸ μανικὸς καλεῖσθαι, οὐκ οἶδα
ἐγωγε. ἐν μὲν γὰρ τοῖς λόγοις ἀεὶ τοιοῦτος εἶ σαυτῷ τε καὶ
τοῖς ἄλλοις ἀγριαίνεις, πλὴν Σωκράτους. ΑΠΟΛ. Ὦ φίλ- e.
τατε, καὶ δῆλόν γε δὴ ὅτι οὕτω διανοούμενος καὶ περὶ ἐμαυ-

cimus. quapropter, quemadmodum a principio dixi, in his rebus satis praemeditatus sum. Quod si iterum vobis recenseri haec vultis, iterum recensebo. nam quoties vel ipse de philosophia sermonem habeo, vel dicentes alios audio, praeter id, quod prodesse mihi id putem, mirifice laetor. quoties autem sermones alios audio, vestros praesertim, qui cumulandis pecuniis studetis semper, & ipse angor, & vestri misereor, quod efficere aliquid existimetis, cum nihil efficiatis. Forte etiam vos me infelicem putatis, quos & ipse de me vera putare arbitror: ego autem vos non puto quidem, sed certo scio. *Fu.* Semper tui similis es, o Apollodore. perpetuo enim tibi ipsi & aliis detrahis, ac videris procul dubio te quidem inprimis, deinde alios omnes, praeter unum Socratem, infelices putare. unde vero insani cognomen tibi exortum sit, nescio. semper enim loquendo te & alios acerbe ac duriter tractas, Socratem unum probas. *Apol.* O dilectissime vir, ex eo insanire & delirare me constat,

τοῦ καὶ περὶ ὑμῶν, μέλλομαι καὶ παρασκευάζω. ΕΤΑΙ. Οὐκ ἄξιον περὶ τούτων, ὦ Ἀπολλόδωρε, νῦν ἐριζειν· ἀλλ' ὅπερ ἐδεόμεθά σου, μὴ ἄλλως ποιήσῃς, ἀλλὰ διήγησαι τίνες ἦσαν οἱ λόγοι. ΑΠΟΛ. Ἦσαν τοίνυν ἐκεῖνοι τοιοίδέ τινες. μᾶλλον
P. δ' ἐξ ἀρχῆς ὑμῖν, ὡς ἐκεῖνος διηγεῖτο, καὶ ἐγω πειράσομαι
173. a. διηγήσασθαι. ἔφη γάρ οἱ Σωκράτη ἐντυχεῖν, λελουμένον τε καὶ τὰς βλαύτας ὑποδεδεμένον· ἃ ἐκεῖνος ὀλιγάκις ἐποίει καὶ ἔρεσθαι αὐτὸν ὅποι ἴοι, οὕτω καλὸς γεγενημένος. καὶ τὸν εἰπεῖν ὅτι ἐπὶ δεῖπνον, εἰς Ἀγάθωνος. χθὲς γὰρ αὐτὸν διέφυγον τοῖς ἐπινικίοις, φοβηθεὶς τὸν ὄχλον· ἀμολόγησα δ' εἰς τήμερον παρέσεσθαι. ταῦτα δὴ ἐκαλλωπισάμην, ἵνα καλὸς
b. παρὰ καλὸν ἴω. ἀλλὰ σὺ, ἦ δ' ὅς, Ἀριστόδημε, πῶς ἔχεις πρὸς τὸ ἐθέλειν ἀνιέναι ἄκλητος ἐπὶ δεῖπνον; Κἀγὼ, ἔφη, εἶπον ὅτι, οὕτως ὅπως ἂν σὺ κελεύῃς. Ἕπου τοίνυν, ἔφη, ἵνα καὶ τὴν παροιμίαν διαφθείρωμεν μεταβάλλοντες, ὡς ἄρα καὶ ἐπ' ἀγαθῶν ἐπὶ δαῖτας ἴασιν αὐτόματοι ἀγαθοί. Ὅμηρος μὲν γὰρ κινδυνεύει οὐ μόνον διαφθεῖραι, ἀλλὰ καὶ ὑβρίσαι εἰς ταύτην

quod ita de me deque vobis exiſtimem. *Fa.* De his in praeſentia contendere, Apollodore, nequaquam decet: ſed precibus noſtris obſequere, &, qui ſermones illi fuerint, nobis expone. *Apol.* Tales utique illi fuerunt. immo vero a principio, eodem ordine, quo Ariſtodemus retulit, vobis ipſe nunc recenſere conabor. Inquit enim, Socratem ſe offendiſſe, & lotum, & calceis pedes ornatum, quae ille raro faciebat: interrogaſſe vero, quonam ita ornatus iret. & reſpondiſſe Socratem, Agathonis in domum coenatum: heſternam vero coenam vitaſſe, quod turbae propter Agathonis palmam concurſum veritus eſſet: promiſiſſe autem, ſequenti die ſe affuturum. ea vero de cauſa ſe ornaſſe, ut pulcher ad pulchrum iret. quaeſiſſe inſuper, Quonam pacto tu, Ariſtodeme, ad coenam proficiſceris non vocatus? Ut tu inſſeris, dicebam, inquit. Sequere igitur, inquit, me, ut proverbium perdamus, illud in hunc modum mutantes, quod ad bonorum coenas boni etiam non invitati proficiſcuntur. Homerus

τὴν παροιμίαν. ποιήσας γὰρ τὸν Ἀγαμέμνονα διαφερόντως
ἀγαθὸν ἄνδρα τὰ πολεμικὰ, τὸν δὲ Μενέλεων μαλθακὸν
καὶ χμητὴν, θυσίαν παρασκευάσαντος τοῦ Ἀγαμέμνο- c.
νος, ἄκλητον ἐποίησεν ἐλθόντα τὸν Μενέλεων ἐπὶ τὴν δοχὴν,
χείρω ὄντα ἐπὶ τὴν τοῦ ἀμείνονος. Ταῦτ' ἀκούσας εἰπεῖν ἔφη,
Ἴσως μέντοι κινδυνεύω καὶ ἐγὼ, οὐχ ὡς σὺ λέγεις, ὦ Σώ-
κρατες, ἀλλὰ κατ' Ὅμηρον, φαῦλος ὢν ἐπὶ σοφοῦ ἀνδρὸς
ἰέναι δοχὴν ἄκλητος. ἆρ' οὖν ἄγων με τι ἀπολογήσῃ; ὡς ἐγω-
γε οὐχ ἑκὼν ἄκλητος ἥξειν, ἀλλ' ὑπὸ σοῦ κεκλημένος.
Σὺν τε δύ', ἔφη, ἐρχομένω, πρὸ ὁδοῦ βουλευσόμεθα ὅ, τι d.
ἐροῦμεν. ἀλλὰ ἴωμεν. Τοιαῦτ' ἄττα σφᾶς ἔφη διαλεχθέντας
ἰέναι. τὸν οὖν Σωκράτη ἑαυτῷ πως προσέχοντα τὸν νοῦν,
κατὰ τὴν ὁδὸν πορευέσθαι ὑπολειπόμενον· καὶ περιμένοντος
οὐ κελεύειν προϊέναι εἰς τὸ πρόσθεν. ἐπειδὴ δὲ γενέσθαι ἐπὶ τῇ
οἰκίᾳ τῇ Ἀγάθωνος, ἀνεῳγμένην καταλαμβάνειν τὴν θύ-
ραν· καί τι ἔφη αὐτόθι γελοῖον παθεῖν. τὸν μὲν γὰρ εὐθὺς

quidem videtur non modo non obſervare, ſed & violare proverbium. nam cum Agamemnonem in re militari ſtrenuum virum finxiſſet, Menelaum vero mollem: convivium celebrante poſt ſacrificium Agamemnone, Menelaum inducit ultro ad menſam Agamemnonis venientem. ubi deteriorem ad praeſtantioris viri menſam non arceſſitum venire fecit. Haec audiens, Forte & ipſe, o Socrates, dicebam, inquit, non talis, qualem tu inquis, ſed quemadmodum induxit Homerus, vilis homunculus ad ſapientis viri convivium ultro venire videbor. Cum ergo me ducas, vide, quam adventus mei rationem aſſignes. ego enim me invocatum venire non conitebor, ſed abs te invitatum dicam. In ipſo itinere, inquit, quid dicturi ſimus, duo cum ſimus, forte conſultabimus. ſed eamus iam. Talia quaedam inter ſe cum diſputaſſent, iviſſe dicebat: & Socratem cogitabundum lento nimis paſſu gradientem relictumque cum exſpectaſſet, tandem iuſſiſſe, ut praeiret. Cum vero aedibus Agathonis appropinquaret, apertam ianuam inveniſſe, & contigiſſe ridiculum

e. παῖδα τινὰ εἰσιόντα ἀπαντήσαντα ἄγειν οὗ κατέκειντο οἱ ἄλλοι, καὶ καταλαμβάνειν ἤδη μέλλοντας δειπνεῖν. εὐθὺς δ' οὖν ὡς ἰδεῖν τὸν Ἀγάθωνα, Ὦ, φάναι, Ἀριστόδημε, εἰς καλὸν ἥκεις, ὅπως συνδειπνήσῃς· εἰ δ' ἄλλου τινὸς ἕνεκα ἦλθες, εἰσαῦθις ἀναβαλοῦ. ὡς καὶ χθὲς ζητῶν σε ἵνα καλέσαιμι, οὐχ οἷός τ' ἦν ἰδεῖν. ἀλλὰ Σωκράτη ἡμῖν πῶς οὐκ ἄγεις; Καὶ ἐγώ, ἔφη, μεταστρεφόμενος, οὐδαμοῦ ὁρῶ Σωκράτη ἑπόμενον. εἶπον οὖν ὅτι καὶ αὐτὸς μετὰ Σωκράτους ἥκοιμι, κληθεὶς ὑπ' ἐκείνου δεῦρο ἐπὶ δεῖπνον. Καλῶς γ', ἔφη, ποιῶν σύ. ἀλλὰ
p. ποῦ ἔστιν οὗτος; Ὄπισθεν ἐμοῦ ἄρτι εἰσήει. ἀλλὰ θαυμάζω
171 a. καὶ αὐτὸς ποῦ ἂν εἴη. Οὐ σκέψῃ, ἔφη, παῖ, φάναι τὸν Ἀγάθωνα, καὶ εἰσάξεις Σωκράτη; σὺ δ', ἦ δ' ὅς, Ἀριστόδημε, παρ' Ἐρυξίμαχον κατακλίνου. Καὶ ἐμὲ ἔφη ἀπονίζειν τὸν παῖδα, ἵνα που κατακέοιτο. ἄλλον δέ τινα τῶν παίδων ἥκειν ἀγγέλλοντα, ὅτι Σωκράτης οὗτος ἀναχωρήσας, ἐν τῷ τῶν γειτόνων προθύρῳ ἔσχηκε, κἀμοῦ καλοῦντος οὐκ ἐθέλει εἰσιέναι. Ἄτοπόν γ', ἔφη, λέγεις· οὐκοῦν κάλει αὐτὸν, καὶ μὴ ἀφή-

quiddam. in ipſo enim limine famulum quendam occurriſſe, & eo, ubi accumbebant alii, introduxiſſe, quos iam coenaturos reperit. Seque ut vidit Agatho, O Ariſtodeme, dicere, opportune veniſti, ut nobiſcum coenes. ſi vero aliud quidquam vis, in aliud tempus differas. equidem heri te quaerens, invitaturus te, nuſquam vidi. Sed cur Socratem ad nos non ducis? Et ego, inquit, converſus, nuſquam Socratem vidi, reſpondique Agathoni: Equidem cum illo veni, ab eo vocatus huc ad coenam. Recte, inquit, feciſti: ſed ubinam Socrates? Poſt me modo incedebat. quare ipſe quoque admiror, & ubi ſit, neſcio. Quaeres Socratem, puer, dixiſſe Agathonem, & ad nos introduces. tu autem, Ariſtodeme, iuxta Eryximachum accumbe. Heus tu, dato huic pedibus aquam, ut iam ſedeat. Tunc ingreſſum alium puerum quendam nuntiaſſe, dicebat Ariſtodemus, Socratem ipſum in veſtibulum proximum ſeceſſiſſe, & arceſſitum ingredi nolle. Abſurdum quiddam narras, inquit. voca iterum, neque dimittas;

σῃς. Καὶ ὃς ἔφη εἰπεῖν, Μηδαμῶς· ἀλλ' ἐᾶτε αὐτόν. ἔθος b.
γάρ τι τοῦτ' ἔχει. ἐνίοτε ἀποστὰς, ὅπῃ ἂν τύχοι ἕστηκεν. ἥξει
δὲ αὐτίκα, ὡς ἐγὼ οἶμαι. μὴ οὖν κινεῖτε, ἀλλ' ἐᾶτε. Ἀλλ'
οὕτω χρὴ ποιεῖν, εἴ σοι δοκεῖ, ἔφη φάναι τὸν Ἀγάθωνα. ἀλλ'
ἡμᾶς, ὦ παῖδες, τοὺς ἄλλους ἑστιᾶτε· πάντως παρατίθετε ὅ,
τι ἂν βούλησθε, ἐπειδάν τις ὑμῖν μὴ ἐφεστήκῃ· ὃ ἐγὼ οὐδεπώ-
ποτε ἐποίησα. νῦν οὖν νομίζοντες καὶ ἐμὲ ὑφ' ὑμῶν κεκλῆσθαι
ἐπὶ δεῖπνον, καὶ τούσδε τοὺς ἄλλους, θεραπεύετε, ἵνα ὑμᾶς c.
ἐπαινῶμεν. μετὰ ταῦτα ἔφη σφᾶς μὲν δειπνεῖν, τὸν δὲ Σω-
κράτη οὐκ εἰσιέναι. τὸν οὖν Ἀγάθωνα πολλάκις κελεύειν
μεταπέμψασθαι τὸν Σωκράτη, αὐτὸν δὲ οὐκ ἐᾷν. ἥκειν οὖν
αὐτὸν, οὐ πολὺν χρόνον, ὡς εἰώθει, διατρίψαντα, ἀλλὰ μά-
λιστα σφᾶς μεσοῦν δειπνοῦντας. τὸν οὖν Ἀγάθωνα (τυγχά-
νειν γὰρ ἔσχατον, κατακείμενον μόνον) δεῦρ' ἔφη φάναι,
Σωκρατες, παρ' ἐμὲ κατάκεισο, ἵνα καὶ τοῦ σοφοῦ ἁπτόμενός
σου ἀπολαύσω ὅ σοι προσέστη ἐν τοῖς προθύροις. δῆλον γὰρ ὅτι d.
εὗρες αὐτὸ, καὶ ἔχεις· οὐ γὰρ ἂν προαπέστης. Καὶ τὸν Σω-

quousque venerit. Non sic, o Agatho, respondisse dicebat Aristodemus: sed mittite illum. mos enim Socratis iste: nonnunquam desistens, ubicunque accidit, consistere solet. veniet autem cito, ut arbitror. ne turbetis ipsum, sed suo arbitratu venire permittite. Ita, si tibi videtur, dixisse Agathonem, agendum est. ceterum vos, o pueri, aliis epulas afferte, &, quodcunque lubet, apponite: nobis siquidem nullus praesidet. Id quidem nunquam feci. quapropter existimantes nunc, me una cum aliis convivio a vobis exceptum, curate omnia diligenter, ut vestram operam comprobemus. Post haec, addebat Aristodemus, coenare eos coepisse: & Socratem, Agathonis iussu saepe vocatum, non prius intrasse, quam aliquantum se more suo exercuisset; mediaque in coena venisse. Ad quem Agathonem, qui ultimus sedebat & solus, Huc, o Socrates, dixisse, propter me accumbito, ut te tangens sapienti illa sententia fruar, quam in vestibulis excogitasti. constat enim, invenisse illam te, atque habere. neque enim

κράτη καθίζεσθαι, καὶ εἰπεῖν ὅτι, Εὖ ἂν ἔχοι, φάναι, ὦ Ἀγάθων, εἰ τοιοῦτον εἴη ἡ σοφία, ὥστ' ἐκ τοῦ πληρεστέρου εἰς τὸ κενώτερον ῥεῖν ἡμῶν, ἐὰν ἁπτώμεθα ἀλλήλων· ὥσπερ τὸ ἐν ταῖς κυλίξιν ὕδωρ, τὸ διὰ τοῦ ἐρίου ῥέον ἐκ τῆς πληρεστέρας εἰς τὴν κενωτέραν. εἰ γὰρ οὕτως ἔχει καὶ ἡ σοφία,
e. πολλοῦ τιμῶμαι τὴν παρά σοι κατάκλισιν. οἶμαι γάρ με παρὰ σοῦ πολλῆς καὶ καλῆς σοφίας πληρωθήσεσθαι. ἡ μὲν γὰρ ἐμὴ, φαύλη τις ἂν εἴη, καὶ ἀμφισβητήσιμος, ὥσπερ ὄναρ οὖσα· ἡ δὲ σὴ, λαμπρά τε καὶ πολλὴν ἐπίδοσιν ἔχουσα· ἥγε παρὰ σοῦ νέου ὄντος οὕτω σφόδρα ἐξέλαμψε καὶ ἐκφανὴς ἐγένετο πρώην ἐν μάρτυσι τῶν Ἑλλήνων πλέον ἢ τρισμυρίοις. Ὑβριστὴς εἶ, ἔφη, ὦ Σώκρατες, ὁ Ἀγάθων. ἀλλὰ ταῦτα μὲν καὶ ὀλίγον ὕστερον διαδικασόμεθα ἐγώ τε καὶ σὺ περὶ τῆς σοφίας, δικαστῇ χρώμενοι τῷ Διονύσῳ· νῦν δὲ πρὸς τὸ δεῖπνον
P. 176 πρῶτα τρέπου. Μετὰ ταῦτα, ἔφη, κατακλινέντος τοῦ Σωκράτους καὶ δειπνήσαντος, καὶ τῶν ἄλλων, σπονδάς τε σφᾶς ποιήσασθαι, καὶ ᾄσαντας τὸν θεὸν καὶ τἄλλα τὰ νομιζό-

prius destitisses. Sedisse itaque Socratem, dixisseque: Bene se res nostrae haberent, Agatho, si sapientia talis esset, ut in vacuum hominem ex pleniore ipso contactu proflueret, quemadmodum aqua ex pleno calice in vacuum per lanam influens. Si enim sapientia ita se habet, permulti facio, quod apud te sedeo. me quippe abs te uberrima & praeclara sapientia repletum iri puto. Mea siquidem tenuis est & ambigua, insomnii cuiusdam instar: tua vero luculenta admodum atque praepollens, utpote quae in adolescentia tua heri in conspectu plus quam triginta millium Graecorum, tam clare emicuit & effulsit. Cotumeliosus, inquit Agatho, es, o Socrates. atqui haec postea de sapientia ego ac tu diiudicabimus, Dionyso iudice: nunc autem coena. Post haec, inquit Aristodemus, cum Socrates sese reclinasset, coenassetque, aliique etiam coenati essent, libare invicem & degustare vina sacrificantium ritu, Deumque cantare coepisse, & alia quaedam, ut mos est, facientes, ad potum se convertisse.

μενα, τρέπεσθαι πρὸς τὴν πότον. Τὸν οὖν Παυσανίαν ἔφη λόγου τοιούτου τινὸς κατάρχειν, Εἶεν, ἄνδρες, φάναι, τίνα τρόπον ἥδιστα πιώμεθα; ἐγὼ μὲν οὖν λέγω ὑμῖν, ὅτι τῷ ὄντι πάνυ χαλεπῶς ἔχω ὑπὸ τοῦ χθὲς πότου, καὶ δέομαι ἀναψυχῆς τινος· οἶμαι δὲ καὶ ὑμῶν τοὺς πολλοὺς. παρῆτε γὰρ χθές. σκοπεῖσθε οὖν, τίνι τρόπῳ ἂν ὡς ῥᾷστα πίνοιμεν. τὸν οὖν Ἀριστοφάνη εἰπεῖν, Τοῦτο μέντοι εὖ λέγεις, ὦ Παυσανία, τὸ, παντὶ τρόπῳ παρασκευάσασθαι ῥᾳστώνην τινὰ τῆς πόσεως. καὶ γὰρ καὶ αὐτός εἰμι τῶν χθὲς βεβαπτισμένων. Ἀκουσαντα οὖν αὐτῶν ἔφη Ἐρυξίμαχον τὸν Ἀκουμένου, Ἢ καλῶς, φάναι, λέγετε. καὶ ἔτι ἑνὸς δέομαι ὑμῶν ἀκοῦσαι, πῶς ἔχει πρὸς τὸ ἐρρῶσθαι πίνειν Ἀγάθων. Οὐδαμῶς, φάναι, οὐδ' αὐτὸς ἐρρώμαι. Ἕρμαιον ἂν εἴη ἡμῖν, ἦ δ' ὅς, ὡς ἔοικε, ἐμοί τε καὶ Ἀριστοδήμῳ καὶ Φαίδρῳ, καὶ τοῖσδε, εἰ ὑμεῖς οἱ δυνατώτατοι πίνειν, νῦν ἀπειρήκατε. ἡμεῖς μὲν γὰρ ἀεὶ ἀδύνατοι. Σωκράτη δ' ἐξαίρω τοῦ λόγου· ἱκανὸς γὰρ καὶ ἀμφότερα. ὥστ' ἐξαρκέσει αὐτῷ ὁπότερ' ἂν ποιῶμεν. ἐπειδὴ οὖν μοὶ

Unde Pauſaniam ita loqui coepiſſe: Videndum eſt, o viri, quo pacto levius ſuaviuſque bibamus. nam ut de me inprimis verum fatear, gravatum adhuc heſterno mero me ſentio, & intermiſſione quadam indigeo. opinor quoque, & plurimos veſtrûm ſimiliter affectos eſſe: heri enim adfuiſtis. Conſiderate itaque, quomodo levius ſalubriuſque bibamus. Ei mox Ariſtophanem reſpondiſſe: Scite loqueris, Pauſania, potui moderationem quandam adhibendam eſſe. etenim ego quoque ex his ſum, qui heri ingurgitarunt. Cum haec audiſſet Eryximachus Acumeni filius, Probe dicitis, inquit. atqui hoc inſuper a vobis audire deſidero, quantum bibendo valeat Agatho. Minime quidem, Agathonem dixiſſe. confert id ſane nobis, mihi, inquam, & Ariſtodemo, & Phaedro, atque his aliis, quod vos, qui ad bibendum valetis plurimum, nunc tanquam bibendo defeſſi prohibeatis. nos enim ſemper imbecilles, excepto Socrate, qui ad utrumque idoneus eſt. quocirca, quodcunque agamus, perinde erit. Hic Eryxi-

ἐκεῖ οὐδεὶς τῶν παρόντων πρόθυμως ἔχειν πρὸς τὸ πολὺν
πίνειν οἶνον, ἴσως ἂν ἐγὼ περὶ τοῦ μεθύσκεσθαι, οἷόν ἐστι,
τἀληθῆ λέγων, ἧττον ἂν εἴην ἀηδής. ἐμοὶ γὰρ δὴ τοῦτό γε
d. οἶμαι καταδηλον γεγονέναι ἐκ τῆς ἰατρικῆς, ὅτι χαλεπὸν
τοῖς ἀνθρώποις ἡ μέθη ἐστί· καὶ οὔτε αὐτὸς ἑκὼν εἶναι πρόφρων
ἐθελήσαιμι ἂν πιεῖν, οὔτε ἄλλῳ συμβουλεύσαιμι, ἄλλως τε
καὶ κραιπαλῶντα ἔτι ἐκ τῆς προτεραίας. Ἀλλὰ μήν, ἔφη
Φάναι ὑπολαβόντα Φαίδρον τὸν Μυρινούσιον, ἔγωγέ σοι εἰω-
θα πείθεσθαι, ἄλλως τε καὶ ἅττ' ἂν περὶ ἰατρικῆς λέγῃς·
νῦν δ' αὖ βούλονται καὶ οἱ λοιποί. Ταῦτα δὴ ἀκούσαντας
e. συγχωρεῖν πάντας μὴ διὰ μέθης ποιήσασθαι τὴν ἐν τῷ πα-
ρόντι συνουσίαν, ἀλλ' οὕτω πίνοντας πρὸς ἡδονήν. Ἐπειδὴ
τοίνυν, Φάναι τὸν Ἐρυξίμαχον, τοῦτο μὲν δέδοκται, πίνειν
ὅσον ἂν ἕκαστος βούληται, ἐπάναγκες δὲ μηδὲν εἶναι, τὸ μετὰ
τοῦτο εἰσηγοῦμαι, τὴν μὲν ἄρτι εἰσελθοῦσαν αὐλητρίδα χαι-
ρειν ἐᾶν, αὐλοῦσαν ἑαυτῇ, ἢ, ἐάν γε βούληται, ταῖς γυναιξὶ
ταῖς ἔνδον· ἡμᾶς δὲ διὰ λόγων ἀλλήλοις συνεῖναι τετήμερον.

machum dixiſſe: Poſtquam praeſentium nullus ingurgitare mihi velle videtur, forte, ſi vera de ebrietate dixero, minus ero moleſtus. Id ſiquidem ex medicinae peritia apud me conſtat, grave quiddam eſſe hominibus ebrietatem. nec enim ſponte ſupervacue bibere unquam vellem, nec alteri conſulerem, praeſertim ſi quis ex crapula heſterna laboret. Huic Phaedrum Myrinuſium dixiſſe, Ariſtodemus inquit: Equidem ſemper tibi fidem habui, in medicina praeſertim: nunc ſimiliter, modo ceteri quoque conſentiant. Haec cum audiſſent, omnes conceſſiſſe inquit, non ad ebrietatem in praeſenti convivio, ſed ad voluptatem, eſſe bibendum. Tum Eryximachus: Poſtquam viſum eſt, in cuiuſque arbitrio fore, quantum bibat, neminem vero, ſupra quam velit, cogendum, quod reſtat exponam. Tibicinam, quae modo ingreſſa eſt, abigendam puto, ſibi ipſi tibia perſonantem, vel, ſi velit, mulieribus, quae ſunt intus. nos autem confabulari invicem debere hodie iudico. qui vero eſſe ſermones noſtri de-

καὶ δι' οἵων λόγων, εἰ βούλεσθε, ἐθέλω ὑμῖν εἰσηγήσασθαι. Φάναι δὴ πάντας καὶ βούλεσθαι καὶ κελεύειν αὐτὸν εἰσηγεῖ- p.
σθαι. Εἰπεῖν οὖν τὸν Ἐρυξίμαχον ὅτι, Ἡ μέν μοι ἀρχὴ τοῦ 177
λόγου ἐξὶ κατὰ τὴν Εὐριπίδου Μελανίππην. οὐ γὰρ ἐμὸς ὁ a.
μῦθος, ἀλλὰ Φαίδρου τοῦδε, ὃν μέλλω λέγειν. Φαῖδρος γὰρ ἑκάστοτε πρός με ἀγανακτῶν λέγει, Οὐ δεινόν, φησίν, ὦ Ἐρυξίμαχε, ἄλλοις μέν τισι θεῶν ὕμνους καὶ παιᾶνας εἶναι ὑπὸ τῶν ποιητῶν πεποιημένους, τῷ δὲ Ἔρωτι, τηλικούτῳ ὄντι καὶ τοσούτῳ θεῷ, μηδὲ ἕνα πώποτε τοσούτων γεγονότων ποιη- b.
τῶν πεποιηκέναι μηδὲν ἐγκώμιον; εἰ δὲ βούλει αὖ σκέψασθαι τοὺς χρηστοὺς σοφιστὰς, Ἡρακλέους μὲν καὶ ἄλλων ἐπαίνους καταλογάδην συγγράφειν, ὥσπερ ὁ βέλτιστος Πρόδικος. καὶ τοῦτο μὲν ἧττον καὶ θαυμαστόν· ἀλλ' ἔγωγε ἤδη τινὶ ἐνέτυχον βιβλίῳ ἀνδρὸς σοφοῦ, ἐν ᾧ ἐνῆσαν ἅλες ἔπαινον θαυμάσιον ἔχοντες πρὸς ὠφέλειαν. καὶ ἄλλα συχνὰ τοιαῦτα ἴδοις ἂν ἐγκεκωμιασμένα. τὸ οὖν τοιούτων μὲν πέρι πολλὴν σπου- c.
δὴν ποιήσασθαι, Ἔρωτα δὲ μηδένα πω ἀνθρώπων τετολμηκέναι εἰς ταυτηνὶ τὴν ἡμέραν ἀξίως ὑμνῆσαι, ἀλλ' οὕτως

beant, si vultis, aperiam. Ad haec omnes sibi placere dixerunt, & explicare iusserunt. Eryximachus deinde, Mei, inquit, sermonis exordium secundum Euripidis Melanippen erit. neque enim mea fabula est, quam incoepturus sum, sed Phaedri. Phaedrus hic mecum saepe conqueritur, absurdum quiddam asserens, quod, cum in ceteros Deos cantilenas & hymnos poëtae finxerint, in Amorem tamen, tantum talemque Deum, nullus unquam ex tot poëtis laudem aliquam scripserit. atqui si vis, inquit, o Eryximache, quaerere, invenies profecto, Sophistas disertos soluta oratione Herculem aliosque laudasse, quemadmodum peritissimus ille Prodicus. quamquam hoc minus alicui mirum videri debet: sed & ego legi quandoque sapientis viri librum, in quo sal ad victus utilitatem miris laudibus extollebat: aliaque huius generis multa reperire licet, laudibus celebrata. In his itaque studiose versari, Amorem vero nullum adhuc hominum au-

ἠμέλητα τοσοῦτος θεὸς ταῦτα δή μοι δοκεῖ εὖ λέγειν Φαῖ-
δρος. ἐγὼ οὖν ἐπιθυμῶ, ἅμα μὲν τοῦτῳ ἔργον εἰσενεγκεῖν
καὶ χαρισασθαι, ἅμα δὲ ἐν τῷ παρόντι πρέπον μοι δοκεῖ εἶναι
ἡμῖν τοῖς παροῦσι κοσμῆσαι τὸν θεόν. εἰ οὖν ξυνδοκεῖ καὶ ὑμῖν,
d. γένοιτ' ἂν ἡμῖν ἐν λόγοις ἱκανὴ διατριβή. δοκεῖ γάρ μοι
χρῆναι ἕκαστον ἡμῶν λόγον εἰπεῖν ἔπαινον Ἔρωτος ἐπιόντα
ὡς ἂν δύνηται κάλλιστον. ἄρχειν δὲ Φαῖδρον πρῶτον, ἐπειδὴ
καὶ πρῶτος κατάκειται, καὶ ἔστιν ἅμα πατὴρ τοῦ λόγου. Οὐ-
δείς σοι, ὦ Ἐρυξίμαχε, φάναι τὸν Σωκράτη, ἐναντία ψη-
φιεῖται. οὔτε γὰρ ἂν που ἐγὼ ἀποφήσαιμι· ὃς οὐδὲν φημὶ ἄλ-
λο ἐπίστασθαι ἢ τὰ ἐρωτικά, οὔτέ που Ἀγάθων καὶ Παυτα-
e. νίας, οὐδὲ μὴν Ἀριστοφάνης, ᾧ περὶ Διόνυσον καὶ Ἀφροδί-
την πᾶσα διατριβή· οὐδὲ ἄλλος οὐδεὶς τουτωνί, ὧν ἐγὼ ὁρῶ.
καίτοι οὐκ ἐξ ἴσου γίγνεται ἡμῖν τοῖς ὑστάτοις κατακειμένοις·
ἀλλὰ ἐὰν οἱ πρόσθεν ἱκανῶς καὶ καλῶς εἴπωσιν, ἐξαρκέσει
ἡμῖν. ἀλλὰ τύχῃ ἀγαθῇ καταρχέτω Φαῖδρος, καὶ ἐγκωμια-

sum esse ad hunc usque diem pro dignitate laudare, sed usque adeo contemni, cum tamen tantus Deus sit, nonne indignum est? Mihi quidem oratio haec Phaedri vera videtur. Quare & huic munus id conferre, gratificarique cupio: & Deum hunc honorari a nobis, decens esse censeo. Quod si & vobis videtur, congrua disputatio inter nos orietur. laudandum quippe Amorem ab unoquoque nostrûm, quam dexterrime & quam praeclarissime poterimus, arbitror. incipiat autem Phaedrus, cum & primus sedeat, & huius sit sermonis inventor. Tum Socrates, Nullus tibi, o Eryximache, inquit, repugnaret. ego enim qui isthuc renuerem, cum nihil praeter amatoria scire profitear? nec etiam Agatho & Pausanias adversabuntur, & Aristophanes multo minus, cuius omne studium circa Dionysum Veneremque versatur; nec alius ullus eorum, quos nunc intueor. Quamquam non aequa sors nobis obtigit, qui extremi discumbimus. nam si priores scite abundeque depinxerint, sat nobis erit. Verum Phaedrus felicibus auspiciis iam exordiatur, Amoremque ho-

ζέτω τὸν Ἔρωτα. Ταῦτα δὴ καὶ οἱ ἄλλοι πάντες ἄρα ξυνέφασάν τε, καὶ ἐκέλευον ἅπερ ὁ Σωκράτης. πάντων μὲν οὖν ὅσα ἕκαστος εἶπεν, οὔτε πάνυ ὁ Ἀριστόδημος ἐμέμνητο, οὔτ' αὖ ἐγὼ ἃ ἐκεῖνος ἔλεγε πάντα· ἃ δὲ μάλιστα καὶ ὧν ἔδοξέμοι ἀξιομνημονεύτων εἶναι, τούτων ὑμῖν ἐρῶ ἑκάστου τὸν λόγον. πρῶτον μὲν γὰρ, ὥσπερ λέγω, ἔφη Φαίδρου, ἀρξάμενον ἐνθένδε ποθὲν, λέγειν ὅτι μέγας θεὸς εἴη ὁ Ἔρως, καὶ θαυμαστὸς ἐν ἀνθρώποις τε καὶ θεοῖς, πολλαχῇ μὲν καὶ ἄλλῃ, οὐχ ἥκιστα δὲ κατὰ τὴν γένεσιν. τὸ γὰρ ἐν τοῖς πρεσβυτάτοις εἶναι τῶν θεῶν, τίμιον, ἦ δ' ὅς· τεκμήριον δὲ τούτου· γονεῖς γὰρ Ἔρωτος οὔτ' εἰσὶν, οὔτε λέγονται ὑπ' οὐδενὸς οὔτε ἰδιώτου, οὔτε ποιητοῦ. ἀλλ' Ἡσίοδος πρῶτον μὲν χάος γενέσθαι φησὶν, — αὐτὰρ ἔπειτα Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεί· Ἠδ' Ἔρος. φησὶ μετὰ τὸ χάος δύω τούτω γενέσθαι, γῆν τε καὶ Ἔρωτα. Παρμενίδης δὲ τὴν γένεσιν λέγει, Πρώτιστον μὲν Ἔρωτα θεῶν μητίσατο πάντων. Ἡσιόδῳ δὲ καὶ Ἀκουσίλεως ὁμολογεῖ. οὕτω πολλαχόθεν ὁμο- c.

noret. His omnes, quae Socrates dixerat, assensere, similiterque iusserunt. Singula vero singulorum dicta nec Aristodemus memoria tenebat; nec ego, quae ille recensuit, singula teneo. eorum igitur orationem vobis nunc referam, qui memoratu digna dixerunt. Principio dixerunt, Phaedrum hunc in modum exorsum fuisse. Magnus Deus est Amor, & apud Deos hominesque mirandus, cum propter alia multa, tum maxime propter eius originem. cum enim ex antiquissimorum Deorum numero sit, honore dignus apparet. Id autem ex eo arguimus, quod parentes Amoris neque sunt, neque ab ullo vel poëta, vel alio quovis, traduntur. Sed Hesiodus principio Chaos exstitisse his verbis asserit: *Terra ampla stabilisque semper omnium sedes, atque Amor:* post Chaos videlicet asserens duo haec exstitisse, Terram atque Amorem. Parmenides autem de generatione illius inquit: *Ante Deos omnes primum generavit Amorem.* Acusileus quoque cum Hesiodo sentire videtur. Atque ita passim, Amo-

λογεῖται ὁ Ἔρως ἐν τοῖς πρεσβυτάτοις εἶναι. πρεσβύτατος δὲ
ὢν, μεγίστων ἀγαθῶν ἡμῖν αἴτιός ἐστιν. οὐ γὰρ ἔγωγ' ἔχω εἰ-
πεῖν ὅ, τι μεῖζόν ἐστιν ἀγαθὸν εὐθὺς νέῳ ὄντι, ἢ ἐραστὴς χρη-
στὸς, καὶ ἐρασθῆ παιδικά. ὃ γὰρ χρὴ ἀνθρώποις ἡγεῖσθαι παν-
τὸς τοῦ βίου τοῖς μέλλουσι καλῶς βιώσεσθαι, τοῦτο οὔτε
συγγένεια οἵατε ἐμποιεῖν οὕτω καλῶς, οὔτε τιμαὶ, οὔτε
d. πλοῦτος, οὔτ' ἄλλο οὐδέν, ὡς ἔρως. λέγω δὲ δὴ τί τοῦτο; τὴν
ἐπὶ μὲν τοῖς αἰσχροῖς αἰσχύνην, ἐπὶ δὲ τοῖς καλοῖς φιλοτι-
μίαν. οὐ γὰρ ἔστιν ἄνευ τούτων οὔτε πόλιν οὔτε ἰδιώτην με-
γάλα καὶ καλὰ ἔργα ἐξεργάζεσθαι. φημὶ τοίνυν ἔγω, ἀνδρα
ὁστις ἐρᾷ, εἴτι αἰσχρὸν ποιῶν κατάδηλος γίγνοιτο, ἢ πά-
σχων ὑπό του δι' ἀνανδρίαν, μὴ ἀμυνόμενος, οὔτ' ἂν ὑπὸ
πατρὸς ὀφθέντα οὕτως ἀλγῆσαι, οὔτε ὑπὸ ἑταίρων, οὔτε ὑπ'
e. ἄλλου οὐδενὸς, ὡς ὑπὸ παιδικῶν. ταυτὸν δὲ τοῦτο καὶ τὸν ἐρώ-
μενον ὁρῶμεν, ὅτι διαφερόντως τοὺς ἐραστὰς αἰσχύνεται,
ὅταν ὀφθῇ ἐν αἰσχρῷ τινι ὤν. εἰ οὖν μηχανή τις γένοιτο
ὥστε πόλιν γενέσθαι ἢ στρατόπεδον ἐραστῶν τε καὶ παιδικῶν,

rem ex antiquiſſimis eſſe, conceditur. Cum vero talis ſit, maximorum bonorum nobis eſt cauſa. Nam quid melius accidere poſſit adoleſcenti, quam optimus amator; aut amatori, quam amaſius optimus, non invenio. Duo quidem ſunt, quae a pueritia per omnem vitam ducere illum debent, qui ſit praeclare victurus: in rebus turpibus verecundia, honeſtis gloriae laudiſque ſtudium. haec autem nobis neque genus, neque divitiae, neque honores praeſtare citius ac melius, quam amor, poſſunt. neque abſque his duobus aut civitas unquam, aut privatus, praeclarum aliquid & magnificum perficere poterit. Aſſero equidem, amatorem, ſi turpe aliquid agere vel pati ab aliquo per ignaviam, nec repugnare & ulciſci deprehendatur, ſeu a patre, ſive ab amicis, ſive ab alio quovis homine, haud tam vehementer angi, quam ſi forte ab amaſio deprehenderetur. Similiter adoleſcentem tunc maxime erubeſcere cernimus, cum amator eum turpe quid committentem offendit. Si quo pacto fieri civitas vel exercitus

οὐκ ἔστιν ὅπως ἂν ἄμεινον οἰκήσειαν τὴν ἑαυτῶν, ἢ ἀπεχόμενοι πάντων τῶν αἰσχρῶν, καὶ φιλοτιμούμενοι πρὸς ἀλλήλους. καὶ μαχόμενοί γ' ἂν οἱ τοιοῦτοι μετ' ἀλλήλων νικῷεν ἂν, ὀλίγοι ὄντες, ὡς ἔπος εἰπεῖν, πάντας ἀνθρώπους. ἐρῶν γὰρ ἀνὴρ ὑπὸ παιδικῶν ὀφθῆναι ἢ λιπὼν τάξιν, ἢ ὅπλα ἀποβαλὼν, ἧττον ἂν ὑήπου δεξαιτο ἢ ὑπο παντων τῶν ἀλλων, καὶ πρὸ τούτου τεθνάναι ἂν πολλάκις ἕλοιτο· καὶ μὴν ἐγκαταλιπεῖν γε τὰ παιδικὰ, ἢ μὴ βοηθῆσαι κινδυνεύοντι. οὐδεὶς οὕτω κακὸς ὄντινα οὐκ ἂν αὐτὸς ὁ Ἔρως ἔνθεον ποιήσειε πρὸς ἀρετήν· ὥστε ὁμοιον εἶναι τῷ ἀρίστῳ φύσει. καὶ ἀτεχνῶς, ὃ ἔφη Ὅμηρος, μένος ἐμπνεῦσαι ἐνίοις τῶν ἡρώων τὸν θεὸν, τοῦτο ὁ Ἔρως τοῖς ἐρῶσι παρέχει γιγνόμενον παρ' αὐτοῦ. καὶ μὴν ὑπεραποθνήσκειν γε μόνοι ἐθέλουσιν οἱ ἐρῶντες, οὐ μόνον ἔτι ἄνδρες, ἀλλὰ καὶ γυναῖκες. τοῦτο δὲ καὶ ἡ Πελίου θυγάτηρ Ἄλκηστις ἱκανὴν μαρτυρίαν παρέχεται, ὑπὲρ τοῦδε τοῦ λόγου, εἰς τοὺς Ἕλληνας ἐθελήσασα μόνη ὑπὲρ τοῦ αὐτῆς ἀνδρὸς ἀποθανεῖν, ὄντων αὐτῷ πατρός τε καὶ μητρός·

p. 179 a. b.

posset partim ex his, qui amant, partim ex his, qui amantur; supra quam dici possit, fortiter agerent administrarentque singula, dum per verecundiam a turpibus abstinerent, & ad honesta, quasi quadam aemulatione, contenderent: talesque homines vel pauci numero, universos, ut ita dixerim, homines proelio superarent. amator sane vel deserere ordinem, vel arma abiicere coram amato, vehementius quam coram cunctis aliis hominibus erubesceret. immo obire saepenumero mallet, quam dilectum derelinquere, & in periculis non succurrere. Nec quisquam adeo ignavus est, quem Amor non inflammet, & ad virtutem divinum reddat, ut viro fortissimo similis evadat. Etenim, quod Homerus inquit, vim furoremque a Deo quibusdam heroum inspiratum, hoc Amor amantibus dedit. Quin etiam pro alio mori amantes soli eligunt, non viri tantum, sed etiam mulieres. cuius sermonis testimonium Graecis Alceste, Peliae filia, manifestum exhibuit, quae sola elegit pro viro suo perire, cum tamesi ille & patrem & ma-

c. οὓς ἐκείνη τοσοῦτον ὑπερεβάλετο τῇ φιλίᾳ, διὰ τὸν ἔρωτα, ὥστε ἀποδεῖξαι αὐτοὺς ἀλλοτρίους ὄντας τῷ υἱεῖ, καὶ ὀνόματι μόνον προσήκοντας. καὶ τοῦτ' ἐργασαμένη τὸ ἔργον, οὕτω καλὸν ἔδοξεν ἐργάσασθαι οὐ μόνον ἀνθρώποις ἀλλὰ καὶ θεοῖς, ὥστε πολλῶν πολλὰ καὶ καλὰ εἰργασμένων, εὐαριθμήτοις δή τισιν ἔδοσαν τοῦτο γέρας οἱ θεοὶ, ἐξ ᾅδου ἀνεῖναι πάλιν τὴν ψυχήν· ἀλλὰ καὶ τὴν ἐκείνης ἀνεῖσαν, ἀγασθέν-
d. τες τῷ ἔργῳ. οὕτω καὶ θεοὶ τὴν περὶ τὸν ἔρωτα σπουδήν τε καὶ ἀρετὴν μάλιστα τιμῶσιν. Ὀρφέα δὲ τὸν Οἰάγρου ἀτελῆ ἀπέπεμψαν ἐξ ᾅδου, φάσμα δείξαντες τῆς γυναικὸς ἐφ' ἣν ἐκὼν ἦκεν, αὐτὴν δὲ οὐ δόντες· ὅτι μαλθακίζεσθαι ἐδόκει, ἅτε ὢν κιθαρῳδὸς, καὶ οὐ τολμᾷν ἕνεκα τοῦ ἔρωτος ἀποθνήσκειν, ὥσπερ Ἄλκηστις, ἀλλὰ διαμηχανᾶσθαι ζῶν εἰσιέναι εἰς ᾅδου. τοιγάρτοι διὰ ταῦτα δίκην αὐτῷ ἐπέθεσαν, καὶ ἐποίησαν τὸν
e. θάνατον αὐτοῦ ὑπὸ γυναικῶν γενέσθαι. οὐχ ὥσπερ Ἀχιλλέα τὸν τῆς Θέτιδος υἱὸν ἐτίμησαν, καὶ εἰς μακάρων νήσους ἀπέπεμψαν, ὅτι πεπυσμένος παρὰ τῆς μητρὸς ὡς ἀποθανοῖ-

trem haberet: quos illa propter amorem, caritate adeo superavit, ut eos extraneos, & nomine dumtaxat filio ſuo coniunctos eſſe monſtraret. Quod quidem facinus tam praeclarum non tantum ab hominibus, verum etiam a Diis, eſt iudicatum, ut cum e multis, qui multa & egregia geſſerant, Dii reviviſcendi munus paucis admodum & praeſtantiſſimis attribuiſſent, hanc ab inferis continuo ſuſcitarint, tam egregio facinore delectati. tanti ſtudium virtutemque circa amorem Dii aeſtimant. Orpheum vero, Oeagri filium, voti impotem ex inferis emiſerunt. neque enim feminam, cuius gratia deſcenderat, reſtituere, ſed illius phantaſma monſtrarunt: cum non auderet, ut Alceſte, amoris gratia mori, ſed, utpote citharoedus, mollitie quadam abſterreretur, & machinamenta quaedam excogitaret, quibus vivens ad inferna deſcenderet. cuius delicti poenas eum pendere decreverunt, iuſſeruntque a feminis lacerari. Achillem autem, Thetidis filium, honorarunt, & in beatorum inſulas miſerunt, quia, cum accepiſſet a matre, ſi

το ἀποκτείνας Ἕκτορα, μὴ ποιήσας δὲ τοῦτο, οἴκαδ' ἐλθὼν γηραιὸς τελευτήσοι, ἐτόλμησεν ἑλέσθαι, βοηθήσας τῷ ἐραστῇ Πατρόκλῳ καὶ τιμωρήσας, οὐ μόνον ὑπεραποθανεῖν ἀλλὰ καὶ ἐπαποθανεῖν τετελευτηκότι. ὅθεν δὴ καὶ ὑπεραγασθέντες οἱ θεοὶ διαφερόντως αὐτὸν ἐτίμησαν, ὅτι τὸν ἐραστὴν οὕτω περὶ πολλοῦ ἐποιεῖτο. Αἰσχύλος δὲ φλυαρεῖ, φάσκων Ἀχιλλέα Πατρόκλου ἐρᾶν, ὃς ἦν καλλίων οὐ μόνον Πατρόκλου, ἀλλ' ἄρα καὶ τῶν ἡρώων ἁπάντων, καὶ ἔτι ἀγένειος· ἔπειτα νεώτερος πολύ, ὡς φησιν Ὅμηρος. ἀλλὰ γὰρ τῷ ὄντι μάλιστα μὲν ταύτην τὴν ἀρετὴν οἱ θεοὶ τιμῶσι τὴν περὶ τὸν ἔρωτα. μᾶλλον μέντοι θαυμάζουσι καὶ ἄγανται καὶ εὖ ποιοῦσιν ὅταν ὁ ἐρώμενος τὸν ἐραστὴν ἀγαπᾷ, ἢ ὅταν ὁ ἐραστὴς τὰ παιδικά. θειότερον γὰρ ἐραστὴς παιδικῶν· ἔνθεος γάρ ἐστι. διὰ ταῦτα καὶ τὸν Ἀχιλλέα τῆς Ἀλκήστιδος μᾶλλον ἐτίμησαν, εἰς μακάρων νήσους ἀποπέμψαντες. οὕτω δὴ καὶ ἔγωγε φημὶ Ἔρωτα θεῶν πρεσβύτατον καὶ τιμιώτατον καὶ κυριώτατον εἶναι p. 180 a.

Hectorem occidisset, statim sibi moriendum fore: sin minus, in patriam se rediturum, & senem denique moriturum: audacter elegit pro Patroclo amatore suo pugnare, eiusque mortem ulcisci; nec pro illo mori solum, sed &, peremto illo, interfici. quod quidem magnopere probantes Dii, insigni eum gloria decorarunt, quia tanti amatorem suum fecisset. Aeschylus autem plane delirat, cum Patroclum ab Achille dicit amatum, qui non Patroclo tantum, verum etiam cunctis heroibus, forma praestabat, eratque adhuc imberbis, multoque natu minor, ut inquit Homerus. Revera virtutem hanc in amore Dii plurimi faciunt: vehementius autem admirantur delectanturque, ac maiora beneficia conferunt, quando amatus amatorem tutatur & diligit, quam cum amator amatum. Divinior enim est amator amato, cum divino furore sit raptus. Quamobrem Achillem magis, quam Alcestem, honorarunt: illum quippe in beatorum insulas transmiserunt. Ex his omnibus Amorem assero Deorum omnium antiquissimum, atque honoratissimum, & maxime omnium ad virtutem & beatitu- b.

εἰς ἀρετῆς καὶ εὐδαιμονίας κτῆσιν ἀνθρώποις, καὶ ζῶσι καὶ
c. τελευτήσασι. Φαίδρου μὲν τοιοῦτόν τινα λόγον ἔφη εἰπεῖν· μετὰ δὲ Φαίδρον, ἄλλους τινὰς εἶναι, ὧν οὐ πάνυ διεμνημόνευεν· οὓς παρεὶς, τὸν Παυσανίου λόγον διηγεῖτο. εἰπεῖν δ' αὐτὸν ὅτι, Οὐ καλῶς μοι δοκεῖ, ὦ Φαίδρε, προβεβλῆσθαι ἡμῖν ὁ λόγος, τὸ ἁπλῶς οὕτω παρηγγέλθαι ἐγκωμιάζειν Ἔρωτα. εἰ μὲν γὰρ εἷς ἦν ὁ Ἔρως, καλῶς ἂν εἶχε. νῦν δὲ οὐ γάρ ἐστιν εἷς. μὴ ὄντος δὲ ἑνὸς, ὀρθότερόν ἐστι πρότερον προ-
d. ῥηθῆναι, ὁποῖον δεῖ ἐπαινεῖν. ἐγὼ οὖν πειράσομαι τοῦτο ἐπανορθώσασθαι. πρῶτον μὲν Ἔρωτα φράσαι, ὃν δεῖ ἐπαινεῖν, ἔπειτα ἐπαινέσαι ἀξίως τοῦ θεοῦ. πάντες γὰρ ἴσμεν ὅτι οὐκ ἔστιν ἄνευ Ἔρωτος Ἀφροδίτη· ταύτης δὲ μιᾶς μὲν οὔσης, εἷς ἂν ἦν Ἔρως· ἐπεὶ δὲ δύο ἐστὸν, δύο ἀνάγκη καὶ Ἔρωτε εἶναι. πῶς δ' οὐ δύο τὰ θεά; ἡ μέν γέ που, πρεσβυτέρα, καὶ ἀμήτωρ, Οὐρανοῦ θυγάτηρ, ἣν δὴ καὶ οὐρανίαν ἐπονομάζο-
e μεν· ἡ δὲ νεωτέρα, Διὸς καὶ Διώνης, ἣν δὴ πάνδημον καλοῦ-

dinem conſequendam hominibus, tam viventibus, quam defunctis, conducere. Talem fuiſſe ſermonem Phaedri narravit: poſt Phaedrum vero alios quoſdam fuiſſe locutos, ſed e memoria excidiſſe. eos igitur praetermittens, hanc, quam modo referam, orationem Pauſaniae retulit: Videtur mihi, Phaedre, haud ſatis recte ſermo ille nobis eſſe propoſitus, quo Amorem ſimpliciter laudare iubemur. nam ſi unus eſſet Amor, probe dictum fuiſſet. cum vero non unus ſit dumtaxat, ſatius eum prius, qui ſit laudandus, exprimere. hoc itaque emendare conabor. Primo enim, quem Amorem laudare deceat, explicabo: deinde pro Dei iſtius dignitate extollere nitar. Neminem profecto latet, abſque Amore Venerem nunquam eſſe. quare, ſi una eſſet Venus, unus & Amor. Quoniam vero duae ſunt Veneres, geminum quoque Amorem eſſe neceſſe eſt. Geminam autem Deam hanc eſſe, quis neget? nonne una quaedam antiquior eſt & ſine matre Venus, Coelo nata, quam coeleſtem Venerem nuncupamus? altera vero iunior, e Iove & Dione progenita, quam Pandemum, id eſt, vulgarem communem-

μεν. ἀναγκαῖον δὴ καὶ Ἔρωτα, τὸν μὲν τῇ ἑτέρᾳ συνεργὸν, πάνδημον ὀρθῶς καλεῖσθαι, τὸν δὲ, οὐράνιον. ἐπαινεῖν μὲν οὖν δεῖ πάντας θεούς· ἃ δ' οὖν ἑκάτερος εἴληχε πειρατέον εἰπεῖν. πᾶσα γὰρ πρᾶξις ὧδ' ἔχει· αὐτὴ ἐφ' ἑαυτῆς πραττομένη, οὔτε καλὴ, οὔτε αἰσχρά. οἷον, ὃ νῦν ἡμεῖς ποιοῦμεν, p. 181
ἢ πίνειν, ἢ ᾄδειν, ἢ διαλέγεσθαι, οὐκ ἔστι τούτων αὐτὸ καθ' a.
αὑτὸ καλὸν οὐδέν· ἀλλ' ἐν τῇ πράξει, ὡς ἂν πραχθῇ, τοιοῦτον ἀπέβη. καλῶς μὲν γὰρ πραττόμενον καὶ ὀρθῶς, καλὸν γίγνεται· μὴ ὀρθῶς δὲ, αἰσχρόν. οὕτω δὴ καὶ τὸ ἐρᾶν, καὶ ὁ Ἔρως, οὐ πᾶς ἐστι καλὸς, οὐδὲ ἄξιος ἐγκωμιάζεσθαι, ἀλλ' ὁ καλῶς προτρέπων ἐρᾶν. ὁ μὲν οὖν τῆς πανδήμου Ἀφροδίτης, ὡς ἀληθῶς πάνδημός ἐστι, καὶ ἐξεργάζεται ὅ, τι ἂν τύχῃ· b.
καὶ οὗτος ἐστιν ὃν οἱ φαῦλοι τῶν ἀνθρώπων ἐρῶσιν. ἐρῶσι δὲ οἱ τοιοῦτοι, πρῶτον μὲν οὐχ ἧττον γυναικῶν ἢ παίδων· ἔπειτα, ὧν καὶ ἐρῶσι, τῶν σωμάτων μᾶλλον ἢ τῶν ψυχῶν· ἔπειτα ὡς ἂν δύνωνται ἀνοητοτάτων· πρὸς τὸ διαπράξασθαι μόνον βλέποντες, ἀμελοῦντες δὲ τοῦ καλῶς, ἢ μή. ὅθεν δὴ ξυμ-

---

que vocamus? Neceſſarium itaque, Amorem, Veneris illius ſocium atque adiutorem, coeleſtem vocari; huius vero, vulgarem. Laudare quidem Deos omnes decet; ſed utriuſque Amoris opera diſtinguenda. Actionis cuiuslibet haec eſt conditio, ut ſuapte natura, neque honeſta ſit, neque turpis: ut ea, quae nunc nos agimus, bibere, canere, diſputare. nullum ex his ſe ipſo turpe, vel honeſtum: ſed agendi modus actioni certum tribuit cognomentum. quod enim bene rectèque agitur, honeſtum; quod non recte, turpe exſiſtit. Eadem ratione non quilibet amor, & quivis amandi modus, honeſtus eſt & laudandus: immo ille ſolus, qui honeſte amare nos hortatur. Etenim vulgaris communiſque Veneris amor, revera eſt & ipſe vulgaris, &, quodcunque contingit, peragit. Atque is eſt, quo pravi abiectique homines amant. amant porro feminas non minus, quam maſculos, & corpora magis, quam animos, & ſine mente homines potius, quam prudentes. ad explendum ſane deſiderium inhiant: honeſte vero, necne, expleant, omnino non

βαίνει αὐτοῖς ὅ, τι ἂν τύχωσι, τοῦτο πράττειν, ὁμοίως μὲν ἀγαθὸν, ὁμοίως δὲ τοὐναντίον. ἔστι γὰρ καὶ ἀπὸ τῆς Διὸς νεω-
c. τέρας τε οὔσης πολὺ ἢ τῆς ἑτέρας, καὶ μετεχούσης ἐν τῇ γενέσει καὶ θήλεος καὶ ἄρρενος· ὁ δὲ, τῆς οὐρανίας, πρῶτον μὲν, οὐ μετεχούσης θήλεος, ἀλλ' ἄρρενος μόνου· καὶ ἔστιν οὗτος ὁ τῶν παίδων ἔρως· ἔπειτα πρεσβυτέρας, ὕβρεως ἀμοίρου. ὅθεν δὴ ἐπὶ τὸ ἄρρεν τρέπονται οἱ ἐκ τούτου ἔρωτος ἐπιπνοι, τὸ φύσει ἐρρωμενέστερον καὶ νοῦν μᾶλλον ἔχον ἀγαπῶντες. καί τις ἂν γνοίη καὶ ἐν αὐτῇ τῇ παιδερασίᾳ τοὺς εἰλικρινῶς
d. ὑπὸ τούτου τοῦ ἔρωτος ὡρμημένους. οὐ γὰρ ἐρῶσι παίδων, ἀλλ' ἐπειδὰν ἤδη ἄρχωνται νοῦν ἴσχειν. τοῦτο δὲ πλησιάζει τῷ γενειάσκειν. παρεσκευασμένοι γὰρ, οἶμαι, εἰσὶν οἱ ἐντεῦθεν ἀρχομένοι ἐρᾶν, ὡς τὸν βίον ἅπαντα ξυνεσόμενοι, καὶ κοινῇ συμβιωσόμενοι· ἀλλ' οὐκ, ἐξαπατήσαντες, ἐν ἀφροσύνῃ λαβόντες, ὡς νέον καταγελάσαντες, οἰχήσεσθαι ἐπ' ἄλλον ἀποτρέχοντες. χρῆν δὲ καὶ νόμον εἶναι, μὴ ἐρᾶν παίδων, ἵνα

curant. Quo fit, ut, quodcunque ſors illis offert, exſequantur, & bonum ſimiliter atque malum. affectus enim huiuſmodi a Venere illa, multo, quam alia, iuniore, & utriuſque ſexus in generatione participe, profluit. Amor autem, qui coeleſtem ſequitur Venerem, quae non feminei, ſed maſculi tantum ſexus eſt particeps, puerorum tantum eſt: deinde, quoniam antiquioris Veneris eſt comes, & ipſe petulantiae omnis eſt expers. Quocirca, quicunque amore hoc inſpirati ſunt, genus maſculum, natura robuſtius & generoſius, & mentis magis particeps, diligunt. & qui amore hoc ſincere perfecteque ſunt rapti, ex hoc perſpicue dignoſcuntur, quod pueros non amant, ſed adoleſcentes, cum mente valere iam coeperint: quod tum accidit, cum proximi ſunt pubi. parati enim ſunt, arbitror, qui hinc amare incipiunt, per omnem vitam ſimul & communiter vivere, neque amatum decipere, neque ab uno in alterum amandum abire: neque enim pueros adhuc mentis expertes amant, quos deinde exoletos irrideant & relinquant. Oportet autem legibus inſtitutum eſſe, ne quis pueros amet,

μὴ εἰς ἄδηλον πολλὴ σπουδὴ ἀνηλίσκετο. τὸ γὰρ τῶν παίδων e.
τέλος ἄδηλον οἵ τελευτᾷ κακίας καὶ ἀρετῆς ψυχῆς τε πέρι
καὶ σώματος. οἱ μὲν οὖν ἀγαθοὶ τὸν νόμον τοῦτον αὐτοὶ αὐ-
τοῖς ἑκόντες τιθενται· χρὴ δὲ καὶ τούτους τοὺς πανδήμους
ἐραστὰς προσαναγκάζειν τὸ τοιοῦτον, ὥσπερ καὶ τῶν ἐλευθέ-
ρων γυναικῶν προσαναγκάζομεν αὐτοὺς καθόσον δυνάμεθα P.
μὴ ἐρᾶν. οὗτοι γὰρ εἰσιν οἱ καὶ τὸ ὀνειδος πεποιηκότες, ὥστε a.
τινὰ τολμᾶν λέγειν ὡς αἰσχρὸν χαρίζεσθαι ἐραστῆς. λέγουσι
δὲ εἰς τούτους ἀποβλέποντες, ὁρῶντες αὐτῶν τὴν ἀκαιρίαν
καὶ ἀδικίαν. ἐπεὶ οὐ δήπου κοσμίως τε καὶ νομίμως ὁτιοῦν
πρᾶγμα πραττόμενον, ψόγον ἂν δικαίως φέροι. καὶ δὴ καὶ ὁ
περὶ τὸν ἔρωτα νόμος ἐν μὲν ταῖς ἄλλαις πόλεσι νοῆσαι ῥᾴ-
διος· ἁπλῶς γὰρ ὥρισται· ὁ δ' ἐνθάδε καὶ ὁ ἐν Λακεδαίμονι,
ποικίλος. ἐν Ἤλιδι μὲν γὰρ καὶ ἐν Βοιωτοῖς, καὶ οὗ μὴ σοφοὶ b.
λέγειν, ἁπλῶς νενομοθέτηται καλὸν τὸ χαρίζεσθαι ἐραστῆς·
καὶ οὐκ ἄν τις εἴποι οὔτε νέος οὔτε παλαιὸς ὡς αἰσχρόν· ἵνα,

ne in re ambigua fruſtra tantum ſtudium ponatur. incertum enim eſt, quo aut corpus, aut anima puerorum, tam ſecundum virtutem, quam ſecundum vitium, poſtremo evadat. Probi quidem viri legem hanc ſibi ipſis ſponte proponunt. oportet quoque eidem legi vulgares illos amatores, adhibita neceſſitate, ſubiicere: quemadmodum illos ipſos pro viribus amare mulieres liberas prohibemus. Nam hi ſunt, qui occaſionem conviciis & quorundam ſententiae praebuerunt, qui amatori obſequi turpe dicunt. qui quidem de vulgaribus amatoribus iſta loquuntur, quia importunitatem iniuſtitiamque illorum agnoſcunt & improbant. nihil autem, quod modeſte & legitime fit, vituperare decet. Lex utique de amore, in civitatibus aliis inſtituta, intellectu facilis eſt, quoniam ſimpliciter traditur: apud nos autem & Lacedaemonios varia exſtat. In Elide namque & apud Boeotios, & ubi dicendi arte homines carent, ſimpliciter lege ſtatutum eſt, morem amantibus eſſe gerendum: nec apud eos quiſquam aut iuvenis, aut ſenex, turpe id praedicant. Quod quidem ea de cauſa ab illis

οἶμαι, μὴ πράγματ' ἔχωσι, λόγῳ πειρώμενοι πείθειν τοὺς νέους, ἅτε ἀδύνατοι λέγειν) τῆς δὲ Ἰωνίας καὶ ἄλλοθι πολλαχοῦ αἰσχρὸν νενόμιϛαι, ὅσοι ὑπὸ βαρβάροις οἰκοῦσι. τοῖς γὰρ βαρβάροις διὰ τὰς τυραννίδας αἰσχρὸν τοῦτό γε, καὶ ἥ
c. γε φιλοσοφία καὶ ἡ φιλογυμναϛία. οὐ γὰρ, οἶμαι, συμφέρει τοῖς ἄρχουσι φρονήματα μεγάλα ἐγγίγνεϛθαι τῶν ἀρχομένων, οὐδὲ φιλίας ἰσχυρὰς καὶ κοινωνίας· ὁ δὴ μάλιϛα φιλεῖ τά τε ἄλλα πάντα καὶ ὁ ἔρως ἐμποιεῖν. ἔργῳ δὲ τοῦτο ἔμαθον καὶ οἱ ἐνθάδε τύραννοι. ὁ γὰρ Ἀριϛογείτονος ἔρως καὶ Ἁρμοδίου φιλία βέβαιος γενομένη κατέλυσεν αὐτῶν τὴν ἀρχήν. οὕτως, οὗ μὲν αἰσχρὸν ἐτέθη χαρίζεϛθαι ἐραϛαῖς, κακία τῶν θεμένων κεῖται· τῶν μὲν ἀρχόντων πλεονεξία, τῶν
d. δὲ ἀρχομένων ἀνανδρία· οὗ δὲ καλὸν ἁπλῶς ἐνομίϛθη, διὰ τὴν τῶν θεμένων τῆς ψυχῆς ἀργίαν. ἐνθάδε δὲ πολὺ τούτων κάλλιον νενομοθέτηται· καὶ, ὅπερ εἶπον, οὐ ῥᾴδιον κατανοῆϛαι. ἐνθυμηθέντι γὰρ, ὅτι λέγεται, κάλλιον τὸ φανερῶς ἐρᾶν

arbitror eſſe factum, ne in perſuadendis adoleſcentibus elaborandum illis eſſet, utpote qui ad orandum inepti ſunt. In Ionia vero, & apud alios multos, qui barbaris ſubiecti ſunt, omnino turpe hoc lege cenſetur. nam inter barbaros quidem propter tyrannides turpe iſtud habetur, & ſapientiae praeterea atque gymnaſticae ſtudium. neque enim tyrannos conducunt ea ſtudia, quae ſubditorum mentes acutas generoſaſque reddunt, quaeve amicitias inter eos indiſſolubiles, ſocietateſque frequentes pariunt: quae cum ab aliis, tum vel maxime ab amore, gigni conſueverunt. Hoc autem ex re ipſa tyranni noſtri didicerunt. nam Ariſtogitonis amor & Harmodii amicitia confirmata, illorum tyrannidem diſſipavit. Atque ita ubicunque amoris indulgentia funditus ſublata eſt, pravitate illorum, qui leges condiderunt, eſt vetita, principum quidem avaritia augendique imperii ſtudio, & ſubditorum ignavia. ubi vero penitus permiſſa eſt, propter eorum, qui ſic ſtatuerunt, ſocordiam & ſegnitiem eſt permiſſa. Hic vero multo rectius eſt inſtitutum: ſed, ut dicebam, non facile cogni-

τοῦ λάθρα, καὶ μάλιστα τῶν γενναιοτάτων καὶ ἀρίστων, καὶ
ἂν αἰσχίους ἄλλων ὦσι· καὶ ὅτι αὖ ἡ παρακέλευσις τῷ ἐρῶντι
παρὰ πάντων θαυμαστή, οὐχ ὡς τι αἰσχρὸν ποιοῦντι· καὶ
ἐλόντι τε, καλὸν δοκεῖ εἶναι, καὶ μὴ ἐλόντι αἰσχρόν· καὶ πρὸς e.
τὸ ἐπιχειρεῖν ἐλεῖν, ἐξουσίαν ὁ νόμος δέδωκε τῷ ἐραστῇ, θαυ-
μαστὰ ἔργα ἐργαζομένῳ ἐπαινεῖσθαι· ἃ εἴτις τολμῴη ποιεῖν,
ἀλλ' ὅτιοῦν δικῶν καὶ βουλόμενος διαπράξασθαι πλὴν τοῦ-
το, φιλοσοφίας τὰ μέγιστα καρποῖτ' ἂν ὀνείδη. εἰ γὰρ ἢ χρή- p.
ματα βουλόμενος παρά του λαβεῖν, ἢ ἀρχὴν ἄρξαι, ἤ τιν' 183
ἄλλην δύναμιν ἐθέλει ποιεῖν, οἷά περ οἱ ἐραστὰι πρὸς τὰ παι- a.
δικά, ἱκετείας τε καὶ ἀντιβολήσεις ἐν ταῖς δεήσεσι ποιού-
μενοι, καὶ ὅρκους ὀμνύντες, καὶ κοιμήσεις ἐπὶ θύραις, καὶ
ἐθελοντὰς δουλείας δουλεύειν, οἵας οὐδ' ἂν δοῦλος οὐδεὶς, ἐμ-
πόδιζοιτο ἂν μὴ πράττειν οὕτω τὴν πρᾶξιν καὶ ὑπὸ φίλων
καὶ ὑπὸ ἐχθρῶν, τῶν μὲν, ὀνειδιζόντων κολακείας καὶ ἀνελευ- b.
θερίας, τῶν δὲ νουθετούντων, καὶ αἰσχυνομένων ὑπὲρ αὐτῶν·

tu. Concedi plane videtur, si quis animadvertat, quod dicitur, praeclarius esse palam amare, quam clanculum, eosque praecipue, qui generosi & optimi sunt, etiamsi minus formosi, quam alii, videantur. Favet quoque amatori quamplurimum communis omnium cohortatio, quasi nihil turpe aggrediatur. nam communiter, si quis amatum capiat, pulchrum quiddam videtur: si non capiat, turpe. Et lex ad amatum sibi conciliandum amatori mira quaedam inachinamenta concedit, laudarique permittit: quae si quis aliquando cuiusvis gratia tentare auderet, maximas apud philosophos vituperationes incurreret. Si quis enim accipiendae ab aliquo pecuniae, vel magistratus aut alterius adipiscendae potentiae gratia, aggrediatur illa, quae erga amatos amantes, passim occurrat, supplex oret, obtestetur, ad fores noctu iaceat, & sedula quadam observantia serviat, & in omnibus obsequatur, quae servus aliquis agere nec vellet, nec etiam cogeretur, ab inimicis pariter & amicis obiurgabitur. illi adulationes servilesque assentationes vituperabunt: isti corripient, eosque servitutis

τῷ δ' ἐρῶντι ταῦτα πάντα ποιοῦντι χάρις ἔπεσι, καὶ δέδοται ὑπὸ τοῦ νόμου, ἄνευ ὀνείδους πράττειν, ὡς πάγκαλόν τι πρᾶγμα διαπραττομένῳ. ὁ δὲ δεινότατον, ὥς γε λέγουσιν οἱ πολλοὶ, ὅτι καὶ ὀμνύντι μόνῳ συγγνώμη παρὰ θεῶν ἐκβάντι τῶν ὅρκων. ἀφροδίσιον γὰρ ὅρκον οὔ φασιν εἶναι. οὕτω καὶ
c. οἱ θεοὶ καὶ οἱ ἄνθρωποι πᾶσαν ἐξουσίαν πεποιήκασι τῷ ἐρῶντι, ὡς ὁ νόμος φησὶν ὁ ἐνθάδε. ταύτῃ μὲν οὖν οἰηθείη ἄν τις πάγκαλον νομίζεσθαι ἐν τῇδε τῇ πόλει καὶ τὸ ἐρᾶν καὶ τὸ φίλους γίγνεσθαι τοῖς ἐραστῆς. ἐπειδὰν δὲ παιδαγωγοὺς ἐπιστήσαντες οἱ πατέρες τοῖς ἐρωμένοις, μὴ ἐῶσι διαλέγεσθαι τοῖς ἐρασταῖς, καὶ τῷ παιδαγωγῷ ταῦτα προστεταγμένα ᾖ, ἡλικιῶται δὲ καὶ ἕτεροι ὀνειδίζωσιν, ἐάν τι ὁρῶσι τοιοῦτο γιγνό-
d. μενον, καὶ τοὺς ὀνειδίζοντας αὖ οἱ πρεσβύτεροι μὴ διακωλύωσι, μηδὲ λοιδορῶσιν ὡς οὐκ ὀρθῶς λέγοντας· εἰς δὴ ταῦτά τις αὖ βλέψας, ἡγήσαιτ' ἂν πάλιν αἰσχιστον τὸ τοιοῦτον ἐνθάδε νομίζεσθαι. τὸ δὲ, οἶμαι, ὧδ' ἔχει· οὐχ ἁπλοῦν ἐστιν ὅπερ ἐξ ἀρχῆς ἐλέχθη οὔτε καλὸν εἶναι αὐτὸ καθ' αὑτὸ, οὔ-

amici ſui pudebit. Amator autem, dum iſta facit, gratiam adipiſcitur, &, quaſi praeclarum aliquid agat, a lege abſque ulla infamiae nota facere iſta permittitur. Quodve permaximum eſt, vulgo fertur, quod ſolis amatoriis periuriis Dii dant veniam. Venereum quippe iusiurandum nihil valere aiunt. itaque tam Dii, quam homines, omnem amanti licentiam praeſtiterunt, ut lex noſtra teſtatur. Si ad iſta, quae dicta ſunt, reſpiciamus, praeclariſſimum quiddam in hac civitate exiſtimari videbitur amor, quodve amanti amatus indulgeat. ſi rurſus ea, quae dicam, animadvertamus, turpiſſimum hoc apud nos haberi putabimus. Nam parentes paedagogis filios commendant, qui amatos cum amantibus loqui prohibeant. ſocii quoque & aequales, quoties tale quid vident, vituperant: eoſque, dum talia carpunt, ſenes non reprehendunt, neque eos, quaſi errent, corripiunt. Quapropter ita hoc habere ſe arbitror, ut ipſum ſecundum ſe, ſicut principio dictum eſt, neque honeſtum ſit, neque turpe. neque enim ſimplex eſt: ſed

τε αἰσχρόν· ἀλλὰ καλῶς μὲν πραττόμενον, καλόν· αἰσχρῶς δὲ, αἰσχρόν. αἰσχρὸν μὲν οὖν ἐστι πονηρῷ τε καὶ πονηρῶς χαρίζεσθαι· καλὸν δὲ, χρηστῷ τε καὶ καλῶς. πονηρὸς δ' ἔστιν ἐκεῖνος ὁ ἐραστὴς ὁ πάνδημος, ὁ τοῦ σώματος μᾶλλον ἐρῶν ἢ τῆς e.
ψυχῆς. καὶ γὰρ οὐδὲ μόνιμός ἐστιν, ἅτε οὐδὲ μονίμου ἐρῶν πράγματος. ἅμα γὰρ τῷ τοῦ σώματος ἄνθει λήγοντι, οὗπερ ἦρα, οἴχεται ἀποπτάμενος, πολλοὺς λόγους καὶ ὑποσχέσεις καταισχύνας. ὁ δὲ τοῦ ἤθους χρηστοῦ ὄντος ἐραστὴς διὰ βίου μένει, ἅτε μονίμῳ συντακείς. τούτους δὴ βούλεται ὁ ἡμέτερος νόμος εὖ καὶ καλῶς βασανίζειν· καὶ τοῖς μὲν χαρίσασθαι, p.
τοὺς δὲ διαφεύγειν. διὰ ταῦτα οὖν τοῖς μὲν διώκειν παρακε- 184
λεύεται, τοῖς δὲ φεύγειν· ἀγωνοθετῶν καὶ βασανίζων ποτέρων a.
ποτέ ἐστιν ὁ ἐρῶν, καὶ ποτέρων ὁ ἐρώμενος. οὕτω δὴ ὑπὸ ταύτης τῆς αἰτίας, πρῶτον μὲν τὸ ἁλίσκεσθαι ταχὺ, αἰσχρὸν νενόμισται (ἵνα χρόνος ἐγγένηται, ὃς δὴ δοκεῖ τὰ πολλὰ καλῶς βασανιζειν) ἔπειτα τὸ ὑπὸ χρημάτων καὶ ὑπὸ πολιτικῶν δυνάμεων ἁλῶναι, αἰσχρὸν, ἐάν τε κακῶς πάσχων πτήξῃ, b.
καὶ μὴ καρτερήσῃ, ἄν τ' εὐεργετούμενος εἰς χρήματα ἢ εἰς

recte factum, honestum; contra, turpe. Turpe quidem est, pravo ac turpiter obsequi: honestum vero, bono, atque honeste. Pravus autem est amator ille vulgaris, qui corpus magis, quam animum, amat. neque enim stabilis est, cum rem amet minime stabilem. nam ubi corporis flos, quem cupierat, emarcuit, abit, atque avolat, nihil eorum, quae promiserat, servans. Bonorum vero morum amator, per omnem vitam in amicitia perseverat, utpote qui rem stabilem sectabatur. Istos utique nostra lex diligenter examinare praecipit, & his morem gerere, illos fugere. & hos quidem propterea sequi iubet, illos fugere, diiudicans & examinans, quae quis amet, & quae in quovis amentur. Atque hanc ob causam primum facile, citoque capi, turpe censetur; ut tempus intercedat, quod ad examinandos mores exigitur. deinde aut pecuniarum copia, aut magistratuum potentia capi, turpe: sive timore quodam potius, quam voluntate, irretiatur; sive acceptis pecuniis, civilibusque muneri-

διαπράξεις πολιτικὰς, μὴ καταφρονήσῃ. οὐδὲν γὰρ δοκεῖ τούτων οὔτε βέβαιον οὔτε μόνιμον εἶναι, χωρὶς τοῦ μηδὲ πεφυκέναι ἀπ' αὐτῶν γενναίαν φιλίαν. μία δὴ λείπεται τῷ ἡμετέρῳ νόμῳ ὁδὸς, εἰ μέλλει καλῶς χαριεῖσθαι ἐρασῇ παιδικά. ἔστι γὰρ ἡμῖν νόμος, ὥσπερ ἐπὶ τοῖς ἐρασταῖς ἦν, δουλεύειν ἑκόντα ἡντινοῦν δουλείαν παιδικοῖς, μὴ κολακείαν εἶναι, μηδὲ ἐπονείδιστον. οὕτω δὴ καὶ ἄλλη μία μόνη δουλεία ἑκούσιος λείπεται οὐκ ἐπονείδιστος. αὕτη δέ ἐστιν ἡ περὶ τὴν ἀρετήν. νενόμισται γὰρ δὴ ἡμῖν, ἐάν τις ἐθέλῃ τινα θεραπεύειν, ἡγούμενος δι' ἐκεῖνον ἀμείνων ἔσεσθαι ἢ κατὰ σοφίαν τινὰ ἢ κατὰ ἄλλο ὁτιοῦν μέρος ἀρετῆς, αὕτη αὖ ἡ ἐθελοδουλεία οὐκ αἰσχρὰ εἶναι, οὐδὲ κολακεία. δεῖ δὴ τῷ νόμῳ τούτῳ συμβαλεῖν εἰς ταυτὸ, τόν τε περὶ τὴν παιδεραστίαν, καὶ τὸν περὶ τὴν φιλοσοφίαν τε καὶ τὴν ἄλλην ἀρετήν· εἰ μέλλει ξυμβῆναι καλὸν γενέσθαι τῷ ἐρασθῆναι παιδικὰ χαρισασθαι. ὅταν γὰρ εἰς τὸ αὐτὸ ἔλθωσιν ἔρως τε καὶ παιδικὰ, νόμον ἔχων ἑκάτερος, ὁ μὲν

c.

d.

bus acquisitis, non contemnat. nihil enim ex iis solidum firmumque esse videtur, praeter id, quod ab iis amicitia generosa oriri nequit. Una itaque secundum legem nostram via restat, qua amati amantibus iure gratificari possint. Etenim quemadmodum apud nos de amantibus lex illa relata est, qua dicitur, nullum voluntarium amatoris in amatum obsequium, adulatorium & infame putandum: sic & alia quaedam secundum legem voluntaria servitus restat, quae infamiam nullam subit. haec autem est, quae circa virtutem versatur. Nam nostris legibus est institutum, si quis velit aliquem colere, putans per illum vel sapientia quadam, vel in alia quavis parte virtutis proficere, hanc rursus voluntariam servitutem neque dedecori servienti fore, neque adulationem vocari debere. Oportet autem has leges in idem conducere, illam scilicet de amatoribus, & hanc, de philosophia aliaque virtute conscriptam, si ulla ratione contingere debet, ut deceat amatos amatoribus obsequi. Quoties enim in idem concurrunt amator atque amatus, utrique legem habentes, hic quidem obsecuturis

χαρισαμένοις παιδικοῖς ὑπηρετῶν ὁτισοῦν, δικαίως ἂν ὑπηρετεῖν, ὁ δὲ, τῷ ποιοῦντι αὐτὸν σοφόν τε καὶ ἀγαθὸν, δικαίως ἂν ὁτιοῦν ἂν ὑπουργεῖν· καὶ ὁ μὲν, δυνάμενος εἰς φρόνησιν καὶ τὴν ἄλλην ἀρετὴν ξυμβάλλεσθαι, ὁ δὲ, δεόμενος εἰς παιδευσιν καὶ τὴν ἄλλην σοφίαν κτᾶσθαι· τότε δὴ τούτων ξυνιόντων εἰς ταυτὸν τῶν νόμων, μοναχοῦ ἐνταῦθα ξυμπίπτει τὸ καλὸν εἶναι παιδικὰ ἐραστῇ χαρίσασθαι, ἄλλοθι δὲ οὐδαμοῦ. ἐπὶ τούτῳ καὶ ἐξαπατηθῆναι οὐδὲν αἰσχρόν· ἐπὶ δὲ τοῖς ἄλλοις πᾶσι καὶ ἐξαπατωμένῳ αἰσχύνην φέρει καὶ μή. εἰ γάρ τις ἐραστὴ, ὡς πλουσίῳ, πλούτου ἕνεκα χαρισάμενος ἐξαπατηθείη, καὶ μὴ λάβοι χρήματα, ἀναφανέντος τοῦ ἐραστοῦ πένητος, οὐδὲν ἧττον αἰσχρόν. δοκεῖ γὰρ ὁ τοιοῦτος τό γε αὑτοῦ ἐπιδεῖξαι, ὅτι ἕνεκα χρημάτων ὁτιοῦν ἂν ὁτῳοῦν ὑπηρετοῖ· τοῦτο δὲ οὐ καλόν. κατὰ τὸν αὐτὸν δὴ λόγον κἂν εἴτις ὡς ἀγαθῷ χαρισάμενος, καὶ αὐτὸς ὡς ἀμείνων ἐσόμενος διὰ τὴν φιλίαν ἐραστοῦ, ἐξαπατηθείη, ἀναφανέντος ἐκείνου κακοῦ, καὶ οὐ κεκτημένου ἀρετὴν, ὅμως καλὴ ἡ ἀπάτη. δοκεῖ

e. P. 185 a. b.

amatis iuſte in omnibus miniſtrare ſervireque paratus, ille rurſus ſcientiae morumque praeceptori ſuo iuſte in ſingulis pariturus; & hic quidem ad ſapientiam, aliaſque virtutes conferre potens; ille autem eruditione & ſapientia indigens: tunc ſane in unum his legibus concurrentibus dumtaxat evenit, ut honeſtum ſit, amatos amatoribus morem gerere; alias autem nullo modo. in hoc utique falli, turpe non eſt: in aliis autem omnibus, obſequium huiuſcemodi turpe cenſetur, ſive obſequentem fallat opinio, ſive non fallat. Si quis enim amatori, tanquam diviti, divitiarum cauſa gratificatus, fallitur, neque pecunias accipit: quamvis amator pauper eſſe comperiatur, nihilominus vituperatur. videtur enim hic ſervilem animi ſui habitum oſtendiſſe, quod pecuniarum gratia in ſingulis rebus cuivis ſerviret: quod quidem minime eſt honeſtum. Eadem ratione, ſi quis tanquam bono gratificatus, ipſe hac conſuetudine ſperans evadere melior, fallitur, cum ille pravus eſſe deprehendatur, honeſta quaedam deceptio eſt. nam videtur af-

γὰρ αὖ καὶ οὗτος τὸ καθ' αὑτὸν δεδηλωκέναι ὅτι ἀρετῆς ἕνεκα καὶ τοῦ βελτίων γενέσθαι πᾶν ἂν παντὶ προθυμηθείη τοῦτο δὲ αὖ πάντων κάλλιστον. οὕτω πάντως γε καλὸν ἀρετῆς γ' ἕνεκα χαρίζεσθαι. οὗτός ἐστιν ὁ τῆς Οὐρανίας θεοῦ ἔρως, καὶ οὐράνιος, καὶ πολλοῦ ἄξιος καὶ πόλει καὶ ἰδιώταις· πολλὴν ἐπιμέλειαν ἀναγκάζων ποιεῖσθαι πρὸς ἀρετὴν τόν τε ἐρῶν-
c. τα αὐτὸν αὑτοῦ, καὶ τὸν ἐρώμενον· οἱ δ' ἕτεροι πάντες, τῆς ἑτέρας, τῆς πανδήμου. Ταῦτά σοι, ἔφη, ὡς ἐκ τοῦ παραχρῆμα, ὦ Φαῖδρε, περὶ Ἔρωτος συμβάλλομαι. Παυσανίου δὲ παυσαμένου (διδάσκουσι γάρ με ἴσα λέγειν οὕτωσὶ οἱ σοφοὶ) ἔφη ὁ Ἀριστόδημος δεῖν μὲν Ἀριστοφάνην λέγειν, τυχεῖν δὲ αὐτῷ τινα ἢ ὑπὸ πλησμονῆς ἢ ὑπό τινος ἄλλου λύγγα ἐπιπεπτωκυῖαν· καὶ οὐχ οἷόν τε εἶναι λέγειν, ἀλλ' εἰπεῖν αὐτὸν,
d. (ἐγγυτάτω γὰρ αὐτοῦ τὸν ἰατρὸν Ἐρυξίμαχον κατακεῖσθαι) Ὦ Ἐρυξίμαχε, δίκαιος εἶ ἢ παῦσαί με τῆς λυγγὸς, ἢ λέγειν ὑπὲρ ἐμοῦ, ἕως ἂν ἐγὼ παύσωμαι. Καὶ τὸν Ἐρυξίμαχον εἰπεῖν, Ἀλλὰ ποιήσω ἀμφότερα ταῦτα. ἐγὼ μὲν γὰρ

fectum ſuum demonſtraſſe, paratum ad omnia miniſteria virtutis conſequendae gratia toleranda. quod ſane praeclariſſimum iudicatur: hac itaque ratione virtutis cauſa gratificari, atque ſervire, ſemper honeſtum. Hic autem eſt ipſius coeleſtis Deae amor, coeleſtis & ipſe: qui tam privatim, quam publice pretioſus eſt, & amantem pariter atque amatum virtutis curam ſtudiumque ſuſcipere cogit. ceteri vero amores Veneris vulgaris ſunt comites. Haec in praeſentia, o Phaedre, velut ex tempore de Amore vobiſcum confero. Cum Pauſanias pauſam, id eſt, finem, dicendi feciſſet, (ſic enim alludere vocabulo ſapientes me docent) oportere, inquit Ariſtodemus, Ariſtophanem dicere: verum ſingultu, vel propter repletionem, vel propter aliam cauſam contingente, impeditum fuiſſe. Quocirca ad Eryximachum medicum, continuo poſt ipſum ſedentem, ita locutum: O Eryximache, tua tunc intereſt, aut ſingultum reprimere, aut pro me loqui, donec ceſſet. Ad ea Eryximachum reſpondiſſe, Utrumque efficiam. Equidem tuo

ἐμῶ ἐν τῷ σῷ μέρει· σὺ δ' ἐπειδὰν παύσῃ, ἐν τῷ ἐμῷ. ἐν ᾧ δ' ἂν ἐγὼ λέγω, ἐὰν μέν σοι ἐθέλῃ ἀπνευσὶ ἔχοντι πολὺν χρόνον παύεσθαι ἡ λύγξ· εἰ δὲ μή, ὕδατι ἀνακογχυλίασον. εἰ δ' ἄρα πάνυ ἰσχυρά ἐστιν, ἀναλαβών τι τοιοῦτο οἷῳ κινήσαις ἂν τὴν e.
ῥῖνα, πτάρε· καὶ ἐὰν τοῦτο ποιήσῃς ἅπαξ ἢ δίς, καὶ εἰ πάνυ ἰσχυρά ἐστι, παύσεται. Οὐκ ἂν Φθάνοις λέγων, εἰπεῖν τὸν Ἀριστοφάνην· ἐγὼ δὲ ταῦτα ποιήσω. Εἰπεῖν δὴ τὸν Ἐρυξίμαχον, Δοκεῖ τοίνυν μοὶ ἀναγκαῖον εἶναι, ἐπειδὴ Παυσανίας ὁρμήσας ἐπὶ τὸν λόγον καλῶς, οὐχ ἱκανῶς ἀπετέλεσε, δεῖν p. 186
ἐμὲ πειρᾶσθαι τέλος ἐπιθεῖναι τῷ λόγῳ. τὸ μὲν γὰρ διπλοῦν a.
εἶναι τὸν Ἔρωτα, δοκεῖ μοι καλῶς διελέσθαι· ὅτι δὲ οὐ μόνον ἔστιν ἐπὶ ταῖς ψυχαῖς τῶν ἀνθρώπων πρὸς τοὺς καλούς, ἀλλὰ καὶ πρὸς ἄλλα πολλὰ, καὶ ἐν τοῖς ἄλλοις τοῖς τε σώμασι τῶν πάντων ζώων, καὶ τοῖς ἐν τῇ γῇ φυομένοις, καὶ, ὡς ἔπος εἰπεῖν, ἐν πᾶσι τοῖς οὖσι, καθεωρακέναι μοὶ δοκῶ ἐκ τῆς ἰατρικῆς, τῆς ἡμετέρας τέχνης· καὶ ὡς μέγας καὶ θαυμαστὸς, καὶ ἐπὶ πᾶν ὁ θεὸς τείνει, καὶ κατ' ἀνθρώπινα καὶ κατὰ θεῖα b.

loco dicam: tu vero meo, poſtquam ſingultus abierit. Interim dum ipſe loquor, ſi vis aliquamdiu ſpiritum cohibere, ſingultus ceſſabit: ſi minus id placet, ſaltem aqua multa intus allue fauces: & ſi forte vehemens eſt, nares commode ſtimula, ut ſternutatio irritetur. nam ſi id ſemel, aut bis feceris, etiamſi vehementiſſimus ſit, tolletur. Antequam finem dicendi feceris, inquit Ariſtophanes, quae iubes, efficiam. Eryximachum igitur ita locutum. Neceſſarium, inquit, mihi videtur, poſtquam Pauſanias recte exorſus, finem impoſuit minus ſufficientem, quod deeſt a me nunc impleri. Diſtinctionem quidem illam, qua in duo diſtributus eſt Amor, approbo. Verum noſtra hac medicinae arte comperiſſe mihi videor, non ſolum animis hominum erga pulchros Amorem ineſſe; verum etiam ad alia multa, atque in aliis tum corporibus animalium omnium, tum his, quae ex terra naſcuntur, ac denique in omnibus, ut ita dixerim, quae in rerum natura conſiſtunt: magnum quoque atque mirabilem hunc Deum per omnia tam humana, quam

πράγματα. ἄρξομαι δὲ ἀπὸ τῆς ἰατρικῆς λέγων, ἵνα καὶ
πρεσβεύωμεν τὴν τέχνην. ἡ γὰρ φύσις τῶν σωμάτων τὸν δι-
πλοῦν Ἔρωτα τοῦτον ἔχει. τὸ γὰρ ὑγιὲς τοῦ σώματος καὶ τὸ
νοσοῦν ὁμολογούμενως ἕτερόν τε καὶ ἀνόμοιόν ἐστι· τὸ δὲ ἀνό-
μοιον ἀνομοίων ἐπιθυμεῖ καὶ ἐρᾷ. ἄλλος μὲν οὖν ὁ ἐπὶ τῷ
ὑγιεινῷ ἔρως, ἄλλος δὲ ὁ ἐπὶ τῷ νοσώδει. ἔστι δή, ὥσπερ ἄρτι
Παυσανίας ἔλεγε, τοῖς μὲν ἀγαθοῖς καλὸν χαρίζεσθαι τῶν
c ἀνθρώπων, τοῖς δὲ ἀκολάστοις αἰσχρόν. οὕτω καὶ ἐν αὐτοῖς
τοῖς σώμασι, τοῖς μὲν ἀγαθοῖς ἑκάστου τοῦ σώματος καὶ
ὑγιεινοῖς καλὸν χαρίζεσθαι, καὶ δεῖ, καὶ τοῦτό ἐστιν ᾧ ὄνομα
τὸ ἰατρικόν· τοῖς δὲ κακοῖς καὶ νοσώδεσιν αἰσχρόν τε, καὶ δεῖ
ἀχαριστεῖν, εἰ μέλλει τις τεχνικὸς εἶναι. ἔστι γὰρ ἰατρικὴ, ὡς
ἐν κεφαλαίῳ εἰπεῖν, ἐπιστήμη τῶν τοῦ σώματος ἐρωτικῶν
πρὸς πλησμονὴν καὶ κένωσιν. καὶ ὁ διαγιγνώσκων ἐν τούτοις
d. τὸν καλόν τε καὶ αἰσχρὸν ἔρωτα, οὗτός ἐστιν ὁ ἰατρικώτα-
τος· καὶ ὁ μεταβάλλειν ποιῶν, ὥστε ἀντὶ τοῦ ἑτέρου ἔρωτος
τὸν ἕτερον κτήσασθαι. καὶ οἷς μὴ ἔνεστιν ἔρως, δεῖ δ' ἐγγενέ-

divina, latiſſime ſe porrigere. A medicinae peritia primo exemplum capiam, ut artem meam venerer. Corporum ſane natura Amorem hunc geminum continet. quod enim in corporibus noſtris bene valet, & quod male, aliud atque diſſimile eſſe conſtat: quod vero diſſimile eſt, diſſimile cupit & amat. Alius ergo, qui in ſano corpore, amor; alius, qui in aegroto. &, ut paulo ante Pauſanias aſſerebat, temperatis hominibus gratificandum eſſe, intemperatis vero nequaquam: ita & in ipſis corporibus bonis quidem ſanitque obſequendum eſt, in quo maxime ratio medicinae conſiſtit; malis autem aegrotiſque minime, ſi modo artificioſus quis vult medicus eſſe. Eſt autem, ut ſummatim dicam, medicina ſcientia, qua amatorii affectus corporis quoad repletionem evacuationemve noſcuntur: ut, quiſquis pulchrum & deformem in his amorem diſcernit, is medicus peritiſſimus ſit: quive ita permutare haec poteſt, ut pro altero amore naſcatur alter, aut quibus abeſt amor, adeſſe autem oportet, immittere valeat, & inſitum

σθαι, ἐπιχάμενος ἐμποιῆσαι, καὶ ἐόντα ἐξελεῖν, ἀγαθὸς ἂν εἴη δημιουργός. δεῖ γὰρ δὴ τὰ ἔχθιστα ὄντα ἐν τῷ σώματι, φίλα οἵόντ' εἶναι ποιεῖν, καὶ ἐρᾶν ἀλλήλων. ἔστι δὲ ἔχθιστα, τὰ ἐναντιώτατα· ψυχρὸν θερμῷ, πικρὸν γλυκεῖ, ξηρὸν ὑγρῷ. πάντα τὰ τοιαῦτα τουτοις ἐπιστηθεὶς ἔρωτα ἐμποιῆσαι καὶ e.
ἁμόνοιαν ὁ ἡμέτερος πρόγονος Ἀσκληπιὸς, ὡς φασιν οἵδε οἱ ποιηταὶ, καὶ ἐγὼ πείθομαι, συνέστησε τὴν ἡμετέραν τέχνην. ἥ τε οὖν ἰατρικὴ, ὥσπερ λέγω, πᾶσα διὰ τοῦ θεοῦ τουτου κυβερνᾶται, ὡσαύτως δὲ καὶ γυμναστικὴ, καὶ γεωργία· μουσικὴ δὲ καὶ παντὶ καταδηλος τῷ καὶ μικρὸν προσέχοντι τὸν νοῦν p.
ὅτι κατὰ ταυτὰ ἔχει τούτοις· ὥσπερ ἴσως καὶ Ἡράκλειτος 187
βούλεται λέγειν. ἐπεὶ τοῖς γε ῥήμασιν οὐ καλῶς λέγει. τὸ a.
γὰρ ἓν ϕησὶ διαφερόμενον αὑτὸ αὑτῷ ξυμφέρεσθαι, ὥσπερ ἁρμονίαν τόξου τε καὶ λύρας. ἔστι δὲ πολλὴ ἀλογία ἁρμονίαν ϕάναι διαφέρεσθαι, ἢ ἐκ διαφερομένων ἔτι εἶναι. ἀλλ' ἴσως τόδε ἐβούλετο λέγειν, ὅτι ἐκ διαφερομένων πρότερον, τοῦ ὀξέος καὶ βαρέος, ἔπειτα ὕστερον ὁμολογησάντων, γέγονεν ὑπὸ τῆς b.

eximere, eruditus ſit artifex. Poſſe autem oportet, quae in corpore inimica maxime ſunt, conciliare, & amorem illis inſerere mutuum. Inimica vero maxime ſunt, quae contraria maxime, frigidum calido, amarum dulci, humido ſiccum, ceteraque huiuſmodi. Cum amorem his mutuum concordiamque inſerere ſciret noſter ille progenitor Aeſculapius, ut hi poëtae teſtantur, quibus & ipſe credo; artem noſtram compoſuit. Medicina itaque omnis ea ratione, ut dico, ab hoc Deo gubernatur. Similiter quoque agricultura atque gymnaſtica. quod autem eadem ſit & de muſica ratio, perſpicuum eſſe cuivis poteſt, qui vel pauliſper adverterit. Quod Heraclitus forſitan ſentit, verbis tamen parum explicat. *Unum quidem*, inquit, *ſecum ipſo diſcrepans convenire, ut harmoniam tum arcus tum lyrae.* Atqui abſurdum dictum eſt, harmoniam diſcrepare, atque ex diſcrepantibus, quamdiu diſſonant, eſſe: ſed hoc forte ſignificare volebat, quod ex his, quae prius diſcrepabant, gravi ſcilicet, & acuto, deinde per artem muſicam

μουσικῆς τέχνης ἡ ἁρμονία. οὐ γὰρ δήπου ἐκ διαφερομένων γε ἔτι τοῦ ὀξέος καὶ βαρέος ἁρμονία ἂν εἴη. ἡ γὰρ ἁρμονία, συμφωνία ἐστί· συμφωνία δὲ, ὁμολογία τις· ὁμολογίαν δὲ ἐκ διαφερομένων, ἕως ἂν διαφέρωνται, ἀδύνατον εἶναι. διαφερόμενον δὲ αὖ καὶ μὴ ὁμολογοῦν, ἀδύνατον ἁρμόσαι. ὥσπέρ γε καὶ ὁ ῥυθμὸς ἐκ τοῦ ταχέος καὶ βραδέος, ἐκ διεννεγμένων
c. πρότερον, ὕστερον δὲ ὁμολογησάντων, γέγονε. τὴν δὲ ὁμολογίαν πᾶσι τούτοις, ὥσπερ ἐκεῖ ἡ ἰατρικὴ, ἐνταῦθα ἡ μουσικὴ ἐντίθησιν, ἔρωτα καὶ ὁμόνοιαν ἀλλήλοις ἐμποιήσασα. καὶ ἔστιν αὖ μουσικὴ περὶ ἁρμονίαν καὶ ῥυθμὸν ἐρωτικῶν ἐπιστήμη. καὶ ἐν μέν γε αὐτῇ τῇ συστάσει ἁρμονίας τε καὶ ῥυθμοῦ οὐδὲν χαλεπὸν τὰ ἐρωτικὰ διαγιγνώσκειν· οὐδὲ ὁ διπλοῦς ἔρως ἐνταῦθά πως ἐστίν. ἀλλ' ἐπειδὰν δέῃ πρὸς τοὺς ἀνθρώπους κα-
d. ταχρῆσθαι ῥυθμῷ τε καὶ ἁρμονίᾳ, ἢ ποιοῦντα, ὃ δὴ μελοποιΐαν καλοῦσιν, ἢ χρώμενον ὀρθῶς τοῖς πεποιημένοις μέλεσί τε καὶ μέτροις, ὃ δὴ παιδεία ἐκλήθη, ἐνταῦθα δὴ καὶ χαλεπὸν καὶ ἀγαθοῦ δημιουργοῦ δεῖ. πάλιν γὰρ ἥκει ὁ αὐτὸς λό-

consonantibus, harmonia conficitur. Nunquam enim ex gravi & acuto, dum discrepant, harmonia conflatur. harmonia namque concentus est: concentus vero, concordia quaedam. concordia autem ex discrepantibus, donec discrepant, fieri nunquam potest. quod vero discrepat, neque est concors, concinere nequit: quemadmodum rhythmus ex veloci & tardo, antea discrepantibus, postea vero concinentibus, constituitur. & quemadmodum humoribus medicina concordiam, ita vocibus musica consonantiam tribuens, amorem consensumque mutuum gignit. atqui est musica scientia circa harmoniam & rhythmum, affectus amatorios virosque diiudicans. Sane in ipsa harmoniae & rhythmi compositione vis amatoria facile percipi potest. verum geminus amor nondum hic distinguitur: sed tunc demum, cum ad alios rhythmo & harmonia est utendum, vel fingendo, quam melodiae factionem vocant; vel utendo recte his, quae facta sunt, melodiis & metris, quam disciplinam nominant. ubi difficilis observatio est,

γος, ὅτι τοῖς μὲν κοσμίοις τῶν ἀνθρώπων, καὶ ὡς ἂν κοσμιώτεροι γίγνοιντο οἱ μήτω ὄντες, δεῖ χαριζεσθαι, καὶ φυλάττειν τὸν τούτων ἔρωτα· καὶ οὗτός ἐστιν ὁ καλὸς, ὁ οὐράνιος, ὁ τῆς Οὐρανίας Μούσης ἔρως· ὁ δὲ Πολυμνίας, ὁ πάνδημος· e.
ὃν δεῖ εὐλαβούμενον προσφέρειν οἷς ἂν προσφέρῃ, ὅπως ἂν τὴν μὲν ἡδονὴν αὐτῷ καρτώσηται, ἀκολασιαν δὲ μηδεμιαν ἐμποιήσῃ. ὥσπερ ἐν τῇ ἡμετέρᾳ τέχνῃ μέγα ἔργον ταῖς περὶ τὴν ὀψοποιικὴν τέχνην ἐπιθυμίαις καλῶς χρῆσθαι, ὥστ' ἄνευ νόσου τὴν ἡδονὴν καρπώσασθαι. καὶ ἐν μουσικῇ δὴ καὶ ἐν ἰατρικῇ, καὶ ἐν τοῖς ἄλλοις πᾶσι καὶ τοῖς ἀνθρωπείοις καὶ τοῖς θείοις, καθόσον παρεικοι, φυλακτέον ἑκάτερον τὸν ἔρωτα. ἔνεστον γάρ. ἐπεὶ καὶ ἡ τῶν ὡρῶν τοῦ ἐνιαυτοῦ σύ- p.
ςασις μεξή ἐστιν ἀμφοτέρων τούτων. καὶ ἐπειδὰν μὲν πρὸς 188
ἄλληλα τοῦ κοσμίου τύχῃ ἔρωτος, ἃ νῦν δὴ ἐγὼ ἔλεγον, τά a.
τε θερμὰ καὶ τὰ ψυχρὰ, καὶ ξηρὰ καὶ ὑγρὰ, ἁρμονίαν καὶ κρᾶσιν λάβῃ σώφρονα, ἥκει φέροντα εὐετηρίαν τε καὶ ὑγίειαν ἀνθρώποις καὶ τοῖς ἄλλοις ζώοις τε καὶ φυτοῖς, καὶ οὐδὲν ἠδι-

& perito eſt opus artifice. Huc iam ſuperior ille ſermo revertitur, quod videlicet modeſtis hominibus, & his, qui nondum ſatis modeſti ſunt, ut fiant, gratificandum, horumque ſervandus eſt amor. Atque hic eſt decorus ipſe & coeleſtis Uraniae Muſae amor: Polymniae vero Muſae, vulgaris: cui ſumma cautione indulgendum eſt, ut voluptatem quidem homines hauriant, incontinentiam vero devitent. ſicut in arte noſtra arduum eſt, cupiditatibus, quae ad ſuaves coquorum epulas nos alliciunt, recte uti, adeo ut abſque bonae valetudinis detrimento ſuaviter his veſcamur. Quamobrem & in muſica, & in medicina, & in aliis omnibus, tam humanis quam divinis, utrumque amorem, qui omnibus ineſt, pro viribus obſervare debemus. Quin etiam anni temporum conſtitutio utriſque his plena eſt. nam quoties illa, quae modo dicebam, calida & frigida, ſicca & humida, congruum inter ſe ſortiuntur amorem, & harmoniam temperiemque opportunam ſuſcipiunt, ſalubrem & fertilem annum hominibus, animantibus omni-

κησεν· ὅταν δὲ ὁ μετὰ τῆς ὕβρεως Ἔρως ἐγκρατέσερος περὶ
b. τὰς τοῦ ἐνιαυτοῦ ὥρας γένηται, διέφθειρέ τε πολλὰ καὶ ἠδίκησεν. οἵτε γὰρ λοιμοὶ φιλοῦσι γίγνεσθαι ἐκ τῶν τοιούτων, καὶ ἄλλ' ἀνόμοια πολλὰ νοσήματα καὶ τοις θηρίοις καὶ τοῖς φυτοῖς. καὶ γὰρ πάχναι καὶ χάλαζαι καὶ ἐρυσίβαι ἐκ πλεονεξίας καὶ ἀκοσμίας περὶ ἄλληλα τῶν τοιούτων γίγνεται ἐρωτικῶν· ὧν ἐπιστήμη περὶ ἄστρων τε φορᾶς καὶ ἐνιαυτῶν ὥρας, ἀστρονομία καλεῖται. ἔτι τοίνυν καὶ αἱ θυσίαι ἅπασαι, καὶ οἷς
c. μαντικὴ ἐπιστατεῖ (ταῦτα δ' ἐστὶν ἡ περὶ θεούς τε καὶ ἀνθρώπους πρὸς ἀλλήλους κοινωνία) οὐ περὶ ἄλλό τι ἐστὶν ἢ περὶ Ἔρωτος φυλακήν τε καὶ ἴασιν. πᾶσα γὰρ ἡ ἀσέβεια φιλεῖ γίγνεσθαι ἐὰν μή τις τῷ κοσμίῳ Ἔρωτι χαρίζηται, μηδὲ τιμᾷ τε αὐτὸν καὶ πρεσβεύῃ ἐν παντὶ ἔργῳ, ἀλλὰ περὶ τὸν ἕτερον, καὶ περὶ γονέας καὶ ζῶντας καὶ τετελευτηκότας, καὶ περὶ θεούς. ἃ δὴ προστέτακται τῇ μαντικῇ ἐπισκοπεῖν τοὺς Ἔρωτας, καὶ ἰατρεύειν. καὶ ἔστιν αὖ ἡ μαντικὴ φιλίας θεῶν καὶ
d. ἀνθρώπων δημιουργὸς, τῷ ἐπίστασθαι τὰ κατὰ ἀνθρώπους

bus, atque plantis afferunt, neque quidquam laedunt. contra vero, cum petulans & contumelioſus Amor in anni temporibus praevalet, iniuria multa corrumpit. Peſtes ſiquidem ex his oriri conſueverunt, aliique morbi permulti & variis brutis ac plantis innaſci. etenim pruina, glacies, grando, ſegetumque rubigines & putredines, ex immoderato & excedente qualitatum amore proveniunt: horumque & coeli motus, & anni temporum ſcientia, Aſtronomia vocata eſt. Praeterea ſacrificia omnia, & illa, quibus vaticinium praeeſt, communiones videlicet Deorum hominumque invicem, circa nihil aliud verſantur, quam amoris curationem atque cuſtodiam. omnis enim impietas tunc accedere conſuevit, quando quis modeſto amori haud indulget, nec illum honorans in omnibus veneratur, ſed circa amorem alterum pervagatur, nec officio congrue erga parentes vivos & defunctos, & erga Deos utitur. hos amores diſcernere atque curare, vaticinii propoſitum eſt. Eſt inſuper vaticinium amicitiae inter Deos & homines opifex, ex

ἐρωτικὰ, ὅσα τείνει πρὸς δέμιν καὶ ἀσέβειαν. οὕτω πολλὴν καὶ μεγάλην, μᾶλλον δὲ πᾶσαν δύναμιν ἔχει ξυλλήβδην μὲν ὁ πᾶς Ἔρως· ὁ δὲ περὶ τὰ ἀγαθὰ μετὰ σωφροσύνης καὶ δικαιοσύνης ἀποτελούμενος, καὶ παῤ ἡμῖν καὶ παρὰ θεοῖς, οὗτος τὴν μεγίστην δύναμιν ἔχει, καὶ πᾶσαν ἡμῖν εὐδαιμονίαν παρασκευάζει καὶ ἀλλήλοις δυναμένους ὁμιλεῖν, καὶ φίλους εἶναι καὶ τοῖς κρείττοσιν ἡμῶν θεοῖς. ἴσως μὲν οὖν καὶ ἐγὼ e.
τὸν Ἔρωτα ἐπαινῶν, πολλὰ παραλείπω, οὐ μέντοι ἑκών γε· ἀλλ' εἴτι ἐξέλιπεν, σὸν ἔργον, ὦ Ἀριστόφανες, ἀναπληρῶσαι· ἢ, εἴπως ἄλλως ἐν νῷ ἔχεις ἐγκωμιάζειν τὸν θεὸν, ἐγκωμίαζε, ἐπειδὴ τῆς λυγγὸς πέπαυσαι. Ἐκδεξάμενον οὖν ἔφη εἰπεῖν p. 189
τὸν Ἀριστοφάνην, ὅτι καὶ μάλ' ἐπαύσατο· οὐ μέντοι πρίν γε a.
τὸν πταρμὸν προσενεχθῆναι αὐτῇ. ὥστέ με θαυμάζειν, εἰ τὸ κόσμιον τοῦ σώματος ἐπιθυμεῖ τοιούτων ψόφων καὶ γαργαλισμῶν, οἷον καὶ ὁ πταρμός ἐστι. πάνυ γὰρ εὐθὺς ἐπαύσατο, ἐπειδὴ αὐτῷ τὸν πταρμὸν προσήνεγκα. Καὶ τὸν Ἐρυξίμαχον, Ὦ γαθὲ, φάναι, Ἀριστόφανες, ὅρα τί ποιεῖς. γελωτοποιεῖς,

eo, quod intelligit, qui potiſſimum ex humanis amoribus fas aut nefas attingit. Atque ita multam & amplam, immo vero omnem vim, ſummatim quidem omnis continet amor: ſed qui circa bona, cum temperantia & iuſtitiâ, tam erga nos quam erga Deos verſatur, vim ſummam habet, omnemque nobis beatitudinem exhibet. nam & nos invicem communi vita conciliat, & Diis, humana natura praeſtantioribus, amicos efficit. Forte & ipſe multa, quae ad laudandum Amorem pertinent, praetermitto: neque ſponte tamen. quod autem deeſt, tuum eſt, Ariſtophanes, adimplere: vel ſi aliter hunc Deum honorare vis, honora, cum ſingultus ipſe ceſſaverit. Iam ſedatus eſt, dixiſſe Ariſtophanem: non tamen prius, quam ſternutamento repreſſus. quo fit, ut admirer, ſi congrua corporis affectio huiuſcemodi crepitibus & ridiculis ſonitibus indiget, qualis eſt ſternutatio. etenim ſimul atque ſternutatio exorta eſt, continuo deſtitit. Vide, o bone Ariſtophanes, quid agas, reſpondiſſe Eryximachum. riſum contra te moves, ſermo-

μέλλων λέγειν, καὶ φύλακα μὲ τοῦ λόγου ἀναγκάζεις γί-
b. γνεσθαι τοῦ σεαυτοῦ, ἐάν τι γελοῖον εἴπῃς· ἐξόν σοι ἐν εἰρήνῃ
λέγειν. Καὶ τὸν Ἀριστοφάνη γελάσαντα εἰπεῖν, Εὖ λέγεις,
Ἐρυξίμαχε. καί μοι ἔστω ἄρρητα τὰ εἰρημένα. ἀλλὰ μή με
φύλαττε· ὡς ἐγὼ φοβοῦμαι περὶ τῶν μελλόντων ῥηθήσεσθαι,
οὔτι μὴ γελοῖα εἴπω (τοῦτο μὲν γὰρ ἂν κέρδος εἴη, καὶ τῆς
ἡμετέρας Μούσης ἐπιχώριον) ἀλλὰ μὴ καταγέλαστα. Βαλών
γε, φάναι, ὦ Ἀριστόφανες, οἴει ἐκφεύξεσθαι; ἀλλὰ πρόσεχε
c. τὸν νοῦν, καὶ οὕτω λέγε ὡς δώσων λόγον. ἴσως μέντοι, ἂν
δόξῃ μοι, ἀφήσω σε. Καὶ μήν, ὦ Ἐρυξίμαχε, εἰπεῖν τὸν
Ἀριστοφάνη, ἄλλῃ γέ πῃ ἐν νῷ ἔχω λέγειν, ἢ ᾗ σύ τε καὶ
Παυσανίας εἰπέτην. ἐμοὶ γὰρ δοκοῦσιν ἀνθρωποι παντάπασι
τὴν τοῦ ἔρωτος δύναμιν οὐκ ἠσθῆσθαι. ἐπεὶ αἰσθανόμενοί γε
μέγις' ἂν αὐτοῦ ἱερὰ κατασκευάσαι καὶ βωμοὺς, καὶ θυσίας
ἂν ποιεῖν μεγίστας· οὐχ ὥσπερ νῦν τούτων οὐδὲν γίγνεται περὶ
d. αὐτὸν, δέον πάντων μάλιστα γίγνεσθαι. ἔστι γὰρ θεῶν φιλαν-
θρωπότατος, ἐπίκουρός τε ὢν τῶν ἀνθρώπων, καὶ ἰατρὸς τού-
των· ὧν ἰαθέντων μεγίστη ἂν εὐδαιμονία τῷ ἀνθρωπείῳ γένει

nem habiturus, & obſervatorem me fieri cogis ſermonis tui, ſi quid forte ridendum protuleris: cui loqui ſecure licuiſſet. Probe loqueris, Eryximache, Ariſtophanem dixiſſe. ſint iſta mihi non dicta: ſed ne me obſerves. neque enim vereor, ne quid, quod riſum moveat, in medium afferam: (hoc enim Muſae noſtrae lucrum proprium que eſſet) ſed ne deridenda proferam, timeo. Emiſſo, reſpondiſſe Eryximachum, in nos iaculo, Ariſtophanes, aufugere ſperas. at mentem dicendis adhibe, tanquam rationem dictorum omnium redditurus. forte vero, ſi videbitur, te dimittam. Aliter de Amore, quam tu & Pauſanias, loqui cogito. mihi enim plane videntur homines Amoris vim omnino hactenus ignoraſſe. nam ſi eam noſſent, delubra illi inſignia, aras & hoſtias dedicarent: quorum nihil his temporibus agitur, cum erga illum maxime omnium obſervare haec deceat. Eſt enim prae ceteris Diis ſummopere generi humano beneficus, curator & tutor hominum, atque

εἴη. ἐγὼ οὖν πειράσομαι ὑμῖν εἰσηγήσασθαι τὴν δύναμιν αὐτοῦ· ὑμεῖς δὲ τῶν ἄλλων διδάσκαλοι ἔσεσθε. δεῖ δὲ πρῶτον ὑμᾶς μαθεῖν τὴν ἀνθρωπίνην φύσιν, καὶ τὰ παθήματα αὐτῆς. ἡ γὰρ πάλαι ἡμῶν φύσις οὐχ αὕτη ἦν ἥπερ νῦν, ἀλλὰ ἀλλοία. πρῶτον μὲν γὰρ τρια ἦν τὰ γένη τὰ τῶν ἀνθρώπων· οὐχ, ὥσπερ νῦν, δυο, ἄρρεν καὶ θῆλυ· ἀλλὰ καὶ τρίτον προσῆν e.
κοινὸν ὃν ἀμφοτέρων τουτων, οὗ νῦν ὄνομα λοιπὸν, αὐτὸ δὲ ἠφάνισται. ἀνδρόγυνον γὰρ ἐν τότε μὲν ἦν καὶ εἶδος καὶ ὄνομα ἐξ ἀμφοτέρων κοινὸν τοῦ τε ἄρρενος καὶ θήλεος· νῦν δ' οὐκ ἔστιν ἀλλ' ἢ ἐν ὀνειδει ὄνομα κείμενον. ἔπειτα ὅλον ἦν ἑκάστου τοῦ ἀνθρώπου τὸ εἶδος στρογγύλον, νῶτον καὶ πλευρὰς κύκλῳ ἔχον. χεῖρας δὲ τέτταρας εἶχε, καὶ σκέλη τὰ ἴσα ταῖς χερσί· καὶ πρόσωπα δύο ἐπ' αὐχένι κυκλοτερεῖ, ὅμοια πάντη· κεφα- p. 190 a.
λὴν δ' ἐπ' ἀμφιτέροις τοῖς προσώποις ἐναντίοις κειμένοις μίαν, καὶ ὦτα τέτταρα, καὶ αἰδοῖα δύο· καὶ τἄλλα πάντα ὡς ἀπὸ τουτων ἄν τις εἰκάσειεν. ἐπορεύετο δὲ καὶ ὀρθὸν, ὥσπερ νῦν,

medicus, quibus ſanatis, ſummam genus noſtrum felicitatem nanciſceretur. Conabor itaque, vim illius vobis exponere. vos autem, quae a me hodie percipitis, alios deinde docebitis. Oportet inprimis, qualis hominum quondam natura fuerit, quaeve illius paſſiones, perdiſcere. neque enim qualis nunc eſt, olim erat, ſed longe diverſa. Principio tria hominum erant genera, non ſolum quae nunc duo, mas & femina: verum etiam tertium quoddam aderat, ex utriſque compoſitum, cuius ſolum nobis reſtat nomen, ipſum periit. Androgynum quippe tunc erat & ſpecie & nomine, ex maris & feminae ſexu commixtum. ipſum profecto defecit, nomen ſolum infame relictum. Praeterea tota cuiuſque hominis ſpecies erat rotunda, dorſum & latera circum habens, manus quatuor, totidemque crura, vultus item duos tereti cervice connexos, & omnino conſimiles. caput utriſque vultibus contra verſis, unum, aures quatuor, genitalia duo, & alia ſingula, ut ex his quiſque convenienter exiſtimare poteſt. Incedebat tunc & rectus, ut nunc, in utram vellet partem: & quoties celerius

ὁποτέρωσε βουληθείη· καὶ ὁπότε ταχὺ ὁρμήσειεν ἐλθεῖν, ὥσπερ
οἱ κυβιστῶντες καὶ εἰς ὀρθὸν τὰ σκέλη περιφερόμενοι κυβιστῶσι
κύκλῳ, τότε ὀκτὼ οὖσι τοῖς μέλεσιν ἀπερειδόμενοι, ταχὺ ἐφέ-
ροντο κύκλῳ. ἦν δὲ διὰ ταῦτα τρία τὰ γένη καὶ τοιαῦτα,
b. ὅτι τὸ μὲν ἄρρεν ἦν τοῦ ἡλίου τὴν ἀρχὴν ἔκγονον, τὸ δὲ θῆλυ,
τῆς γῆς· τὸ δὲ ἀμφοτέρων μετέχον, τῆς σελήνης, ὅτι καὶ ἡ
σελήνη ἀμφοτέρων μετέχει. περιφερῆ δὲ δὴ ἦν καὶ αὐτὰ, καὶ
ἡ πορεία αὐτῶν, διὰ τὸ τοῖς γονεῦσιν ὅμοια εἶναι. ἦν οὖν την
ἰσχὺν δεινὰ καὶ τὴν ῥώμην, καὶ τὰ φρονήματα μεγάλα
εἶχον. ἐπεχείρησαν δὲ τοῖς θεοῖς· καὶ ὃ λέγει Ὅμηρος περὶ
Ἐφιάλτου τε καὶ Ὠτου, περὶ ἐκείνων λέγεται, τὸ εἰς τὸν
c. οὐρανὸν ἀνάβασιν ἐπιχειρεῖν ποιεῖν, ὡς ἐπιθησομένων τοῖς
θεοῖς. ὁ οὖν Ζεὺς καὶ οἱ ἄλλοι θεοὶ ἐβουλεύοντο ὅ, τι χρὴ αὐ-
τοὺς ποιῆσαι· καὶ ἠπόρουν. οὔτε γὰρ ὅπως ἀποκτείναιεν εἶχον,
καὶ, ὥσπερ τοὺς γίγαντας, κεραυνώσαντες, τὸ γένος ἀφανί-
σαιεν (αἱ τιμαὶ γὰρ αὐτοῖς καὶ τὰ ἱερὰ τὰ παρὰ τῶν ἀν-
θρώπων ἠφανίζετο) οὔτε ὅπως ἐᾷεν ἀσελγαίνειν. μόγις δὴ ὁ
Ζεὺς ἐννοήσας λέγει ὅτι, Δοκῶ μοι, ἔφη, ἔχειν μηχανὴν, ὡς

ire contenderet, inſtar eorum, qui prono capite crura ſurſum circumferentes circularem choream exercent, tunc octo membris innixus celeri circulo ferebatur. Ob hanc vero cauſam tria genera & talia erant, quia maſculum Sole genitum erat; femina, Terra; promiſcuum denique, Luna. utriuſque enim Luna eſt particeps. Sphaerica vero erant & figura, & motu, quia parentum ſimilia. unde & robuſto corpore, & elato animo erant. quare cum Diis pugnare tentabant, & in coelum aſcendere, quemadmodum de Ephialto & Oto ſcribit Homerus. Iuppiter igitur, unaque Dii ceteri, quid agendum eſſet, conſultaverunt. qua in re non parva inerat ambiguitas. nam neque quomodo eos interficerent, reperiebant, ne, ſi eorum, ſicuti gigantum, fulminando genus delerent, exſtincto hominum genere, humanus Deorum cultus veneratioque periret: neque in tanta inſolentia perſeverare illos permittendum cenſebant. Tandem ſententiam Iuppiter ſuam explicuit. Inveni,

ἂν εἶέν τε ἄνθρωποι, καὶ παύσαιντο τῆς ἀκολασίας, ἀσθενέστε-
ροι γενόμενοι. νῦν μὲν γὰρ αὐτοὺς, ἔφη, διατεμῶ δίχα ἕκα- d.
στον· καὶ ἅμα μὲν ἀσθενέστεροι ἔσονται, ἅμα δὲ χρησιμώτεροι
ἡμῖν, διὰ τὸ πλείους τὸν ἀριθμὸν γεγονέναι. καὶ βαδιοῦνται
ὀρθοὶ ἐπὶ δυοῖν σκελοῖν. ἐὰν δέ τι δοκῶσιν ἀσελγαίνειν, καὶ
μὴ ἐθέλωσιν ἡσυχίαν ἄγειν, πάλιν αὖ, ἔφη, τεμῶ δίχα·
ὥστ' ἐφ' ἑνὸς ποδοῖν σκέλους ἀσκωλιάζοντες. ταῦτα
εἰπὼν ἔτεμνε τοὺς ἀνθρώπους δίχα, ὥσπερ οἱ τὰ ὠὰ τέμνον- e.
τες, καὶ μέλλοντες ταριχεύειν, ἢ ὥσπερ οἱ τὰ ὠὰ ταῖς θρι-
ξίν. ὁπόσα δὲ τέμοι, τὸν Ἀπόλλω ἐκέλευε τό, τε πρόσωπον
μεταστρέφειν καὶ τὸ τοῦ αὐχένος ἥμισυ πρὸς τὴν τομὴν,
ἵνα θεώμενος τὴν αὑτοῦ τμῆσιν κοσμιώτερος εἴη ὁ ἄνθρωπος·
καὶ τἆλλα ἰᾶσθαι ἐκέλευεν. ὁ δὲ τό, τε πρόσωπον μετέστρεφε,
καὶ συνέλκων πανταχόθεν τὸ δέρμα ἐπὶ τὴν γαστέρα νῦν κα-
λουμένην, ὥσπερ τὰ σύσπαστα βαλάντια, ἓν στόμα ποιῶν,
ἀπέδει κατὰ μέσην τὴν γαστέρα, ὃ δὴ τὸν ὀμφαλὸν καλοῦσι.
καὶ τὰς μὲν ἄλλας ῥυτίδας τὰς πολλὰς ἐξελέαινε, καὶ τὰ p. 191 a.

inquit, qua ratione fieri poſſit, ut & ſint homines, & modeſtiores ſint: idque erit, ſi imbecilliores fiant. Unumquemque nunc duas in partes dividam. ex quo & debiliores erunt, & nobis etiam magis id conducit: numero ſiquidem plures erunt, qui nos colent. recti vero duobus cruribus ibunt. quod ſi rurſus impie inſurgere videantur, iterum in duo ſecabo, ut unico crure nixi, utpote claudi, ſaltare cogantur. Haec fatus, bifariam partitus eſt ſingulos, inſtar eorum, qui ova dividunt, ut ſale condiant, vel qui capillis ova ſecant. mandavitque Apollini, ut partitione ſtatim facta, cuiuſque vultum cerviciſque dimidium in eam partem, qua ſectus eſſet, verteret, ut ſciſſionem ſuam conſiderans modeſtior fieret: reliquis autem mederi iuſſit. Ille continuo vultum vertit, & contrahens undique cutem in eum, qui nunc venter vocatur, tanquam contracta marſupia, & os unum faciens, medio in ventre ligavit. quem quidem nexum, umbilicum vocant. Et alias quidem rugas maxima ex parte laevigavit, pectoraque articulatim diſtinxit,

ςήθη διήρθρου, ἔχων τὶ τοιοῦτον ὄργανον οἷον οἱ σκυτοτόμοι, περὶ τὸν καλάποδα λειαίνοντες τὰς τῶν σκυτῶν ῥυτίδας. ὀλίγας δὲ κατέλιπε τὰς περὶ αὐτὴν τὴν γαςέρα καὶ τὸν ὀμφαλὸν, μνημεῖον εἶναι τοῦ παλαιοῦ πάθους. ἐπειδὴ οὖν ἡ Φύσις δίχα ἐτμήθη, ποθοῦν ἕκαςον τὸ ἥμισυ τὸ αὑτοῦ, ξυνῄει, καὶ περιβάλλοντες τὰς χεῖρας, καὶ συμπλεκόμενοι ἀλλήλοις, ἐπιθυμοῦντες συμφῦναι, ἀπέθνῃσκον ὑπὸ τοῦ λιμοῦ καὶ
b. τῆς ἄλλης ἀργίας, διὰ τὸ μηδὲν ἐθέλειν χωρὶς ἀλλήλων ποιεῖν· καὶ ὁπότε τὶ ἀποθάνοι τῶν ἡμίσεων, τὸ δὲ λειφθείη, τὸ λειφθὲν ἄλλο ἐζήτει, καὶ συνεπλέκετο, εἴτε γυναικὸς τῆς ὅλης ἐντύχοι ἡμίσει (ὃ δὴ νῦν γυναῖκα καλοῦμεν) εἴτ' ἀνδρός· καὶ οὕτως ἀπώλλυντο. ἐλεήσας δὲ ὁ Ζεὺς, ἄλλην μηχανὴν πορίζεται, καὶ μετατίθησιν αὐτῶν τὰ αἰδοῖα εἰς τὸ πρόσθεν. τέως γὰρ καὶ ταῦτα ἐκτὸς εἶχον, καὶ ἐγέννων, καὶ ἔτικτον,
c. οὐκ εἰς ἀλλήλους, ἀλλ' εἰς γῆν, ὥσπερ οἱ τέττιγες. μετέθηκέ τε οὖν οὕτως αὐτῶν εἰς τὸ πρόσθεν, καὶ διὰ τούτων τὴν

instrumento quodam tali utens, quali coriarii, cum corii rugas super pedis formulam poliunt: nonnullas vero circa medium ventrem umbilicumque reliquit, ut quasi cicatrices quaedam passionem nobis veterem semper repraesentarent. Postquam natura hominum ita divisa fuit, cum quisque dimidium sui agnitum cuperet, inter se concurrebant, circumiectisque brachiis se invicem complectebantur, conflari in unum affectantes. unde fame & torpore deficiebant, eo quod nunquam seiungi vellent. & cum dimidium unum moriebatur, restabatque alterum; quod supererat, rursus aliud adsciscebat, similiterque congrediebatur: sive solius cuiusdam totiusque feminae dimidium esset, quam feminam nunc vocamus, seu viri. Atque ita genus hominum deperibat. Quocirca miseratus Iuppiter, remedium aliud excogitavit: permutavit genitalia, &, quae prius retro erant, ad anteriores partes transtulit. Antea siquidem, cum ad nates haec haberent, non invicem, sed in terram spargentes semina, cicadarum instar, concipiebant atque generabant. Cum vero ad anteriora transposuisset, per haec

γένεσιν ἐν ἀλλήλοις ἐποίησε, διὰ τοῦ ἄρρενος ἐν τῷ θήλει τῶνδε ἕνεκα, ἵνα ἐν τῇ συμπλοκῇ, ἅμα μὲν εἰ ἀνὴρ γυναικὶ ἐντύχοι, γεννῷεν, καὶ γίγνοιτο τὸ γένος· ἅμα δ' εἰ καὶ ἄρρεν, πλησμονὴ γοῦν γίγνοιτο τῆς συνουσίας, καὶ διαναπαύοιντο, καὶ ἐπὶ τὰ ἔργα τρέποιντο, καὶ τοῦ ἄλλου βίου ἐπιμελοῖντο. ἐξι δὴ οὖν ἐκ τόσου ὁ ἔρως ἔμφυτος ἀλλήλων τοῖς ἀνθρώ- d.
ποις, καὶ τῆς ἀρχαίας φύσεως συναγωγεὺς, καὶ ἐπιχειρῶν ποιῆσαι ἓν ἐκ δυοῖν, καὶ ἰάσασθαι τὴν φύσιν τὴν ἀνθρωπίνην. ἕκαστος οὖν ἡμῶν ἐστιν ἀνθρώπου ξυμβολον, ἅτε τετμημένος, ὥσπερ αἱ ψῆτται, ἐξ ἑνὸς δυο. ζητεῖ δὴ ἀεὶ τὸ ἑαυτοῦ ἕκαστον ξυμβολον. ὅσοι μὲν οὖν τῶν ἀνδρῶν τοῦ κοινοῦ τμῆμά εἰσιν, (ὃ δὴ τότε ἀνδρόγυνον ἐκαλεῖτο) φιλογύναικές τε εἰσὶ, καὶ οἱ πολλοὶ τῶν μοιχῶν ἐκ τούτου τοῦ γένους γεγόνασι· καὶ ὅσαι αὖ γυναῖκες φίλανδροί τε καὶ μοιχεύτριαι, ἐκ τούτου τοῦ e.
γένους γίγνονται. ὅσαι δὲ τῶν γυναικῶν γυναικὸς τμῆμά εἰσιν, οὐ πάνυ αὗται τοῖς ἀνδράσι τὸν νοῦν προσέχουσιν, ἀλλὰ μᾶλλον πρὸς τὰς γυναῖκας τετραμμέναι εἰσὶ· καὶ αἱ ἑται-

generationem in se invicem fecit expleri, per masculum quidem in femina: hac de causa, ut si in amplexu vir feminae commiscereturgenita prole speciem hominum propagarent; sin autem masculo masculus, satietate ab amplexu amoverentur, & ad res gerendas conversi victum curarent. Hinc utique ex illo tempore mutuus hominibus innatus est amor, priscae naturae conciliator, annitens unum ex duobus efficere, hominumque naturae mederi. Est igitur quisque nostrûm dimidium hominis, utpote sectus, quemadmodum piscículi, qui Plattae vocantur, sciffi ex uno duo efficiuntur. quaerit autem perpetuo sui quisque dimidium. Quamobrem quicunque ex viris promiscui generis portio sunt, quod olim Androgynum vocabatur, mulierosi sunt, adulterique ut plurimum ex his reperiuntur. ex hoc sane genere moechi ducunt originem. Rursus quaecunque mulieres virorum cupidae moechaeque sunt, hac stirpe nascuntur. quae vero mulieres mulieris pars exsistunt, haud multum viros desiderant, sed feminas magis

ρίσριαι ἐκ τούτου τοῦ γένους γίγνονται. ὅσοι δὲ ἄρρενος τμήμά εἰσι, τὰ ἄρρενα διώκουσι· καὶ τέως μὲν ἂν παῖδες ὦσιν, ἅτε τεμμάχια ὄντα τοῦ ἄρρενος, φιλοῦσι τοὺς ἄνδρας, καὶ
p. χαίρουσι συγκατακείμενοι καὶ συμπεπλεγμένοι τοῖς ἀνδράσι·
192 καὶ εἰσὶν οὗτοι βέλτιστοι τῶν παίδων καὶ μειρακίων, ἅτε ἀν-
a. δρειότατοι ὄντες φύσει. φασὶ δὲ δή τινες αὐτοὺς ἀναισχύντους εἶναι, ψευδόμενοι. οὐ γὰρ ὑπ' ἀναισχυντίας τοῦτο δρῶσιν, ἀλλ' ὑπὸ θάρρους καὶ ἀνδρίας καὶ ἀρρενωπίας τὸ ὅμοιον αὐτοῖς ἀσπαζόμενοι. μέγα δὲ τεκμήριον. καὶ γὰρ τελεωθέντες, μόνοι ἀποβαίνουσιν εἰς τὰ πολιτικὰ ἄνδρες οἱ τοιοῦτοι· ἐπειδὰν δὲ ἀνδρωθῶσι, παιδεραστοῦσι, καὶ πρὸς γάμους καὶ
b. παιδοποιΐας οὐ προσέχουσι τὸν νοῦν φύσει, ἀλλὰ ὑπὸ τοῦ νόμου ἀναγκάζονται· ἀλλ' ἐξαρκεῖ αὐτοῖς μετ' ἀλλήλων καταζῆν ἀγάμοις. πάντως μὲν οὖν ὁ τοιοῦτος, παιδεραστής τε καὶ φιλεραστὴς γίγνεται, ἀεὶ τὸ ξυγγενὲς ἀσπαζόμενος. ὅταν μὲν οὖν καὶ αὐτῷ ἐκείνῳ ἐντύχῃ τῷ αὐτοῦ ἡμίσει καὶ ὁ παιδεραστὴς καὶ ἄλλος πᾶς, τότε καὶ θαυμαστὰ ἐκπλήττονται, φιλίᾳ

affectant: atque hinc feminae, quae feminas cupiunt, naſcuntur. At vero qui maris portio ſunt, mares ſequuntur. at dum pueri ſunt, utpote qui maris particula ſunt, viros diligunt, virorumque familiaritate aſſidua congreſſuque gaudent. hique ſunt puerorum adoleſcentulorumque omnium generoſiſſimi, quippe qui natura prae ceteris omnibus ſunt viriles. Hos quidam impudicos falſo appellant. neque enim impudentia ulla, ſed generoſitate & fortitudine quadam maſcula, virilique natura hoc agunt: nam ſimili ſuo congratulantur. Huius evidens argumentum eſt, quod, cum adoleverint, ſoli ad civilem adminiſtrationem converſi, viri praeſtantes evadunt, & in aetate virili conſtituti, ipſos adoleſcentes diligunt; matrimonium vero filiorumque generationem natura ſpernunt: ſed lege coguntur. coelebs porro vita his placet. Omnino igitur vir talis mares diligit, amicorumque ſtudioſus efficitur, cognato ſemper congratulatus. quoties itaque dimidium ſuum alicui, cuiuſcunque ſexus avidus ſit, occurrit, vehementiſſime

τε καὶ οἰκειότητι καὶ ἔρωτι οὐκ ἐθέλοντες, ὡς ἔπος εἰπεῖν,
χαρίζεσθαι ἀλλήλων, οὐδὲ σμικρὸν χρόνον. καὶ οἱ διατελοῦν- c.
τες μετ' ἀλλήλων διὰ βίου, οὗτοί εἰσιν οἳ οὐδ' ἂν ἔχοιεν εἰπεῖν
ὅ, τι βούλονται σφίσι παρ' ἀλλήλων γίγνεσθαι. οὐδὲ γὰρ
ἂν δόξειε τοῦτ' εἶναι ἡ τῶν ἀφροδισίων συνουσία, ὡς ἄρα
τούτου ἕνεκα ἕτερος ἑτέρῳ χαίρει ξυνὼν οὕτως ἐπὶ μεγά-
λης σπουδῆς· ἀλλ' ἄλλό τι βουλομένη ἑκατέρου ἡ ψυχὴ
δῆλη ἐστὶν, ὃ οὐ δύναται εἰπεῖν, ἀλλὰ μαντεύεται ὃ βού-
λεται, καὶ αἰνίττεται. καὶ εἰ αὐτοῖς ἐν τῷ αὐτῷ κατακει- d.
μένοις ἐπιστὰς ὁ Ἥφαιστος, ἔχων τὰ ὄργανα, ἔροιτο, Τί
ἐστὶ, ὃ βουλεσθε, ὦ ἄνθρωποι, ὑμῖν παρ' ἀλλήλων γενέ-
σθαι; καὶ εἰ ἀποροῦντας αὐτοὺς πάλιν ἔροιτο, Ἆράγε
τοῦδε ἐπιθυμεῖτε ἐν τῷ αὐτῷ γενέσθαι μάλιστα ἀλλή-
λοις, ὥστε καὶ νύκτα καὶ ἡμέραν μὴ ἀπολείπεσθαι ἀλλή-
λων; εἰ γὰρ τούτου ἐπιθυμεῖτε, ἐθέλω ὑμᾶς συντῆξαι καὶ
συμφῦσαι εἰς τὸ αὐτὸ, ὥστε δύο ὄντας ἕνα γεγονέναι· καὶ e.
ἕως τ' ἂν ζῆτε, ὡς ἕνα ὄντας κοινῇ ἀμφοτέρους ζῆν, καὶ
ἐπειδὰν ἀποθάνητε, ἐκεῖ αὖ ἐν ᾅδου ἀντὶ δυοῖν ἕνα εἶναι κοινῇ

concitantur, & obſtupeſcunt, amicitiaque & familiaritate & amore ardent; neque momentum quidem, ut ita dixerim, ſeiungi a ſe invicem patiuntur. Atque hi ſunt, qui per omnem vitam amare pergunt: neque, quid potiſſimum a ſe viciſſim expetant, exprimere poſſunt. neque enim venereus coitus id eſſe videtur, cuius gratia alter alterius conſuetudine tantopere delectatur. aliud quiddam eſt profecto, quod animus utriuſque cupit, nec exprimere valet, ſed vaticinatur potius coniicitque, & affectum inſitum veſtigiis ſignat obſcuris. Atqui ſi una iacentibus illis ſuperne Vulcanus cum ſuis inſtrumentis adſtans interrogaret, Quid eſt, o homines, quod a vobis viciſſim exigitis? & ambigentibus illis, iterum percontaretur, Numquid hoc exoptatis, in unum idemque maxime congredi, adeo ut neque die neque nocte invicem ſeparemini? Si hoc affectatis, colliquefaciam vos, confundamque in idem, ut ex duobus unum efficiamini, & tam in hac vita, quam

τεθνεῶτε. ἀλλ' ἰδὼν εἰ τούτου ἐρᾶτε, καὶ ἐξαρκεῖ ὑμῖν ἂν τούτου τύχητε. ταῦτα ἀκούσας ἴσμεν ὅτι οὐδ' ἂν εἷς ἐξαρνηθείη, οὐδ' ἄλλό τι ἂν φανείη βουλόμενος, ἀλλ' ἀτεχνῶς οἴοιτ' ἂν ἀκηκοέναι τοῦτο ὃ πάλαι ἄρα ἐπεθύμει, συνελθὼν καὶ συνταχεὶς τῷ ἐρωμένῳ, ἐκ δυοῖν εἷς γενέσθαι. τοῦτο γάρ ἐστι τὸ αἴτιον, ὅτι ἡ ἀρχαία φύσις ἡμῶν ἦν αὕτη, καὶ ἦμεν ὅλοι. τοῦ ὅλου οὖν τῇ ἐπιθυμίᾳ καὶ διώξει ἔρως ὄνομα. καὶ πρό-
p. τοῦ, ὥσπερ λέγω, ἓν ἦμεν· νυνὶ δὲ διὰ τὴν ἀδικίαν διῳκίσθη-
193 μεν ὑπὸ τοῦ θεοῦ, καθάπερ Ἀρκάδες ὑπὸ Λακεδαιμονίων.
a. φόβος οὖν ἔνεστιν, ἐὰν μὴ κόσμιοι ὦμεν πρὸς τοὺς θεούς, ὅπως μὴ καὶ αὖθις διασχισθησόμεθα, καὶ περίιμεν ἔχοντες, ὥσπερ οἱ ἐν ταῖς στήλαις, καταγραφὴν ἐκτετυπωμένοι, διαπεπρισμένοι κατὰ τὰς ῥῖνας γεγονότες, ὥσπερ λίσπαι. ἀλλὰ τούτων ἕνεκα, πάντ' ἄνδρα χρὴ ἅπαντα παρακελεύεσθαι
b. εὐσεβεῖν περὶ θεούς· ἵνα τὰ μὲν ἐκφύγωμεν, τῶν δὲ τύχωμεν, ὡς ὁ Ἔρως ἡμῖν ἡγεμὼν καὶ στρατηγός. ᾧ μηδεὶς ἐναν-

apud inferos, unum ſemper perſeveretis. videte, an hoc ſit, quod arderis, ſatiſque futurum ſit vobis, ſi huius compotes officiamini. Si ita, inquam, Vulcanus quaereret, conſtat, quod nemo renueret, aut aliud, quam hoc, expetere videretur. revera enim, quod olim cupierat, audiſſe ſe quiſque putaret, congreſſu videlicet commixtioneque cum amato unum ex duobus conſici. Huius cauſa eſt, quia priſca hominum natura haec erat, integrique eramus. Totius itaque reficiendi cupido niſuſque, amoris nomen accepit. olim quidem, ut ſupra narrabam, unum eramus: deinde propter iniuſtitiam a Deo ſciſſi fuimus, quemadmodum a Lacedaemoniis Arcades. verendum eſt praeterea, ne, ſi minus modeſti, quam deceat, in Deos ſimus, iterum dividamur, taleſque efficiamur, quales qui in columnis ſigurantur, nares diſſecti, ſimiles tenuiſſimorum quorundam animalium, quae liſpae vocantur. Sed horum gratia unumquemque decet ſumma pietate Deos colere, & alios ad hoc exhortari: ut haec vitemus, adipiſcamur illa: quemadmodum nos dux noſter Amor & imperator admonet,

τία πραττέτω· πράττει δ' ἐναντία, ὅστις θεοῖς ἀπεχθάνεται. φίλοι γὰρ γενόμενοι, καὶ διαλλαχθέντες τῷ θεῷ, ἐξευρήσομέν τε καὶ ἐντευξόμεθα τοῖς παιδικοῖς τοῖς ἡμετέροις αὐτῶν· ὃ τῶν νῦν ὀλίγοι ποιοῦσι. καὶ μή μου ὑπολάβῃ Ἐρυξίμαχος κωμῳδῶν τὸν λόγον, ὡς Παυσανίαν καὶ Ἀγάθωνα λέγω. ἴσως μὲν γὰρ καὶ οὗτοι τούτων τυγχάνουσιν ὄντες, καὶ εἰσιν c. ἀμφότεροι τὴν φύσιν ἄρρενες. λέγω δὲ οὖν ἔγωγε καθ' ἁπάντων καὶ ἀνδρῶν καὶ γυναικῶν, ὅτι οὕτως ἂν ἡμῶν τὸ γένος εὐδαιμον γένοιτο, εἰ ἐκτελέσαιμεν τὸν ἔρωτα, καὶ τῶν παιδικῶν τῶν αὑτοῦ ἕκαστος τύχοι, εἰς τὴν ἀρχαίαν ἀπελθὼν φύσιν. εἰ δὲ τοῦτο ἄριστον, ἀναγκαῖον καὶ τῶν νῦν παρόντων τὸ τούτου ἐγγυτάτω ἄριστον εἶναι. τοῦτο δ' ἐστὶ παιδικῶν τυχεῖν, κατὰ νοῦν αὐτῷ πεφυκότων. οὗ δὴ τὸν αἴτιον θεὸν ὑμνοῦντες, δικαίως ἂν ὑμνοῖμεν Ἔρωτα· ὃς ἔν τε τῷ παρόντι ἡμᾶς d. πλεῖστα ὀνίνησιν εἰς τὸ οἰκεῖον ἄγων, καὶ εἰς τὸ ἔπειτα ἐλπίδας μεγίστας παρέχεται, ἡμῶν παρεχομένων πρὸς θεοὺς εὐσέβειαν, καταστήσας ἡμᾶς εἰς τὴν ἀρχαίαν φύσιν, καὶ ἰασά-

cui nullus repugnare audeat. repugnat autem huic, qui adversatur Diis. nam si Deo reconciliati, eum propitium habuerimus, singuli dimidium suum exoptatum reperiemus & consequemur. quod quidem pauci his temporibus agunt. Neque sermonem hunc meum Eryximachus iste corripiat, quasi Pausaniam Agathonemque dicam. forte enim & isti ex his sunt, & natura ambo mares exsistunt. Assero equidem de omnibus viris ac feminis, ita demum genus nostrum fore beatum, si quando amoris impetum expleamus, & suis quisque deliciis potiatur, in antiquam naturam penitus restitutus. Si hoc felicissimum quiddam est, sequitur, ut ex iis, quae nunc nobis tributa sunt, quod huic proximum est, id sit & optimum: hoc est, ut quilibet eos, qui natura ipsi cordi sunt, nanciscatur. Cuius utique causam Deum laudantes, Amorem iure laudare debemus, qui in praesenti tempore nos summopere iuvat, dum ad id, quod cuique proprium est, nos deducit, & in posterum spem summam porrigit nobis Deos pie colenti-

μενος, μακαρίους καὶ εὐδαίμονας ποιῆσαι. Οὗτος, ἔφη, ὦ Ἐρυξίμαχε, ὁ ἐμὸς λόγος ἐστὶ περὶ Ἔρωτος, ἀλλοῖος ἢ ὁ σός. ὥσπερ οὖν ἐδεήθην σου, μὴ κωμῳδήσῃς αὐτόν· ἵνα καὶ τῶν
e. λοιπῶν ἀκούσωμεν τί ἕκαστος ἐρεῖ, μᾶλλον δὲ τί ἑκάτερος. Ἀγάθων γὰρ καὶ Σωκράτης λοιποί. Ἀλλὰ πείσομαί σοι, ἔφη φάναι τὸν Ἐρυξίμαχον· καὶ γάρ μοι ὁ λόγος ἡδέως ἐρρέθη. καὶ εἰ μὴ ξυνήδειν Σωκράτει τε καὶ Ἀγάθωνι δεινοῖς οὖσι περὶ τὰ ἐρωτικά, πάνυ ἂν ἐφοβούμην μὴ ἀπορήσωσι λόγων, διὰ τὸ πολλὰ καὶ παντοδαπὰ εἰρῆσθαι· νῦν δὲ ὅμως
p. θαρρῶ. Τὸν οὖν Σωκράτη εἰπεῖν, Καλῶς γὰρ αὐτὸς ἠγώνι-
194 σαι, ὦ Ἐρυξίμαχε. εἰ δὲ γένοιο σὺ νῦν ἐγὼ εἰμι, μᾶλλον δὲ
a. ἴσως οὗ ἔσομαι, ἐπειδὰν καὶ Ἀγάθων εἴπῃ, εὖ καὶ μάλ' ἂν φοβοῖο, καὶ ἐν παντὶ εἴης, ὥσπερ ἐγὼ νῦν. Φαρμάττειν βούλει με, ὦ Σώκρατες, εἰπεῖν τὸν Ἀγάθωνα, ἵνα θορυβηθῶ, διὰ τὸ οἴεσθαι τὸ θέατρον προσδοκίαν μεγάλην ἔχειν ὡς εὖ ἐροῦντος ἐμοῦ. Ἐπιλήσμων μέντ' ἂν εἴην, ὦ Ἀγάθων, εἰπεῖν

bus, in veterem figuram reſtituendo medendoque ſe nos beatiſſimos effecturum. Hic meus eſt, Eryximache, de Amore ſermo, a tuo diverſus: quem, ut ſupra oravi, ne carpas, ut audiamus, quid quiſque reliquorum afferat, immo quid uterque. nam Agatho dumtaxat & Socrates reſtant. Morem tibi geram, dicere Eryximachum. nam mihi oratio tua placet. & niſi cognoviſſem, Socratem & Agathonem in amatoriis eſſe facundos, vehementer dubitaſſem, ne verba illis deficerent, eo quod multa variaque ſunt dicta. verum adhuc illis confido. Strenue & ipſe certaſti, o Eryximache, Socrates, inquit, dicebat. verum ſi in eo gradu conſtitutus eſſes, in quo nunc ego ſum, immo in quo ero, cum Agatho quoque ſcite dixerit, perinde ut ego nunc maxime formidares, & anguſtiis undique premereris. Incantationibus circumvenire me vis, o Socrates, Agathonem reſpondiſſe, ut in conſpectu veſtro paveſcam, quod magna apud vos tanquam in theatro de me exſpectatio ſit, quaſi elegantiſſime ſim dicturus. Nimis, o Agatho, oblivioſus eſſem, dixiſſe Socratem, ſi te nunc

τὸν Σωκράτη, εἰ ἰδὼν τὴν σὴν ἀνδρίαν καὶ μεγαλοφροσύνην b.
ἀναβαίνοντος ἐπὶ τὸν ὑκρίβαντα μετὰ τῶν ὑποκριτῶν, καὶ
βλέψαντος ἐναντίον τοσούτου θεάτρου, μέλλοντος ἐπιδείξα-
σθαι σαυτοῦ λόγους, καὶ οὐδ' ὁπωστιοῦν ἐκπλαγέντος, νῦν
οἰηθείην σὲ θορυβηθήσεσθαι ἕνεκα ἡμῶν ὀλίγων ἀνθρώπων.
Τι δαί; ὦ Σώκρατες, τὸν Ἀγάθωνα φάναι, οὐ δήπου με
οὕτω θεάτρου μεστὸν ἡγῇ, ὥστε καὶ ἀγνοεῖν ὅτι νοῦν ἔχοντι
ὀλίγοι ἔμφρονες πολλῶν ἀφρόνων φοβερώτεροι. Οὐ μέντ' ἂν
καλῶς ποιοιην, φάναι τὸν Σωκράτη, ὦ Ἀγάθων, περὶ σοῦ c.
τι ἐγὼ ἀγροικον δοξάζων. ἀλλ' εὖ οἶδα, ὅτι εἴ τισιν ἐντύχοις
οἷς ἡγοῖο σοφοὺς, μᾶλλον ἂν αὐτῶν φροντίζοις ἢ τῶν πολ-
λῶν. ἀλλὰ μὴ οὐχ οὗτοι ἡμεῖς ὦμεν. ἡμεῖς μὲν γὰρ καὶ ἐκεῖ
παρῆμεν, καὶ ἤμεν τῶν πολλῶν. εἰ δὲ ἄλλοις ἐντύχοις σοφοῖς,
τάχ' ἂν αἰσχυνοιο αὐτοὺς, εἴτι ἴσως οἷοιο αἰσχρὸν ὂν ποιεῖν.
ἢ πῶς λέγεις; Ἀληθῆ λέγεις, φάναι. Τοὺς δὲ πολλοὺς οὐκ
ἂν αἰσχυνοιο εἴτι οἷοιο αἰσχρὸν ποιεῖν; Καὶ τὸν Φαίδρον ἔφη d.
ὑπολαβόντα εἰπεῖν, Ὦ φίλε Ἀγάθων, ἐὰν ἀποκρίνῃ Σωκρά-

propter nos tam paucos homines trepidaturum putarem, quem tam fortiter tamque generoſe aſcendiſſe pulpitum tragicum una cum hiſtrionibus viderim, & ſine ullo terroris motu coram tanta ſpectantium multitudine carmina tua protuliſſe. Ne me adeo, dicere Agathonem, theatri ſtudioſum eiuſque favori deditum putes, ut ignorem, prudenti viro paucorum ſapientum magis, quam multorum inſipientium, iudicium eſſe verendum. Inique iudicarem, Agatho, Socratem dicere, ſi quid in te ruſticum exiſtimarem. novi equidem, quod ſi in aliquos incideres tuo iudicio ſapientes, magis eos, quam vulgus, curares. Sed vide, ne ipſi tales minime ſimus. interfuimus ibi & ipſi, vulgarium numero computati. Sin autem aliis occurreres ſapientibus, ne quid in eorum conſpectu inepte faceres, formidares. numquid aliter dicis? Non: vera enim refers, dicere Agathonem. Vulgus autem non metueres, dicere Socratem, ſi quid ineptum committere te putares? Hic Phaedrum, O amice Agathon, ſubieciſſe, ſi So-

τει, οὐδὲν ἔτι δεήσει αὐτῷ ἐπηῦν τῶν ἐνθάδε ὑτιοῦν γίγνεσθαι· ἐὰν μόνον ἔχῃ ὅτῳ διαλέγηται, ἄλλως τε καὶ καλῷ. ἐγὼ δὲ ἡδέως μὲν ἀκούω Σωκράτους διαλεγομένου· ἀναγκαῖον δέ μοι ἐπιμεληθῆναι τοῦ ἐγκωμίου τῷ Ἔρωτι, καὶ ἀποδέξασθαι παρ' ἑνὸς ἑκάστου ὑμῶν τὸν λόγον. ἀποδοὺς οὖν ἑκάτερος
c. τῷ θεῷ, οὕτως ἤδη διαλεγέσθω. Ἄλλα καλῶς λέγεις, ὦ Φαῖδρε, φάναι τὸν Ἀγάθωνα, καὶ οὐδέν με κωλύει λέγειν. Σωκράτει γὰρ καὶ αὖθις ἔσαι πολλάκις διαλέγεσθαι. Ἐγὼ δὲ δὴ βούλομαι πρῶτον μὲν εἰπεῖν, ἥ χρή με εἰπεῖν, ἔπειτα εἰπεῖν. δοκοῦσι γάρ μοι πάντες οἱ πρόσθεν εἰρηκότες, οὐ τὸν θεὸν ἐγκωμιάζειν, ἀλλὰ τοὺς ἀνθρώπους εὐδαιμονίζειν τῶν ἀγαθῶν, ὧν ὁ θεὸς αὐτοῖς αἴτιος. ὁποῖος δέ τις αὐτὸς ὢν, ταῦτα
P. ἐδωρήσατο, οὐδεὶς εἴρηκεν. εἷς δὲ τρόπος ὀρθὸς παντὸς ἐπαίνου
195 περὶ παντὸς, λόγῳ διελθεῖν οἷος οἵων αἴτιος ὢν τυγχάνει περὶ
a. οὗ ἂν ὁ λόγος ᾖ. οὕτω δὴ τὸν Ἔρωτα καὶ ἡμᾶς δίκαιον ἐπαινέσαι πρῶτον αὐτὸν οἷός ἐστιν, ἔπειτα τὰς δόσεις. φημὶ οὖν ἐγω, πάντων θεῶν εὐδαιμόνων ὄντων, Ἔρωτα (εἰ θέμις καὶ

crati reſpondere pergis, nihil curabit, quomodocunque cetera hic agantur, modo habeat, quicum diſputet, pulchro praeſertim. equidem libenter Socratem audio diſputantem: verumtamen curandum mihi eſt, ut Amor a ſingulis ordine certo laudetur. Laudate igitur & vos Deum primo: poſtea arbitratu veſtro invicem diſputabitis. Praeclare loqueris, Phaedre, Agathonem dixiſſe, neque me quidquam dicere prohibet. cum Socrate quidem ſaepe alias diſputare licebit. Ego vero nunc primum, quatenus dicendum ſit, monſtrabo: poſtea dicam. Videntur mihi omnes, qui hactenus locuti ſunt, non ipſum Deum laudaſſe, ſed beneficia, quae feliciter ab illo conferuntur, hominibus narraviſſe. qualis vero ipſe ſit, qui horum bonorum cauſa eſt, nullus adhuc expreſſit. Recta autem laudandi ratio ſola in omnibus illa eſt, qua illius, de quo agitur, natura prius oſtenditur; poſtea, quorum cauſa eſt, declaratur. Sic in praeſentia, qualis ipſe ſit Amor, primum oſtendere decet, deinde munera illius exponere. Aſſero equi-

ἀνεμέσητον εἰπεῖν) εὐδαιμονέστατον εἶναι αὐτῶν, κάλλιστον
ὄντα καὶ ἄριστον. ἔστι δὲ, κάλλιστος ὢν, τοιόσδε· πρῶτον μὲν
νεώτατος θεῶν, ὦ Φαῖδρε. μέγα δὲ τεκμήριον τῷ λόγῳ αὐ- b.
τὸς παρέχεται, φεύγων φυγῇ τὸ γῆρας, ταχὺ ὂν δηλονότι.
θᾶττον γοῦν τοῦ δέοντος ἡμῖν προσέρχεται· ὃ δὴ πέφυκεν
Ἔρως μισεῖν, καὶ οὐδ' ὄντος πολλοῦ πλησιάζειν. μετὰ δὲ νέων
ἀεὶ ξύνεστί τε καὶ ἔστιν. ὁ γὰρ παλαιὸς λόγος εὖ ἔχει, ὡς ὅμοιον
ὁμοίῳ ἀεὶ πελάζει. ἐγὼ δὲ, Φαίδρῳ πολλὰ ἄλλα ὁμολογῶν,
τοῦτο οὐχ ὁμολογῶ, ὡς Ἔρως Κρόνου καὶ Ἰαπετοῦ ἀρχαιό-
τερος ἐστιν. ἀλλὰ φημὶ νεώτατον αὐτὸν εἶναι θεῶν, καὶ ἀεὶ c.
νέον. τὰ δὲ παλαιὰ πράγματα περὶ θεοὺς, ἃ Ἡσίοδος καὶ
Παρμενίδης λέγουσιν, Ἀνάγκῃ καὶ οὐκ Ἔρωτι γεγονέναι,
εἰ ἐκεῖνοι ἀληθῆ ἔλεγον. οὐ γὰρ ἂν ἐκτομαὶ οὐδὲ δεσμοὶ ἀλ-
λήλων ἐγίγνοντο, καὶ ἄλλα πολλὰ καὶ βίαια, εἰ Ἔρως ἐν
αὐτοῖς ἦν, ἀλλὰ φιλία καὶ εἰρήνη, ὥσπερ νῦν, ἐξ οὗ Ἔρως
τῶν θεῶν βασιλεύει. νέος μὲν οὖν ἐστι· πρὸς δὲ τῷ νέῳ ἁπα-

dem, cum Dii omnes beati ſint, Amorem, ſi modo fas eſt & tolerabile dictu, eſſe omnium beatiſſimum, quippe cum pulcherrimus omnium optimuſque exſiſtat. Quod vero pulcherrimus ſit, ex eo primum patet, quod Deorum, o Phaedre, omnium maxime iuvenis eſt. cuius ipſe evidens argumentum praebet, cum ſenectutem fugiat, velocem videlicet, quae citius, quam oportet, adventat: eamque Amor natura odit, fugitque, iuvenibus vero ſe miſcet. Scite quidem veteri proverbio fertur, ſimile ſimili ſemper haerere. & cum multa Phaedro concedo, in hoc minime aſſentior, quod amor Saturno & Iapeto ſit antiquior: immo prae ceteris Diis iuvenem eſſe aio, ſemperque iuvenem. priſca vero Deorum geſta, quae Heſiodus Parmenideſque deſcribunt, Neceſſitati potius, quam Amori, attribuenda, ſi modo illi vera narrarunt. neque enim caſtrari invicem, & vinciri, aliaque violenta permulta Diis olim contigiſſent, ſi Amor illis tunc affuiſſet: ſed benevolentia, & pax ſumma regnaſſet, quemadmodum nunc, ex quo imperare Diis Amor incepit. Ergo

d. λός. ποιητοῦ δ' ἔστιν ἐνδεὴς, οἷος ἦν Ὅμηρος, πρὸς τὸ ἐπιδεῖξαι θεοῦ ἁπαλότητα. Ὅμηρος γὰρ Ἄτην πάνυ [illegible] εἶναι καὶ ἁπαλήν· τοὺς γοῦν πόδας αὐτῆς ἁπαλοῖν [illegible] λέγων, τῆς μὲν δ' ἁπαλοὶ πόδες· οὐ γὰρ ἐπ' οὐδέ[illegible], ἀλλ' ἄρα ἤγε κατ' ἀνδρῶν κράατα βαίνει. Καλῶ οὖν κἀγὼ μοι τεκμηρίῳ τὴν ἁπαλότητα ἀποφαίνειν, ὅτι οὐκ ἐπὶ σκληροῦ βαίνει, ἀλλ' ἐπὶ μαλθακοῦ. τῷ αὐτῷ δὴ καὶ ἡμεῖς χρησόμεθα τεκμηρίῳ περὶ
e. Ἔρωτα ὅτι ἁπαλός. οὐ γὰρ ἐπὶ γῆς βαίνει, οὐδ' ἐπὶ κρανίων (ἃ ἔστιν οὐ πάνυ μαλακὰ) ἀλλ' ἐν τοῖς μαλακωτάτοις τῶν ὄντων καὶ βαίνει καὶ οἰκεῖ. ἐν γὰρ ἤθεσι καὶ ψυχαῖς θεῶν καὶ ἀνθρώπων τὴν οἴκησιν ἵδρυται· καὶ οὐκ αὖ ἐξῆς ἐν πάσαις ταῖς ψυχαῖς, ἀλλ' ἥτινι ἂν σκληρὸν ἦθος ἐχούσῃ ἐντύχῃ, ἀπέρχεται· ἥ δ' ἂν μαλακὸν, οἰκίζεται. ἁπτόμενον οὖν ἀεὶ καὶ ποσὶ καὶ πάντῃ ἐν μαλακωτάτοις τῶν μαλακωτάτων, ἁπα-
p. λώτατον ἀνάγκη εἶναι. νεώτατος μὲν δή ἐστι καὶ ἁπαλώτα-
196 a. τος. πρὸς δὲ τούτοις, ὑγρὸς τὸ εἶδος. οὐ γὰρ ἂν οἷόστ' ἦν

iuvenis eſt, & tener praeterea, molliſque. Opus autem eſt tali quodam poëta, qualis Homerus exſtitit, ad teneram Amoris mollitiem demonſtrandam. Homerus quidem Aten, id eſt, Calamitatem Deam, inquit eſſe & mollem. utque illius pedes teneros eſſe oſtenderet, ait, nunquam pavimenta calcare, ſed per capita hominum incedere. perſpicua ſane coniectura, quod tenera ſit, fuiſſe videtur, quia per dura non graditur, ſed mollia tangit. Eodem nobis utendum eſt argumento, quod tener ſit Amor oſtendere cupientibus. neque enim per terram, & calvarias vadit, quae non admodum molles ſunt, ſed molliſſimis omnium rebus ſe infigit atque permanet. in animis quippe & mentibus Deorum & hominum ſedem ſuam locat. neque tamen in quibuslibet animis: nam ſi durum animi offenderit habitum, aufugit; ſin autem mitem mollemque, inhabitat. Cum itaque molliſſimarum rerum molliſſimas ſemper partes pedibus totoque corpore tangat, tenerrimum eſſe Amorem neceſſe eſt. Quapropter & iuvenis eſt, & tener prae ceteris Amor. Quin etiam aquae in-

πάντη περιπτύσσεσθαι, οὐδὲ διὰ πάσης ψυχῆς, καὶ εἰσιὼν τοπρῶτον λανθάνειν καὶ ἐξιὼν, εἰ σκληρὸς ἦν. συμμέτρου δὲ καὶ ὑγρᾶς ἰδέας μέγα τεκμήριον ἡ εὐσχημοσύνη· ὃ δὴ καὶ διαφερόντως ἐκ πάντων ὁμολογουμένως Ἔρως ἔχει. ἀσχημοσύνῃ γὰρ καὶ Ἔρωτι πρὸς ἀλλήλους ἀεὶ πόλεμος. χρόας δὲ κάλλος ἡ κατ' ἄνθη δίαιτα τοῦ θεοῦ σημαίνει. ἀνανθεῖ γὰρ καὶ ἀπηνθηκότι καὶ σώματι καὶ ψυχῇ, καὶ ἄλλῳ ὁτῳοῦν, οὐκ b. ἐνίζει Ἔρως· οὗ δ' ἂν εὐανθής τε καὶ εὐώδης τόπος ᾖ, ἐνταῦθα καὶ ἵζει καὶ μένει. περὶ μὲν οὖν κάλλους τοῦ θεοῦ καὶ ταῦτα ἱκανὰ, καὶ ἔτι πολλὰ λείπεται. περὶ δὲ ἀρετῆς Ἔρωτος μετὰ ταῦτα λεκτέον· τὸ μὲν μέγιστον, ὅτι Ἔρως οὔτ' ἀδικεῖ, οὔτ' ἀδικεῖται, οὔτε ὑπὸ θεοῦ, οὔτε θεὸν, οὔτε ὑπ' ἀνθρώπου, οὔτε ἄνθρωπον. οὔτε γὰρ αὐτὸς βίᾳ πάσχει, εἴτι πάσχει· (βία γὰρ Ἔρωτος οὐχ ἅπτεται) οὔτε ποιῶν, ποιεῖ. πᾶς γὰρ ἑκὼν Ἔρω- c. τι πᾶν ὑπηρετεῖ· ἃ δ' ἂν τις ἑκὼν ἑκόντι ὁμολογήσῃ, φασὶν οἱ πόλεως βασιλεῖς νόμοι δίκαια εἶναι. πρὸς δὲ τῇ δικαιοσύνῃ,

ſtar liquidus eſt, & lubricus. non enim undique per omnem animam circumfluere poſſet, & clam influere, & effluere clam, ſi durus ac rigidus eſſet. Aptae vero, compoſitae, flexibiliſque formae, argumento eſſe formoſitas poteſt, hoc eſt, figurae concinnitas, qua Amor omnium maxime procul dubio decoratus eſt. inter deformitatem porro & amorem eſt pugna perpetua. Coloris quoque decorem aſſidua inter flores habitatio huius Dei ſignificat. in eo ſiquidem, quod floribus caret, aut defloruit, ſive corpus, ſive animus, ſeu quodvis aliud ſit, Amor ipſe non inſidet: ubicunque vero floridus & odorifer eſt locus, gratiſſime conquieſcit. De huius Dei pulchritudine permulta inſuper afferri poſſent: ſed iſta ſufficiunt. Deinceps de virtute Amoris eſt dicendum. Quod in primis maximi faciendum eſt, Amor nec iniuriam infert Deo, vel homini; nec a Deo, vel homine iniuriam patitur. non enim ipſe vi patitur, ſi quid patitur; nam violentia non tangit Amorem: neque vi facit, ſi quid faciat. quiſque enim ſponte Amori in ſingulis paret. quaecunque vero volens quiſpiam cum volente ultro contrahit,

σωφροσύνης πλείσης μετέχει. εἶναι γὰρ ὁμολογεῖται σωφροσύνη τὸ κρατεῖν ἡδονῶν καὶ ἐπιθυμιῶν· Ἔρωτος δὲ μηδεμίαν ἡδονὴν κρείττω εἶναι. εἰ δὲ ἥττους, κρατοῖντ' ἂν ὑπὸ τοῦ Ἔρωτος, ὁ δὲ κρατοῖ. κρατῶν δὲ ἡδονῶν καὶ ἐπιθυμιῶν ὁ Ἔρως, διαφερόντως ἂν σωφρονοῖ. καὶ μὴν εἴς γε ἀνδρίαν
d. Ἔρωτι οὐδὲ Ἄρης ἀνθίσταται. οὐ γὰρ ἔχει Ἔρωτα Ἄρης· ἀλλ' Ἔρως Ἄρη, Ἀφροδίτης, ὡς λόγος. κρείττων δὲ ὁ ἔχων τοῦ ἐχομένου. τοῦ δ' ἀνδρειοτάτου τῶν ἄλλων κρατῶν, πάντων ἂν ἀνδρειότατος εἴη. περὶ μὲν οὖν δικαιοσύνης καὶ σωφροσύνης καὶ ἀνδρείας τοῦ θεοῦ εἴρηται. περὶ δὲ σοφίας λείπεται. ὅσον οὖν δυνατὸν, πειρατέον μὴ ἐλλείπειν. καὶ πρῶτον μέν,
e. ἵν' αὖ καὶ ἐγὼ τὴν ἡμετέραν τέχνην τιμήτω, ὥσπερ Ἐρυξίμαχος τὴν ἑαυτοῦ, ποιητὴς ὁ θεὸς σοφὸς, οὕτως ὥστε καὶ ἄλλον ποιῆσαι· πᾶς γοῦν ποιητὴς γίγνεται, κἂν ἄμουσος ᾖ τοπρὶν, οὗ ἂν Ἔρως ἅψηται. ᾧ δὴ πρέπει ἡμᾶς μαρτυρίῳ

iusta habentur, ut regiae civitatis leges statuunt. Nec iustitiae solum, verum etiam summae est temperantiae particeps. siquidem inter omnes convenit, temperantiam esse, libidinibus & voluptatibus dominari; nullamque voluptatem esse amore potentiorem. quod si voluptates omnes amore imbecilliores sunt, ab illo utique superantur, ille vero dominatur. Amor itaque, quoniam libidinibus & voluptatibus dominatur, mirum in modum est temperans. Quod ad fortitudinem praeterea, neque Mars equidem Amori resistit. neque enim Mars Amorem, sed Amor Veneris, ut fertur, Martem detinet. potentius autem est, quod detinet, quam quod detinetur. qui vero ceterorum fortissimo dominatur, omnium absque dubio fortissimus iudicandus est. De iustitia igitur, temperantiaque & fortitudine huius Dei satis est dictum. De sapientia deinceps dicendum restat: quod quidem pro viribus est exsequendum. Principio, ut & ipse artem meam, perinde ac suam Eryximachus, honorem, hic Deus poëta est adeo sapiens, ut alios quoque poëtas possit efficere. quilibet enim, licet antea rudis, poëta evadit, cum primum Amor afflave-

χρῆσθαι, ὅτι ποιητὴς ὁ Ἔρως ἀγαθὸς, ἐν κεφαλαίῳ πᾶσαν ποίησιν τὴν κατὰ μουσικήν. ἃ γάρ τις ἢ μὴ ἔχει, ἢ μὴ οἶδεν, οὔτ' ἂν ἑτέρῳ δοίη, οὔτ' ἂν ἄλλον διδάξειε. καὶ μὲν δὴ τήν γε τῶν ζώων ποίησιν πάντων τίς ἐναντιώσεται μὴ οὐχὶ Ἔρωτος εἶναι σοφίαν, ἢ γίγνεταί τε καὶ φύεται πάντα τὰ ζῶα; ἀλλὰ τὴν τῶν τεχνῶν δημιουργίαν οὐκ ἴσμεν, ὅτι οὗ μὲν ἂν ὁ θεὸς οὗτος διδάσκαλος γένηται, ἐλλόγιμος καὶ φανὸς ἀπέβη; οὗ δ' ἂν Ἔρως μὴ ἐφάψηται, σκοτεινός; τοξικήν γε μὴν καὶ ἰατρικὴν καὶ μαντικὴν Ἀπόλλων ἀνεῦρεν, ἐπιθυμίας καὶ ἔρωτος ἡγεμονεύσαντος. ὥστε καὶ οὗτος Ἔρωτος ἂν εἴη μαθητὴς· καὶ Μοῦσαι μουσικῆς, καὶ Ἥφαιστος χαλκείας, καὶ Ἀθηνᾶ ἰσουργίας, καὶ Ζεὺς κυβερνήσεως θεῶν τε καὶ ἀνθρώπων. ὅθεν δὴ καὶ κατεσκευάσθη τῶν θεῶν τὰ πράγματα, Ἔρωτος ἐγγενομένου δηλονότι κάλλους. αἰσχει γὰρ οὐκ ἔστιν Ἔρως· πρότου δὲ, ὥσπερ ἐν ἀρχῇ εἶπον, πολλὰ καὶ δεινὰ θεοῖς ἐγίγνετο, ὡς λέγεται, διὰ τὴν τῆς Ἀνάγκης βασιλείαν· p. 197 a. b.

rit. ex quo perſpicue coniectare licet, Amorem peritum eſſe poëtam, omneſque ſummatim muſicos poëſis numeros continere. nam quae nec habet aliquis, neque noſcit, alteri dare, vel monſtrare non poteſt. Quod utique per Amoris ſapientiam animalia cuncta gignantur atque naſcantur, quis dubitet? Artium praeterea facultatem, nonne ab hoc Deo tradi videmus? eumque hominem, cuius hic eſt praeceptor, quavis in arte praecellere, clarumque evadere? contra vero, eum, qui ab Amore non tangitur, in obſcuro iacere? Sagittandi namque, medendi, & divinandi peritiam appetitu atque amore duce invenit Apollo, qui eſt Amoris diſcipulus: muſicam ſimiliter Muſae: fabricam Vulcanus aerariam: texendi artificium Minerva: Iuppiter Deorum hominumque gubernationem. Quocirca res Deorum Amore interveniente diſpoſitae ſunt, Amore, inquam, pulchritudinis. deformitatem quippe non ſequitur Amor. Antea vero, ut initio dicebam, permulta atque atrocia inter Deos propter Neceſſitatis regnum, ut dicitur, contigerunt. poſtquam vero Deus hic

c. ἐπειδὴ δ' ὁ θεὸς οὗτος ἔφυ ἐκ τοῦ ἐρᾶν τῶν καλῶν, πάντ' ἀγαθὰ γ' ἐγονε καὶ θεοῖς καὶ ἀνθρώποις. οὕτως ἐμοὶ δοκεῖ, ὦ Φαῖδρε, Ἔρως, πρῶτος αὐτὸς ὢν κάλλιστος καὶ ἄριστος, μετὰ τοῦτο τοῖς ἄλλοις ἄλλων τοιούτων αἴτιος εἶναι. ἐπέρχεταί δέ μοι τὶ καὶ ἔμμετρον εἰπεῖν, ὅτι οὗτός ἐστιν ὁ ποιῶν Εἰρήνην μὲν ἐν ἀνθρώποις, πελάγει δὲ γαλήνην, Νηνεμίαν ἀνέμων, κοίτην, ὑπνόν τ' ἐνὶ κήδει. οὗτος δὲ ἡμᾶς ἀλλοτριότητος μὲν
d. κενοῖ, οἰκειότητος δὲ πληροῖ· τὰς τοιάσδε ξυνόδους μετ' ἀλλήλων πάσας τιθεὶς συνιέναι, ἐν ἑορταῖς, ἐν χοροῖς, ἐν θυσιαις, γιγνόμενος ἡγεμών· πραότητα μὲν πορίζων, ἀγριότητα δ' ἐξορίζων· φιλόδωρος εὐμενείας, ἄδωρος δυσμενείας· ἵλεως, ἀγαθὸς, θεατὸς σοφοῖς, ἀγασὸς θεοῖς· ζηλωτὸς ἀμοίροις, κτητὸς εὐμοίροις· τρυφῆς, ἁβρότητος, χλιδῆς, χαρίτων, ἱμέρου, πόθου πατήρ· ἐπιμελὴς ἀγαθῶν, ἀμελὴς κακῶν· ἐν
e. πόνῳ, ἐν φόβῳ, ἐν πόθῳ, ἐν λόγῳ κυβερνήτης, ἐπιβάτης, παραστάτης τε καὶ σωτὴρ ἄριστος· ξυμπάντων τε θεῶν καὶ

ex pulchrorum desiderio natus est, bona omnia tam ad Deos quam ad homines provenere. Ita mihi videtur, o Phaedre, Amor ipse primum pulcherrimus optimusque esse, deinde talia quaedam ceteris quoque largiri. Succurrit mihi in praesentia metricum quiddam: Hic Deus est, qui largitur *Humano pacem generi*, *pelagoque serenum Vultum*, *tum requiem ventis*, *hominique cubile*, *Et somnum curis permixtum.* Hic rusticitatem a nobis amovet, hic nos familiaritate conciliat, coetus huiusmodi omnes congregans; in solemnibus festisque diebus, in choris, in sacrificiis, dux nobis & praesidens: mansuetudinem quidem porrigens, exterminans feritatem, benevolentiae largitor, malevolentiae omnis expulsor: propitius, beneficus, spectandus sapientibus, Diis placitus, exoptandus expertibus, participantibus possidendus atque tenendus: deliciarum, mollium illecebrarum, gratiarum, dulcis perfusionis & desiderii pater: bonorum studiosus, malorum spretor: in labore, in timore, in desiderio, in sermone gubernator, perfectus adiutor, servatorque praecipuus: cunctorum

ἀνθρώπων κόσμος· ἡγεμὼν κάλλιστος καὶ ἄριστος· ᾧ δεῖ ἕπεσθαι πάντα ἄνδρα ἐφυμνοῦντα καλῶς, καλῆς ᾠδῆς μετέχοντα· ἣν ᾄδει θέλγων πάντων θεῶν τε καὶ ἀνθρώπων νόημα. Οὗτος, ἔφη, ὁ παρ' ἐμοῦ λόγος, ὦ Φαῖδρε, τῷ θεῷ ἀνακείσθω· τὰ μὲν, παιδιᾶς, τὰ δὲ, σπουδῆς μετρίας, καθ' ὅσον ἐγὼ δύναμαι, μετέχων. Εἰπόντος δὲ τοῦ Ἀγάθωνος πάντας ἔφη ὁ Ἀριστόδημος ἀναθορυβῆσαι τοὺς παρόντας, ὡς πρεπόντως τοῦ νεανίσκου εἰρηκότος καὶ αὐτῷ καὶ τῷ θεῷ. Τὸν οὖν Σωκράτη εἰπεῖν, βλέψαντα εἰς τὸν Ἐρυξίμαχον, Ἆρά σοι δοκῶ, φάναι, ὦ παῖ Ἀκουμενοῦ, ἀδεὲς πάλαι δέος δεδιέναι; ἀλλ' οὐ μαντικῶς, ἃ νῦν δὴ ἔλεγον, εἰπεῖν, ὅτι Ἀγάθων θαυμαστῶς ἐρεῖ, ἐγὼ δ' ἀπορήσαιμι; Τὸ μὲν ἕτερον, φάναι τὸν Ἐρυξίμαχον, μαντικῶς δοκεῖς μοι εἰρηκέναι, ὅτι Ἀγάθων εὖ ἐρεῖ· τὸ δὲ σὲ ἀπορήσειν, οὐκ οἶμαι. Καὶ πῶς, ὦ μακάριε, εἰπεῖν τὸν Σωκράτην, οὐ μέλλω ἀπορεῖν καὶ ἐγὼ καὶ ἄλλος ὁστισοῦν, μέλλων λέξειν μετὰ καλὸν οὕτω καὶ παντο- p. 198 a. b.

Deorum atque hominum decus, & dux pulcherrimus atque optimus, quem profecto ſectari debet, praeclariſque hymnis venerari vir quiſque cantilenae illius particeps, quam Amor ipſe concinit, mentem Deorum hominumque permulcens. Haec igitur oratio mea, Phaedre, Deo voveatur, partim iocis, partim ſeriis rebus, pro ingenii mei facultate referta. Dum haec Agatho dixiſſet, quemadmodum retulit Ariſtodemus, convivae omnes ſummo quodam applauſu orationem ipſam comprobaverunt, utpote quae, ſicut & Agathone & Deo dignum erat, habita videretur. Quapropter Socrates, ad Eryximachum converſus, inquit, An non merito, o Acumeni fili, ſupra timuiſſe nunc videor, quod revera contigit, vaticinatus, quod Agathon elegantiſſime loqueretur, unde mihi verba defore putabam? Unum quidem, Eryximachum reſpondiſſe, recte vaticinatum te puto, ſcite locuturum Agathonem: tibi vero defuturam facundiam, minime. Qui non, dixiſſe Socratem, & ipſe, o beate, & alius quivis, a dicendo abſterreatur, cui poſt tam luculentam copioſamque oratio-

δαπὸν λόγον ῥηθέντα; καὶ τὰ μὲν ἄλλα οὐχ ὁμοίως μὲν θαυμαστά· τὸ δὲ ἐπὶ τελευτῆς τοῦ κάλλους τῶν ὀνομάτων καὶ ῥημάτων τίς οὐκ ἂν ἐξεπλάγη ἀκούων; ἐπεὶ ἔγωγε ἐνθυμούμενος ὅτι αὐτὸς οὐχ οἷός τ' ἔσομαι οὐδ' ἐγγὺς τούτων οὐδὲν
c. καλὸν εἰπεῖν, ὑπ' αἰσχύνης ὀλίγου ἀποδρὰς ᾠχόμην, εἴ που εἶχον. καὶ γάρ με Γοργίου ὁ λόγος ἀνεμίμνησκεν. ὥστε ἀτεχνῶς τὸ τοῦ Ὁμήρου ἐπεπόνθειν· ἐφοβούμην μή μοι τελευτῶν ὁ Ἀγάθων Γοργίου κεφαλὴν δεινοῦ λέγειν ἐν τῷ λόγῳ ἐπὶ τὸν ἐμὸν λόγον πέμψας, αὐτόν με λίθον τῇ ἀφωνίᾳ ποιήσειε. καὶ ἐνενοήσα τότε ἄρα καταγέλαστος ὢν, ἡνίκα ὑμῖν ὡμολόγουν ἐν τῷ μέρει μεθ' ὑμῶν ἐγκωμιάσεσθαι τὸν Ἔρω-
d. τα, καὶ ἔφην εἶναι δεινὸς τὰ ἐρωτικά· οὐδὲν εἰδὼς ἄρα τοῦ πράγματος, ὡς ἔδει ἐγκωμιάζειν ὁτιοῦν. ἐγω μὲν γάρ, ὑπ' ἀβελτηρίας, ᾠμην δεῖν τἀληθῆ λέγειν περὶ ἑκάστου τῶν ἐγκωμιαζομένων· καὶ τοῦτο μὲν ὑπάρχειν, ἐξ αὐτῶν δὲ τούτων τὰ κάλλιστα ἐκλεγομένους, ὡς εὐπρεπέστατα τιθέναι. καὶ πάνυ

nem ſit loquendum? & cetera quidem, quamvis apte compoſita, non adeo miranda videntur: elegantiam vero nominum atque verborum, qua in orationis calce eſt uſus, ſi quis animadverterit, protinus obſtupeſcet. quandoquidem & ipſe cum intelligerem, non poſſe me eloquentia prope accedere, parum abfuit, quin verecundia motus hinc alio, ſi quo licuiſſet, abirem. Etenim Gorgiae me ſermo admonuit, quod illud mihi Homericum contigiſſet. extimui nempe, ne finem verbis imponens Agatho, Gorgiae facundi caput e ſermone ſuo in meum tranſmittens, mutum me factum, lapidem pro homine redderet. Tunc demum temere promiſiſſe me agnovi, Amorem vobiſcum pro virili mea collaudaturum, & inepte amatoria profeſſum fuiſſe, cum omnino neſcirem, qua quidque ſit ratione laudandum. putabam equidem ob ruditatem meam, de quocunque, quod laudatur a nobis, vera oportere referri, & hoc quidem adeſſe atque licere: ex his autem pulcherrima ſeligentes, quam decentiſſime adſcribere nos debere. Quocirca ingenti quadam ſpe elatus ſum, quaſi recte dicturus, quando-

δὴ μέγα ἐφρόνουν ὡς εὖ ἐρῶν, ὡς εἰδὼς τὴν ἀλήθειαν τοῦ
ἐπαινεῖν ὁτιοῦν. τὸ δὲ ἄρα, ὡς ἔοικεν, οὐ τοῦτο ἦν τὸ καλῶς
ἐπαινεῖν ὁτιοῦν, ἀλλὰ τὸ ὡς μέγιστα ἀνατιθέναι τῷ πράγμα- e.
τι καὶ ὡς κάλλιστα, ἐάν τε ᾖ οὕτως ἔχοντα, ἐάν τε μή. εἰ δὲ
ψευδῆ, οὐδὲν ἂρ' ἦν πρᾶγμα. προὐρρήθη γὰρ, ὡς ἔοικεν, ὅπως
ἕκαστος ἡμῶν τὸν Ἔρωτα ἐγκωμιάζειν δόξει, οὐχ ὅπως ἐγκω-
μιάσεται. διὰ ταῦτα δὴ, εἶμαι, πάντα λόγον κινοῦντες ἀνατί-
θετε τῷ Ἔρωτι, καὶ φατε αὐτὸν τοιοῦτόν τε εἶναι καὶ τοσού-
των αἴτιον, ὅπως ἂν φαίνηται ὡς κάλλιστος καὶ ἄριστος δηλο- p.
νότι τοῖς μὴ γινώσκουσιν. οὐ γὰρ ἄν που τοῖς γε εἰδόσι. καὶ 199
καλῶς γ' ἔχει καὶ σεμνῶς ὁ ἔπαινος. ἀλλὰ γὰρ ἐγὼ οὐκ ᾔδειν a.
ἄρα τὸν τρόπον τοῦ ἐπαίνου· οὐδ' εἰδὼς, ὑμῖν ὡμολόγησα καὶ
αὐτὸς ἐν τῷ μέρει ἐπαινέσεσθαι. ἡ γλῶττα οὖν ὑπέσχετο· ἡ
δὲ φρὴν, οὔ. χαιρέτω δή. οὐ γὰρ ἔτι ἐγκωμιάζω τοῦτον τὸν
τρόπον· οὐ γὰρ ἂν δυναίμην· οὐ μέντοι. ἀλλὰ τά γε ἀληθῆ, b.
εἰ βούλεσθε, ἐθέλω εἰπεῖν κατ' ἐμαυτὸν, οὐ πρὸς τοὺς ὑμε-
τέρους λόγους· ἵνα μὴ γέλωτα ὄφλω. ὅρα οὖν, ὦ Φαῖδρε, εἴ

quidem veram laudandi rationem, ut videbatur, haberem. tandem vero haud congruus laudationis hic modus apparuit: oportere namque videtur, maxima quaeque & praeclariſſima rei, quam laudamus, adſcribere, ſive revera illi adſint, ſive non adſint. nihil enim referre, falſane, an vera ſint, cum propoſitum ſit, non quomodo Amor ipſe laudetur, immo ut quiſque Amorem laudare quam maxime videatur. Quapropter univerſa Amori tribuitis, talemque eum eſſe & talium tantorumque cauſam affirmatis, ut quam pulcherrimus optimuſque appareat, ignorantibus videlicet. nunquam enim intelligentibus laus huiuſmodi recta & pura iudicaretur. Equidem laudationis huius modum penitus ignorabam. neſciens itaque, vobiſcum conveni, me quoque inter alios collaudaturum. Lingua ergo pollicita eſt, mens vero nequaquam. Abſit igitur a me iſtiuſmodi laudatio. neque enim ſic illum extollere poſſem. Verumtamen, ſi vultis, ritu meo vera loqui cupio, & ad me ipſum reſpicere potius, quam cum orationi-

τι καὶ τοιούτου λόγου δέῃ, περὶ Ἔρωτος τἀληθῆ λεγόμενα ἀκούειν, ὀνόμασι δὲ καὶ σχέσει ῥημάτων τοιαύτῃ ὁποία ἂν τις τύχῃ ἐπελθοῦσα. Τὸν οὖν Φαῖδρον ἔφη καὶ τοὺς ἄλλους κελεύειν λέγειν, ὅπῃ αὐτὸς οἴοιτο δεῖν εἰπεῖν, ταύτῃ. Ἔτι τοίνυν, φάναι, ὦ Φαῖδρε, πάρες μοι Ἀγάθωνα μικρ' ἄττα ἐρέ-
c. σθαι, ἵνα ἀνομολογησάμενος παρ' αὐτοῦ, οὕτως ἤδη λέγω. Ἀλλὰ παρίημι, φάναι τὸν Φαῖδρον, ἀλλ' ἐρώτα. Μετὰ ταῦτα δὴ τὸν Σωκράτη ἔφη ἐνθένδε πῶς ἄρξασθαι. Καὶ μήν, ὦ φίλε Ἀγάθων, καλῶς μοι ἔδοξας καθηγήσασθαι τοῦ λόγου, λέγων ὅτι πρῶτον μὲν δέοι αὐτὸν ἐπιδεῖξαι ὁποῖός τις ἐστὶν ὁ Ἔρως, ὕστερον δὲ τὰ ἔργα αὐτοῦ. ταύτην τὴν ἀρχὴν πάνυ ἄγαμαι. ἴθι οὖν μοι περὶ Ἔρωτος, ἐπειδὴ καὶ τἄλλα καλῶς καὶ μεγαλοπρεπῶς διῆλθες οἷός ἐστι, καὶ τόδε εἰπὲ,
d. πότερον ἐστὶ τοιοῦτος, οἷος εἶναί τινος ἔρως, ὁ Ἔρως, ἢ οὐδενός. ἐρωτῶ δ' οὐκ εἰ μητρός τινος ἢ πατρός ἐστι (γελοῖον γὰρ ἂν εἴη τὸ ἐρώτημα, εἰ Ἔρως ἐστὶν ἔρως πατρὸς ἢ μητρὸς) ἀλλ' ὥσπερ ἂν εἰ αὐτὸ τοῦτο πατέρα ἠρώτων, ἆρα ὁ πατὴρ

bus veſtris certare, ne riſum moveam. Vide itaque, Phaedre, utrum vobis placeat orationem huiuſmodi nunc audire, quae de Amore vera dumtaxat enarret, verborum nominumque utcunque accidit compoſitione procedens. Phaedrum igitur, Mihi ſane & aliis placet, dicere, ut tuo arbitratu loquaris. Concede mihi, o Phaedre, dicere Socratem, ut pauca quaedam Agathonem rogem, ut ab illo confirmatus loquar. Concedo equidem, Phaedrum reſpondiſſe: interroga modo. Deinde Socratem hinc initium dicendi feciſſe narrabat. Optima, o amice Agatho, orationis tuae fundamenta ieciſſe videris, cum diceres, primo quid Amor ſit oſtendendum, poſtea illius opera numeranda. hoc equidem principium valde probo. Age itaque, poſtquam de Amore cetera ornate atque magnifice es elocutus, hoc inſuper circa illius naturam mihi declara, utrum talis ſit Amor, ut alicuius amor ſit, an nullius. haud peto, utrum matris alicuius patriſve ſit. ridicula namque interrogatio eſſet, utrum amor patris matriſve ſit amor. verum ſi

ἐξὶ πατὴρ τινὸς, ἢ οὔ, εἶπες ἂν δήπου μοὶ, εἰ ἐβούλου καλῶς ἀποκρίνασθαι, ὅτι ἔξιν υἱέος γε ἡ θυγατρὸς, ὁ πατὴρ, πατήρ· ἢ οὔ; Πάνυ γε, φάναι τὸν Ἀγάθωνα. Οὐκοῦν καὶ ἡ μήτηρ ὡσαύτως; Ὁμολογῆσαι καὶ τοῦτο. Ἔτι τοίνυν, εἰπεῖν τὸν Σωκράτη, ἀπόκριναι ὀλίγα πλείω, ἵνα μᾶλλον καταμάθῃς ὃ βούλομαι. εἰ γὰρ ἐροίμην, τί δαί; ἀδελφὸς, αὐτὸ τοῦτο ὅπερ ἐξὶν, ἔξι τινὸς ἀδελφὸς, ἢ οὔ; Φάναι, εἶναι. Οὐκοῦν ἀδελφοῦ, ἢ ἀδελφῆς; Ὁμολογεῖν. Πειρᾶ δὴ, φάναι, καὶ τὸν ἔρωτα εἰπεῖν. ὁ ἔρως, ἔρως ἐξὶν οὐδενὸς, ἢ τινός; Πάνυ μὲν οὖν ἐξι. Τοῦτο μὲν τοίνυν, εἰπεῖν τὸν Σωκράτη, φύλαξον παρὰ σαυτῷ, μεμνημένος ὅτου· τοσόνδε δὲ εἰπὲ, πότερον ὁ ἔρως, ἐκείνου οὗ ἐξιν ἔρως, ἐπιθυμεῖ αὐτοῦ, ἢ οὔ. Πάνυ γε, φάναι. Πότερον ἔχων αὐτὸ οὗ ἐπιθυμεῖ τε καὶ ἐρᾷ, εἶτα ἐπιθυμεῖ τε καὶ ἐρᾷ; ἢ οὐκ ἔχων; Οὐκ ἔχων, ὡς τὸ εἰκός γε, φάναι. Σκόπει δὴ, εἰπεῖν τὸν Σωκράτη, ἀντὶ τοῦ εἰκότος, εἰ ἀνάγκη οὕτω τὸ ἐπιθυμοῦν ἐπιθυμεῖν οὗ ἐνδεές ἐξιν, ἢ μὴ ἐπιθυμεῖν, ἐὰν μὴ ἐνδεὲς ᾖ. ἐμοὶ μὲν γὰρ θαυμαστῶς δοκεῖ, ὦ

c. p. 200 a. b.

interrogaſſem, numquid pater, alicuius pater eſſet, an non, reſpondiſſes utique, ſi modo congrue loqui voluiſſes, Patrem, filii aut filiae patrem eſſe. an non? Prorſus, Agathonem dixiſſe. Nonne & matrem, alicuius eſſe matrem? Et iſtud conſenſiſſe. Reſponde praeterea, Socratem dixiſſe, pauca quaedam, ut, quod ſentio, magis intelligas. Frater numquid ipſum quod eſt, alicuius eſt frater? Eſſe, dicere. Nonne fratris, aut ſororis? Horum profecto. Conare ſimiliter de amore nobis oſtendere, num amor alicuius, an nullius, ſit amor. Alicuius certe. Hoc itaque memoriter ſerva, cuius ſit recordatus: atque ad hoc reſponde, utrum amor illud ipſum, cuius eſt amor, appetat, necne. Et maxime quidem. Numquid hoc ipſum apud ſe habet, & tamen, quod habet, appetit atque amat? an potius non habet, quod amat & appetit? Veriſimile eſt non habere. Adverte praeterea, utrum pro eo, quod veriſimile eſt, neceſſarium ſit ita, quidquid appetit, id quo eget appetere: &, ſi non eget, nec cupere. mihi quidem mirum in mo-

Ἀγάθων, ὡς ἀνάγκη εἶναι. σοὶ δὲ πῶς; Κἀμοὶ, φάναι, δοκεῖ. Καλῶς λέγεις. ἆρ' οὖν βούλοιτ' ἄν τις, μέγας ὢν, μέγας εἶναι; ἢ ἰσχυρὸς ὢν, ἰσχυρός; Ἀδύνατον, ἐκ τῶν ὁμολογουμένων. Οὐ γάρ που ἐνδεὴς ἂν εἴη τούτων ὅ γε ὤν. Ἀληθῆ λέγεις. Εἰ γὰρ καὶ ἰσχυρὸς ὢν βούλοιτο ἰσχυρὸς εἶναι, φάναι τὸν Σωκράτη, καὶ ταχὺς ὢν, ταχύς· καὶ ὑγιὴς ἂν, ὑγιής· ἴσως γὰρ ἄν τις ταυτὶ οἰηθείη καὶ πάντα τὰ τοιαῦτα,
c. τοὺς ὄντας τε τοιούτους καὶ ἔχοντας ταῦτα, τούτων ἅπερ ἔχουσι καὶ ἐπιθυμεῖν. ἵν' οὖν μὴ ἐξαπατηθῶμεν, τούτου ἕνεκα λέγω. τούτους γὰρ, ὦ Ἀγάθων, εἰ ἐννοεῖς, ἔχειν μὲν ἕκαστον τούτων ἐν τῷ παρόντι ἀνάγκη ἃ ἔχουσιν, ἐάν τε βούλωνται, ἐάν τε μή. καὶ τούτου γε δήπου τίς ἂν ἐπιθυμήσειεν; ἀλλ' ὅταν τὶς λέγῃ ὅτι, Ἐγὼ ὑγιαίνων, βούλομαι ὑγιαίνειν, καὶ πλουτῶν, βούλομαι πλουτεῖν, καὶ ἐπιθυμῶ αὐτῶν τούτων ἃ ἔχω· εἰποιμεν ἂν αὐτῷ ὅτι, Σὺ, ὦ ἄνθρωπε, πλοῦτον
d. κεκτημένος καὶ ὑγείαν καὶ ἰσχὺν, βούλει καὶ εἰς τὸν ἔπειτα χρόνον ταῦτα κεκτῆσθαι. ἐπεὶ ἐν τῷ γε νῦν παρόντι, εἴτε

dum hoc placet, ut neceſſarium ſit. tibi vero quid videtur, Agatho, dixiſſe Socratem? Quod & tibi, reſpondiſſe Agathonem. Bene loqueris. an vellet magnus quiſpiam, magnus eſſe? & robuſtus aliquis, eſſe robuſtus? Ex his, quae ſupra conceſſimus, fieri non poſſe mihi videtur. neque enim indigus eſſet eorum, quae in ſe ipſo iam contineret. Vera dicis. Etenim ſi ille, qui robuſtus eſt, vult eſſe robuſtus, & qui velox, eſſe velox, & ſanus denique ſanus, forte quiſpiam crederet, & hos, & alios quoslibet, ea quae habent appetere. ne igitur hic decipiamur, ego ob hanc cauſam haec dico. Haec ſi diligenter animadvertas, Agatho, neceſſarium eſſe videbis, quaecunque praeſenti in tempore hi habent, eadem in tempore eodem habere, ſeu velint, ſive nolint. hoc ipſum vero quiſnam cuperet? Cum vero quis addit, At ego, ſanus dum ſum, volo equidem ſanus eſſe: & dives dum ſum, eſſe dives: atque idcirco, quae habeo, cupio: huic protinus reſpondemus, O bone vir, ipſe divitias, ſanitatem, roburque

βούλει, εἴτε μὴ, ἔχεις. σκόπει οὖν, ὅταν τοῦτο λέγῃς ὅτι, ἐπιθυμῶ τῶν παρόντων, εἰ ἄλλό τι λέγεις ἢ τόδε, ὅτι, βούλομαι, τὰ νῦν παρόντα, καὶ εἰς τὸν ἔπειτα χρόνον παρεῖναι. ἄλλό τι ὁμολογοῖ ἄν; Συμφάναι ἔφη τὸν Ἀγάθωνα. Εἰπεῖν δὴ τὸν Σωκράτη, Οὐκοῦν δὴ τοῦτό γ' ἐστὶν, ἐκείνου ἐρᾷν, ὃ οὔπω ἕτοιμον αὐτῷ ἐστιν, οὐδὲ ἔχει τὸ εἰς τὸν ἔπειτα χρόνον ταῦτα εἶναι αὐτῷ σωζόμενα τὰ νῦν παρόντα. Πάνυ γε, Φάναι. Καὶ οὗτος ἄρα, καὶ ἄλλος πᾶς ὁ ἐπιθυμῶν, τοῦ μὴ ἑτοίμου ἐπιθυμεῖ, καὶ τοῦ μὴ παρόντος, καὶ ὃ μὴ ἔχει, καὶ ὃ μὴ ἐστιν αὐτὸς, καὶ οὗ ἐνδεής ἐστι, τοιαῦτ' ἄττα ἐστὶν ὧν ἡ ἐπιθυμία τε καὶ ὁ ἔρως ἐστί. Πάνυ γ', εἰπεῖν. Ἴθι δὴ, φάναι τὸν Σωκράτη, ἀνομολογησώμεθα τὰ εἰρημένα. ἄλλο τί ἐστιν ὁ ἔρως πρῶτον μὲν τίνων, ἔπειτα τούτων ὧν ἂν ἔνδεια παρῇ αὐτῷ. Ναὶ, φάναι. Ἐπὶ δὴ τούτοις ἀναμνήσθητι, τίνων ἔφησθα ἐν τῷ λόγῳ εἶναι τὸν Ἔρωτα. εἰ δὲ βούλει, ἐγώ σε ἀναμνήσω. οἶμαι γάρ σε οὕτωσί πως εἰπεῖν, ὅτι τοῖς θεοῖς κατεσκευά- e. p. 201 a.

adeptus, vis haec & in futuro tempore poſſidere, cum in praeſenti, velis nolisve, habes. Vide ergo, cum dicis, Quae mihi adſunt cupio, numquid aliud, quam hoc, inferas, Quae mihi nunc adſunt, & in futuro adeſſe exopto? Cenſes, hunc hominem, Agatho, hoc an aliud reſponſurum? Nihil aliud, dicere Agathonem. Amor profecto huiuſmodi illud reſpicit, quod nondum in promtu eſt, nec habetur, adeſſe videlicet & ſervari illa in tempore, quod ſequatur. Sic eſt omnino. Et hic igitur, & alius, quicunque appetit, quod nondum expoſitum & paratum eſt, appetit, quodve non adeſt, nec habet, & quod ipſe non eſt, quove indiget. talia quaedam ſunt illa, quorum eſt appetitus, & amor. Talia procul dubio. Age, dixiſſe Socratem, quae ſupra dicta ſunt repetamus. Primo quidem, amor aliquorum dictus eſt amor: deinde illorum potiſſimum, quibus indiget. Certe, reſpondiſſe. Recordare praeterea, quorum eſſe amorem aſſeruiſti. ego tibi in memoriam, ſi vis, reducam. equidem ita dixiſſe te arbitror, A Diis omnia propter pulchrorum amorem fuiſſe diſpoſita: turpium quippe amorem omnino

σθη τὰ πράγματα δι' ἔρωτα καλῶν· αἰσχρῶν γὰρ οὐκ εἴη ἔρως. οὐχ οὕτωσί πως ἔλεγες; Εἶπον γὰρ, φάναι τὸν Ἀγάθωνα. Καὶ ἐπιεικῶς γε λέγεις, ὦ ἑταῖρε, φάναι τὸν Σωκράτη. καὶ, εἰ τοῦτο οὕτως ἔχει, ἄλλοτι ὁ ἔρως, κάλλους ἂν εἴη
b. ἔρως, αἴσχους δ' οὔ. Ὡμολόγει. Οὐκοῦν ὡμολόγηται, οὗ ἐνδεής ἐστι, καὶ μὴ ἔχει, τούτου ἐρᾶν. Ναὶ, εἰπεῖν. Ἐνδεὴς ἄρ' ἐστὶ καὶ οὐκ ἔχει ὁ Ἔρως κάλλος. Ἀνάγκη, φάναι. Τί δέ; τὸ ἐνδεὲς κάλλους, καὶ μηδαμῇ κεκτημένον κάλλος, ἆρα λέγεις σὺ καλὸν εἶναι; Οὐ δῆτα. Ἔτι οὖν ὁμολογεῖς Ἔρωτα καλὸν εἶναι, εἰ ταῦτα οὕτως ἔχει; Καὶ τὸν Ἀγάθωνα εἰπεῖν, Κινδυνεύω, ὦ Σώκρατες, οὐδὲν εἰδέναι ὧν τότε εἶπον.
c. Καὶ μὴν καλῶς γε εἶπες, φάναι, ὦ Ἀγάθων. ἀλλὰ σμικρὸν ἔτι εἰπὲ, Ταγαθὰ οὐ καὶ καλὰ δοκεῖ σοι εἶναι; Ἔμοιγε. Εἰ ἄρα ὁ Ἔρως τῶν καλῶν ἐνδεής ἐστι, τὰ δὲ ἀγαθὰ, καλὰ, κᾆν τῶν ἀγαθῶν ἐνδεὴς εἴη. Ἐγὼ, φάναι, ὦ Σώκρατες, σοὶ οὐκ ἂν δυναίμην ἀντιλέγειν· ἀλλ' οὕτως ἐχέτω, ὡς σὺ λέγεις. Οὔμενουν τῇ ἀληθείᾳ, φάναι, ὦ φιλούμενε Ἀγάθων, δύνασαι ἀντιλέγειν· ἐπεὶ Σωκράτει γε οὐδὲν χαλεπόν. Καὶ σὲ

nullum esse. an non ita dicebas? Ita profecto. Probabiliter quidem loqueris, o amice. &, si ita est, amor certe pulchritudinis amor est, turpitudinis vero minime. Consentio. Nonne concessum est, id, quo eget, nec habet, amare? Concessum plane. Ergo pulchritudine indiget amor, eamque non habet. Necessarium. Quid vero? num pulchrum vocas, quod pulchritudinis indigum est, nec eam habet? Nequaquam. Numquid ulterius, si haec ita se habent, Amorem pulchrum asseris? Nihil eorum, quae supra dixi, intellexisse videor. Recte dixisti. sed responde parumper ulterius, Numquid ipsa bona pulchra esse videntur? Mihi vero. Si igitur Amor pulchris caret, bona vero pulchra sunt, bonis quoque caret. Repugnare tibi, o Socrates, nullo modo possem. esto igitur, ut tu ais. Veritati quidem nunquam, o dilecte Agatho, adversari potes, Socrati vero facillime. Verum Agathonem iam dimittam, vobisque, o convivae, referam ser-

μέν γε ἤδη ἐάσω· τὸν δὲ λόγον τὸν περὶ τοῦ Ἔρωτος, ὃν ποτ' d.
ἤκουσα γυναικὸς μαντικῆς Διοτίμας, ἣ ταῦτά τε σοφὴ ἦν
καὶ ἄλλα πολλὰ, καὶ Ἀθηναίοις ποτὲ θυσαμένοις πρὸ τοῦ
λοιμοῦ δέκα ἔτη ἀναβολὴν ἐποιήσε τῆς νόσου, ἣ δὴ καὶ ἐμὲ
τὰ ἐρωτικὰ ἐδίδαξεν· ὃν οὖν ἐκείνη ἔλεγε λόγον πειράσομαι
ὑμῖν διελθεῖν, ἐκ τῶν ὡμολογημένων ἐμοὶ καὶ Ἀγάθωνι, αὐ-
τὸς ἀπ' ἐμαυτοῦ, ὅπως ἂν δυνωμαι. δεῖ δὴ, ὦ Ἀγάθων, ὥσ-
περ σὺ διηγήσω, διελθεῖν αὐτὸν πρῶτον, τίς ἐστιν ὁ Ἔρως, καὶ
ποῖός τις, ἔπειτα τὰ ἔργα αὐτοῦ. δοκεῖ οὖν μοι ῥᾷστον εἶναι e.
οὕτω διελθεῖν, ὡς ποτέ με ἡ ξένη ἀνακρίνουσα διῆλθε. σχεδὸν
γάρ τι καὶ ἐγὼ πρὸς αὐτὴν ἕτερα τοιαῦτα ἔλεγον, οἷάπερ νῦν
πρὸς ἐμὲ Ἀγάθων· ὡς εἴη ὁ Ἔρως, μέγας θεὸς· εἴη δὲ τῶν
καλῶν. ἤλεγχε δέ με τούτοις τοῖς λόγοις οἵσπερ ἐγὼ τοῦτον·
ὡς οὔτε καλὸς εἴη, κατὰ τὸν ἐμὸν λόγον, οὔτε ἀγαθός. καὶ
ἐγὼ, Πῶς λέγεις, ἔφην, ὦ Διοτίμα; αἰσχρὸς ἄρα ὁ Ἔρως
ἐστὶ καὶ κακός; Καὶ ἣ, Οὐκ εὐφημήσεις; ἔφη. ἦ οἴει, ὅ, τι
ἂν μὴ καλὸν ᾖ, ἀναγκαῖον αὐτὸ αἰσχρὸν εἶναι; Μάλιστά γε.

monem de Amore, quem olim accepi a fatidica muliere Diotima, quae & harum rerum perita erat, & alia multa ſapienter intelligebat, & Athenienſibus olim, ſacris decennio ante peſtem peractis, morbi dilationem dedit. illa me in amatoria facultate inſtruxit. quae igitur illa dixit, conabor vobis ex me ipſo, ſecundum ea, quae inter me & Agathonem convenerunt, exprimere. Oportet autem primo, o Agatho, ut & tu expoſuiſti, quid & quale ſit Amor, oſtendere, deinde opera illius enumerare. Praeſtat, ut mihi videtur, eodem ordine vobis nunc referre, quo hoſpes illa me examinans pertractavit. ferme enim eadem ego illi, quae mihi Agatho, praedixeram, Magnum eſſe Deum Amorem, & ad pulchra reſpicere. eiſdemque rationibus me redarguit, quibus hunc ipſe, quod neque pulcher eſſet Amor, ut dicebam, neque bonus. Ad quam ego tunc, Quid ais, o Diotima? inquam. turpiſne igitur ac malus eſt Amor? Et illa, Dic meliora, quaeſo. an putas neceſſarium eſſe, ut, quidquid pul-

p. Ἦ καὶ ἂν μὴ σοφὸν, ἀμαθές; ἢ οὐκ ἤσθησαι ὅτι ἔστί τι μετα-
202 a. ξὺ σοφίας καὶ ἀμαθίας; Τί τοῦτο; Τὸ ὀρθὰ δοξάζειν, καὶ ἄνευ τοῦ ἔχειν λόγον δοῦναι, οὐκ οἶσθ', ἔφη, ὅτι οὔτε ἐπίστασθαι ἐστὶν· ἄλογον γὰρ πρᾶγμα πῶς ἂν εἴη ἐπιστήμη; οὔτε ἀμαθία; τὸ γὰρ τοῦ ὄντος τυγχάνον πῶς ἂν εἴη ἀμαθία; ἔστι δὲ δήπου τοιοῦτον ἡ ὀρθὴ δόξα μεταξὺ φρονήσεως καὶ ἀμαθίας. Ἀληθῆ, ἦν δ' ἐγὼ, λέγεις. μὴ τοίνυν ἀνάγκαζε, ὃ μὴ
b. καλόν ἐστιν, αἰσχρὸν εἶναι· μηδὲ, ὃ μὴ ἀγαθὸν, κακόν. οὕτω δὲ καὶ τὸν Ἔρωτα ἐπειδὴ αὐτὸς ὁμολογεῖς μὴ εἶναι ἀγαθὸν, μηδὲ καλὸν, μηδέν τι μᾶλλον οἴου δεῖν αὐτὸν αἰσχρὸν καὶ κακὸν εἶναι, ἀλλά τι μεταξὺ, ἔφη, τούτοιν. Καὶ μὴν, ἦν δ' ἐγὼ, ὁμολογεῖταί γε παρὰ πάντων μέγας θεὸς εἶναι. Τῶν μὴ εἰδότων, ἔφη, πάντων λέγεις, ἢ καὶ τῶν εἰδότων; Ξυμπάντων μὲν οὖν. Καὶ ἡ, γελάσασα, Καὶ πῶς ἂν, ἔφη, ὦ Σώκρατες,
c. ὁμολογοῖτο μέγας θεὸς εἶναι παρὰ τούτων, οἳ φασιν αὐτὸν οὐδὲ θεὸν εἶναι; Τίνες οὗτοι; ἦν δ' ἐγώ. Εἷς μὲν, ἔφη, σὺ,

chrum non eſt, ſit turpe? Maxime. Et quod non ſapiens, ignorans? an non advertiſti, eſſe quoddam ſapientiae & ignorantiae medium? Quid iſtud? Recte opinari, hoc eſt, veri abſque certa ratione participem eſſe: hoc ſiquidem neque ſcientia eſt; nam ſine ratione ſcientia nunquam, neque ignorantia rurſus. quod enim veri compos eſt, ignorantia non vocatur. huiuſmodi quiddam eſt opinio recta, inter ſapientiam & ignorantiam medium. Vera, dicebam ego, narras. Ne cogas igitur, inquit, quod pulchrum non eſt, eſſe turpe; quodve non bonum, eſſe malum. Eadem ratione quamvis Amorem neque pulchrum, neque bonum eſſe concedas, non tamen putare debes turpem neceſſario eſſe, vel malum, ſed inter iſta medium. At vero in hoc omnes conſentiunt, magnum eſſe Deum Amorem. Ignorantesne dicis, inquit, omnes? an ſcientes? Cunctos, inquam. Quonam pacto, inquit illa ridens, magnum eſſe Deum hi confiterentur, qui nec Deum quidem eſſe volunt? Quinam iſti? inquam ego. Unus quidem tu es, inquit: ego altera.

μία δ' ἐγώ. Καὶ ἐγὼ εἶπον, Πῶς τοῦτο, ἔφην, λέγεις; Καὶ ἦ, Ῥᾳδίως, ἔφη· λέγε γάρ μοι, οὐ πάντας θεοὺς φὴς εὐδαίμονας εἶναι καὶ καλούς; ἢ τολμήσαις ἄν τινα μὴ φάναι καλόν τε καὶ εὐδαίμονα θεὸν εἶναι; Μὰ Δί' οὐκ ἔγωγ', ἔφην. Εὐδαίμονας δὲ δὴ λέγεις, οὐ τοὺς τἀγαθὰ καὶ καλὰ κεκτημένους; Πάνυ γε. Ἀλλὰ μὴν Ἔρωτά γε ὡμολόγηκας, δι' ἔν- d.
δειαν τῶν ἀγαθῶν καὶ καλῶν, ἐπιθυμεῖν αὐτῶν τούτων ὧν ἐνδεὴς ἐστιν. Ὡμολόγηκα γάρ. Πῶς δ' ἂν οὖν θεὸς εἴη ὅστε τῶν καλῶν καὶ ἀγαθῶν ἄμοιρος; Οὐδαμῶς, ὡς γ' ἔοικεν. Ὁρᾷς οὖν, ἔφη, ὅτι καὶ σὺ Ἔρωτα οὐ θεὸν νομίζεις; Τί οὖν ἄν, ἔφην, εἴη ὁ Ἔρως θνητός; Ἥκιστά γε. Ἀλλὰ τί μήν; Ὥσπερ τὰ πρότερα, ἔφη, μεταξὺ θνητοῦ καὶ ἀθανάτου. Τί οὖν, ὦ Διοτίμα; Δαίμων μέγας, ὦ Σώκρατες. καὶ γὰρ πᾶν τὸ δαιμόνιον μεταξύ ἐστι θεοῦ τε καὶ θνητοῦ. Τίνα, ἦν δ' ἐγώ, e.
δύναμιν ἔχον; Ἑρμηνεῦον καὶ διαπορθμεῦον θεοῖς τὰ παρ' ἀνθρώπων, καὶ ἀνθρώποις τὰ παρὰ θεῶν, τῶν μὲν τὰς δεήσεις καὶ θυσίας, τῶν δὲ τὰς ἐπιτάξεις τε καὶ ἀμοιβὰς τῶν θυ-

Quonam pacto dixiſſe me hoc aſſeris? Facile tibi oſtendam. dic age, Nonne Deos omnes, pulchros ac beatos affirmas? numquid auderes Deorum quempiam non pulchrum beatumve dicere? Non per Iovem. Beatos autem nonne illos vocas, qui bona pulchraque poſſident? Illos dumtaxat. Atqui Amorem in ſuperioribus admiſiſti propter pulchrorum bonorumque inopiam, haec ipſa, quorum indigus eſt, appetere. Admiſi equidem. Quonam igitur modo Deus eſt, inquit, qui pulchrorum bonorumque eſt expers? Nullo pacto, ut videtur, inquam. Videſne, quod & ipſe Amorem Deum non putas? Quid ergo? inquam: num mortalis eſt Amor? Minime. Quid igitur? Superiorum inſtar, mortalis immortaliſve medium. Quid, inquam, eſt, o Diotima? Magnus, o Socrates, daemon. etenim omnis natura daemonum inter mortales Deoſve eſt media. Quam vim habet? Interpretatur, inquit, & traiicit humana ad Deos, divina ad homines: horum quidem preces & ſacrificia, illorum vero

σιῶν. ἐν μέσῳ δὲ ὂν ἀμφοτέρων συμπληροῖ, ὥστε τὸ πᾶν αὐτὸ
αὑτῷ ξυνδεδέσθαι. διὰ τούτου καὶ ἡ μαντικὴ πᾶσα χωρεῖ, καὶ
ἡ τῶν ἱερέων τέχνη τῶν τε περὶ τὰς θυσίας καὶ τὰς τελετὰς καὶ
p. τὰς ἐπῳδὰς, καὶ τὴν μαντείαν πᾶσαν καὶ γοητείαν. θεὸς δὲ
203 ἀνθρώπῳ οὐ μίγνυται, ἀλλὰ διὰ τούτου πᾶσά ἐστιν ἡ ὁμιλία
a. καὶ ἡ διάλεκτος θεοῖς πρὸς ἀνθρώπους, καὶ ἐγρηγορόσι καὶ
καθεύδουσι. καὶ ὁ μὲν περὶ τὰ τοιαῦτα σοφὸς, δαιμόνιος ἀνήρ·
ὁ δὲ ἄλλό τι σοφὸς ὢν ἢ περὶ τὰς τέχνας ἢ χειρουργίας τινὰς,
βάναυσος. οὗτοι δὴ οἱ δαίμονες πολλοὶ καὶ παντοδαποί εἰσιν·
εἷς δὲ τούτων ἐστὶ καὶ ὁ Ἔρως. Πατρὸς δὲ, ἦν δ' ἐγὼ, τίνος
b. ἐστὶ, καὶ μητρός; Μακρότερον μὲν, ἔφη, διηγήσασθαι· ὅμως
δέ σοι ἐρῶ. ὅτε γὰρ ἐγένετο ἡ Ἀφροδίτη, εἱστιῶντο οἱ θεοὶ, οἵ
τε ἄλλοι καὶ ὁ τῆς Μήτιδος υἱὸς Πόρος· ἐπειδὴ δὲ ἐδεῖπνησαν,
προσαιτήσουσα, οἷον δὴ εὐωχίας οὔσης, ἀφίκετο ἡ Πενία. καὶ
ἦν περὶ τὰς θύρας. ὁ οὖν Πόρος μεθυσθεὶς τοῦ νέκταρος, (οἶνος

praecepta, ſacroſque ſolemnes, inſtitutiones, & ordinem. In utroque medio conſtituta totum complet, ut univerſum ſecum ipſo tali vinculo connectatur. Per hanc vaticinium omne procedit, ſacerdotumque diligentia circa ſacrificia expiationeſque, & incantationes, & divinationem omnem, atque magicam. Deus quidem homini non miſcetur, ſed per id medium commercium omne atque colloquium inter Deos homineſque conficitur, & vigilantibus nobis, & dormientibus. Quicunque harum rerum peritus eſt, δαιμόνιος, id eſt, felix vir, & ſapiens nuncupatur: qui vero alias artes & facultates, quae manibus explentur, callent, βάναυσοι, id eſt, mercenarii, nominantur. Enimvero hi daemones multi atque varii ſunt. ex his unus eſt Amor. Quinam parentes, inquam, Amoris? Quamvis dictu prolixum ſit, inquit, exponam tamen. Quando nata eſt Venus, parato convivio, diſcubuerunt Dii ceteri, & Μήτιδος, id eſt, conſilii, Πόρος, id eſt, affluentiae Deus, filius. Cum coenati eſſent, Πενία, id eſt, Paupertas, mendicatura cibum, utpote epulis illic abundantibus, venit, & circa fores obverſabatur. Porus qui-

γὰρ οὔπω ἦν) εἰς τὸν τοῦ Διὸς κῆπον εἰσελθὼν, βεβαρημένος
εὗδεν. ἡ οὖν Πενία ἐπιβουλεύουσα, διὰ τὴν αὑτῆς ἀπορίαν,
παιδίον ποιήσασθαι ἐκ τοῦ Πόρου, κατακλίνεταί τε παρ' αὐ- c.
τῷ καὶ ἐκύησε τὸν Ἔρωτα. διὸ δὴ καὶ τῆς Ἀφροδίτης ἀκό-
λουθος καὶ θεράπων γέγονεν ὁ Ἔρως, γενηθεὶς ἐν τοῖς ἐκεί-
νης γενεθλίοις· καὶ ἅμα φύσει ἐραστὴς ὢν περὶ τὸ καλὸν, καὶ
τῆς Ἀφροδίτης καλῆς οὔσης. ἅτε οὖν Πόρου καὶ Πενίας υἱὸς
ὢν ὁ Ἔρως, ἐν τοιαύτῃ τύχῃ καθέστηκε. πρῶτον μὲν, πένης
ἀεί ἐστι, καὶ πολλοῦ δεῖ ἁπαλός τε καὶ καλὸς, οἷον οἱ πολλοὶ
οἴονται, ἀλλὰ σκληρὸς, καὶ αὐχμηρὸς, καὶ ἀνυπόδητος, καὶ
ἄοικος· χαμαιπετὴς ἀεὶ ὢν, καὶ ἄστρωτος, ἐπὶ θύραις καὶ ἐν d.
ὁδοῖς ὑπαιθρίοις κοιμώμενος· τὴν τῆς μητρὸς φύσιν ἔχων· ἀεὶ
ἐνδείᾳ ξύνοικος. κατὰ δὲ αὖ τὸν πατέρα, ἐπίβουλός ἐστι τοῖς
ἀγαθοῖς καὶ τοῖς καλοῖς, ἀνδρεῖος ὢν, καὶ ἴτης, καὶ σύντονος·
θηρευτὴς δεινὸς, ἀεί τινας πλέκων μηχανὰς, καὶ φρονήσεως
ἐπιθυμητὴς, καὶ πόριμος· φιλοσοφῶν διὰ παντὸς τοῦ βίου·

dem, nectare ebrius (vinum namque nondum erat) Iovis hortum ingreſſus eſt, & ſomno gravatus dormiebat. Penia vero, inopia compulſa, quo pacto filium quaſi quibuſdam inſidiis ex Poro conciperet, excogitavit. quare iuxta illum accubuit, Amoremque concepit. unde natus eſt Amor, ſectator cultorque Veneris, propterea quod in Veneris natalibus eſt progenitus. quin etiam natura, pulchri deſiderio capitur, cum Venus ipſa ſit pulchra. Quoniam vero Pori ac Peniae Amor eſt filius, ſortem huiuſmodi nactus eſt. primum quidem pauper eſt ſemper: multumque abeſt, ut ſit mollis, & pulcher, (quemadmodum plerique arbitrantur) ſed aridus eſt, & ſqualidus, nudis pedibus, ſemper humi volans, ſine domicilio, ſine ſtramentis & tegmine ullo, ad fores in via ſub divo dormiens, naturamque matris ſervans, ſemper egenus. Secundum vero patris ſtirpem, pulchris ac bonis inſidiatur, virilis, audax, & vehemens, ſagaxque venator, nova ſemper machinamenta contexens, prudentiae ſtudioſus, facundus, per omnem vitam philoſo-

δεινὸς γόης, καὶ φαρμακεὺς, καὶ σοφιστής· καὶ οὔτε ὡς ἀθάνα-
c. τος πέφυκεν, οὔτε ὡς θνητός· ἀλλὰ τοτὲ μὲν τῆς αὐτῆς ἡμέ-
ρας θάλλει τε καὶ ζῇ, ὅταν εὐπορήσῃ, τοτὲ δὲ ἀποθνήσκει·
πάλιν δὲ ἀναβιώσκεται, διὰ τὴν τοῦ πατρὸς φύσιν. τὸ δὲ πορι-
ζόμενον ἀεὶ ὑπεκρεῖ. ὥστε οὔτε ἄπορεῖ Ἔρως ποτὲ, οὔτε πλου-
τεῖ. σοφίας τε αὖ καὶ ἀμαθίας ἐν μέσῳ ἐστίν. ἔχει γὰρ ὧδε·
p. θεῶν οὐδεὶς φιλοσοφεῖ, οὐδ' ἐπιθυμεῖ σοφὸς γενέσθαι. ἔστι γάρ.
204 οὐδ' εἴ τις ἄλλος σοφὸς, οὐ φιλοσοφεῖ. οὐδ' αὖ οἱ ἀμαθεῖς φι-
a. λοσοφοῦσιν, οὐδ' ἐπιθυμοῦσι σοφοὶ γενέσθαι. αὐτὸ γὰρ τοῦτό
ἐστι χαλεπὸν ἀμαθία, τὸ μὴ ὄντα καλὸν κἀγαθὸν μηδὲ φρόνι-
μον, δοκεῖν αὐτῷ εἶναι ἱκανόν. οὔκουν ἐπιθυμεῖ ὁ μὴ οἰόμενος
ἐνδεὴς εἶναι οὗ ἂν μὴ οἴηται ἐπιδεῖσθαι. Τίνες οὖν, ἔφην
ἐγὼ, ὦ Διοτίμα, οἱ φιλοσοφοῦντες; εἰ μήτε οἱ σοφοὶ, μήτε οἱ
b. ἀμαθεῖς; Δῆλον δὴ, ἔφη, τοῦτό γε ἤδη καὶ παιδί, ὅτι οἱ μετα-
ξὺ τούτων ἀμφοτέρων ὧν ἂν καὶ ὁ ἔρως. ἔστι γὰρ δὴ τῶν καλλί-
στων ἡ σοφία· Ἔρως δ' ἐστὶν ἔρως περὶ τὸ καλόν. ὥστε ἀναγ-

phans, incantator, faſcinatorque potens, veneficus atque ſophiſta: neque immortalis omnino ſecundum naturam, neque mortalis: ſed interdum eodem die pullulat atque vivit, quoties exuberat; interdum deficit, atque iterum reviviſcit ob patris naturam. quod vero acquiritur, continue ſubterfluit. quocirca neque mendicus eſt Amor unquam, neque etiam opulentus: quin etiam inter ſapientiam & inſcitiam conſtituitur. Sic enim res ſe habet. Nullus Deorum philoſophatur, aut ſapiens fieri cupit. eſt enim. nec alius quivis ſapiens philoſophatur. Neque omnino ignorantes philoſophantur, neque ſapientes fieri cupiunt. hoc enim habet ignorantia peſſimum, quando qui nec pulcher & bonus eſt, neque ſapiens, ſufficienter haec habere ſe cenſet. Nunquam igitur expetit illa, quorum ſe indigum non advertit. Qui ergo potiſſimum, inquam, Diotima philoſophantur, ſi neque ſapientes, neque ignorantes id agunt? Hoc profecto vel puer intelliget, inquit, quod hi videlicet, qui inter iſtos ſunt medii: e quibus eſt Amor. Sapientia nempe pulcherrimum quiddam eſt: Amor autem circa pulchrum

καῖον Ἔρωτα φιλόσοφον εἶναι· φιλόσοφον δὲ ὄντα, μεταξὺ εἶναι σοφοῦ καὶ ἀμαθοῦς. αἰτία δ' αὐτῷ καὶ τούτων ἡ γένεσις. πατρὸς μὲν γὰρ σοφοῦ ἐστι καὶ εὐπόρου, μητρὸς δὲ οὐ σοφῆς καὶ ἀπόρου. ἡ μὲν οὖν φύσις τοῦ δαίμονος, ὦ φίλε Σώκρατες, αὕτη. ὃν δὲ σὺ ᾠήθης Ἔρωτα εἶναι, θαυμαστὸν οὐδὲν ἔπαθες. ᾠήθης δέ, ὡς ἐμοὶ δοκεῖ, τεκμαιρομένῃ ἐξ ὧν λέγεις σὺ, τὸ c.
ἐρώμενον, Ἔρωτα εἶναι, οὐ τὸ ἐρῶν. διὰ ταῦτα σοί, οἶμαι, πάγκαλος ἐφαινετο ὁ Ἔρως, καὶ γάρ ἐστι τὸ ἐραστὸν, τὸ τῷ ὄντι καλὸν καὶ ἁβρὸν καὶ τέλεον καὶ μακαριστόν· τὸ δέ γε ἐρῶν, ἄλλην ἰδέαν τοιαύτην ἔχον, οἵαν ἐγὼ διῆλθον. Καὶ ἐγώ εἶπον, Εἶεν δή, ὦ ξένη. καλῶς γὰρ λέγεις. τοιοῦτος ὢν ὁ Ἔρως τινα χρείαν ἔχει τοῖς ἀνθρώποις; Τοῦτο δὴ μετὰ ταῦτ', ἔφη, ὦ Σώκρατες, πειράσομαι σὲ διδάξαι. ἔστι μὲν γὰρ d.
δὴ τοιοῦτος καὶ οὕτω γεγονὼς ὁ Ἔρως. ἔστι δὲ τῶν καλῶν, ὡς σὺ φῂς. εἰ δέ τις ἡμᾶς ἔροιτο, Τί τῶν καλῶν ἐστιν ὁ Ἔρως, ὦ Σώκρατές τε καὶ Διοτίμα; ὧδε δὲ σαφέστερον ἐρῶ, Ὁ ἐρῶν

versatur. ex quo necessario sequitur, Amorem esse philosophum: cumque philosophus sit, medium ignorantis sapientisque tenere. Horum in causa eius genitura consistit. nam ex patre sapiente & opulento est genitus, matre vero minime sapiente, & certe paupere. Natura itaque daemonis, o amice Socrates, ista. Nec mirum est, talem te Amorem finxisse ex ea opinione, quam de natura eius habebas. nam, ut ex tuis dictis coniicio, non amantem, sed amatum, Amorem esse putabas: & idcirco pulcherrimum tibi Amorem esse visum existimo. Amabile quidem ipsum revera pulchrum est, delicatum, perfectum, & beatissimum. amans autem aliam talem ideam habet, qualem in superioribus figuravi. Esto, inquam, ut ais, hospes. praeclare enim loqueris. Cum vero talis sit Amor, ad quid conducit hominibus? Hoc deinceps, o Socrates, docere conabor. Talis quidem est, & ita genitus Amor. est autem pulchrorum, ut ipse inquis. Verum si quis ita quaerat, Cuius gratia Amor pulchrorum est, o Socrates atque Diotima? immo sic clarius, Qui pulchra amat,

τῶν καλῶν, τί ἐρᾷ; Καὶ ἐγὼ εἶπον ὅτι γενέσθαι αὐτῷ. Ἀλλ' ἔτι ποθεῖ, ἔφη, ἡ ἀπόκρισις ἐρώτησιν τοιάνδε, Τί ἔξαι ἐκείνῳ, ᾧ ἂν γένηται τὰ καλά; Οὐ πάνυ ἔφην ἔτι ἔχειν ἐγὼ πρὸς
c. ταύτην τὴν ἐρώτησιν προχείρως ἀποκρίνεσθαι. Ἀλλ', ἔφη, ὥσπερ ἂν εἴτις μεταβαλὼν, ἀντὶ τοῦ καλοῦ τῷ ἀγαθῷ χρώμενος, πυνθάνοιτο, Φέρε, ὦ Σώκρατες, ἐρῶ, ὁ ἐρῶν τῶν ἀγαθῶν, τί ἐρᾷ; Γενέσθαι, ἦν δ' ἐγὼ, αὐτῷ. Καὶ τί ἔξαι ἐκείνῳ ᾧ ἂν γένηται τἀγαθά; Τοῦτ' εὐπορώτερον, ἦν δ' ἐγω, ἔχω
p. ἀποκρίνασθαι, ὅτι εὐδαίμων ἔξαι. Κτήσει γὰρ, ἔφη, ἀγαθῶν,
205 a. οἱ εὐδαίμονες, εὐδαίμονες. καὶ οὐκέτι προσδεῖ ἔρεσθαι, ἵνατί δὲ βούλεται εὐδαίμων εἶναι ὁ βουλόμενος, ἀλλὰ τέλος δοκεῖ ἔχειν ἡ ἀπόκρισις. Ἀληθῆ λέγεις, εἶπον ἐγώ. Ταύτην δὴ τὴν βούλησιν καὶ τὸν ἔρωτα τοῦτον πότερα κοινὸν οἴει εἶναι πάντων ἀνθρώπων, καὶ πάντας τἀγαθὰ βούλεσθαι αὐτοῖς εἶναι ἀεί; ἢ πῶς λέγεις; Οὕτως, ἦν δ' ἐγὼ· κοινὸν εἶναι πάντων. Τί δὴ οὖν, ἔφη, ὦ Σώκρατες, οὐ πάντας ἐρᾷν φαμεν, εἴπερ
b. γε πάντες τῶν αὐτῶν ἐρῶσι, καὶ ἀεί; ἀλλὰ τινὰς φαμεν ἐρᾷν, τοὺς δ' οὔ; Θαυμάζω, ἦν δ' ἐγὼ, καὶ αὐτός. Ἀλλὰ

quid ab his potiſſimum expetit? quid reſpondebimus? Adeſſe videlicet ſibi. At haec reſponſio quaeſtionem huiuſmodi ultra requirit: Quid erit illi, cui pulchra aderunt? Nihil in promtu, quod reſpondeam, habeo. Si quis vero, inquit, mutatis vocabulis, & bono pro pulchro utens, percontetur, Qui amat bona, quid expetit? Adeſſe ſibi, inquam. Quid huic erit, cui bona aderunt? Facilior ad iſta reſponſio, inquam: felix enim erit. Poſſeſſione ſane bonorum beati ſunt, quicunque beati: neque requirere ulterius opus eſt, ad quid felix eſſe velit, qui felicitatem optat; ſed finem iam reſponſio habere videtur. Vera loqueris, inquam. Numquid hanc voluntatem amoremque cunctis cenſes hominibus eſſe communem? omneſque velle, bona ſibi ſemper adeſſe? Communem plane. Cur ergo non omnes, o Socrates, amare dicimus, ſi quidem omnes & eadem & ſemper amant? ſed quoſdam amare, alios minime? Admiror & ipſe. Sed ne

μὴ θαύμαζ', ἔφη· ἀφελόντες γὰρ ἄρα τοῦ ἔρωτος τὶ εἶδος, ὀνομάζομεν, τὸ τοῦ ὅλου ἐπιτιθέντες ὄνομα, ἔρωτα· τὰ δὲ ἄλλα ἄλλοις καταχρώμεθα ὀνόμασιν. Ὥσπερ τί; ἦν δ' ἐγώ. Ὥσπερ τόδε. οἶσθ' ὅτι ποίησις ἐξί τι πολύ. ἡ γάρ τοι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν ἰόντι ὁτῳοῦν αἰτία πᾶσα, ἐξὶ ποίησις. ὥστε καὶ αἱ ὑπὸ πάσαις ταῖς τέχναις ἐργασίαι, ποιήσεις εἰσί· καὶ c.
οἱ τούτων δημιουργοὶ πάντες, ποιηταί. Ἀληθῆ λέγεις. Ἀλλ' ὅμως ἤδη οἶσθ' ὅτι οὐ καλοῦνται ποιηταὶ, ἀλλὰ ἄλλα ἔχουσιν ὀνόματα· ἀπὸ δὲ πάσης τῆς ποιήσεως ἓν μόριον ἀφορισθὲν τὸ περὶ τὴν μουσικὴν καὶ τὰ μέτρα, τῷ τοῦ ὅλου ὀνόματι προσαγορεύεται. ποίησις γὰρ τοῦτο μόνον καλεῖται· καὶ οἱ ἔχοντες τοῦτο τὸ μόριον τῆς ποιήσεως, ποιηταί. Ἀληθῆ λέγεις, ἔφην. Οὕτω τοίνυν καὶ περὶ τὸν ἔρωτα, τὸ μὲν κεφάλαιον ἐξὶ πᾶσα ἡ τῶν ἀγαθῶν ἐπιθυμία καὶ τοῦ εὐδαιμονεῖν, d.
ὁ μέγιστός τε καὶ δολερὸς ἔρως παντί· ἀλλ' οἱ μὲν ἄλλοι τρεπόμενοι πολλαχῇ ἐπ' αὐτὸν, ἢ κατὰ χρηματισμὸν, ἢ κατὰ φιλογυμνασίαν, ἢ κατὰ φιλοσοφίαν, οὔτ' ἐρᾶν καλοῦνται,

mireris. nam ſpeciem quandam amantium ſeligentes, Amorem denominamus, totius nomen attribuentes: in aliis autem, nominibus aliis utimur. Exemplo, inquam, quodam declara. Ut ecce. Scis utique, facere, amplum quiddam eſſe. facere ſiquidem generatim dicitur cauſa, qua unumquodque ex non eſſe ad eſſe procedit. quapropter omnes cuiuſque artis actiones, effectiones ſunt, & artifices omnes poëtae, id eſt, factores. Vera narras, inquam. Vides tamen, quod non vocantur poëtae, ſed alia nomina ſortiuntur. ex omni vero factione, una ſelecta particula, quae ſcilicet circa muſicam carminaque verſatur, totius nomine nuncupatur. poëſis enim, id eſt, effectio, haec ſola vocata eſt: quive hanc effectionis particulam habent, poëtae. Vera haec ſunt, inquam. Idem quoque circa amorem accidit. nam ſummatim quidem omnis bonorum felicitatiſque appetitio, maximus & inſidiator amor eſt cuique. verum qui ad bonum ſtudio pecuniarum, vel gymnaſticae, vel ſapientiae, proficiſcuntur, nec amare nec

οὔτ' ἐραστάι· οἱ δὲ κατὰ ἕν τι εἶδος ἰόντες καὶ ἐσπουδακότες, τὸ τοῦ ὅλου ὄνομα ἔχουσιν, ἔρωτά τε καὶ ἐρᾶν, καὶ ἐραστάι. Κινδυνεύεις ἀληθῆ λέγειν, ἔφην ἐγώ. Καὶ λέγεταί μέν γέ τις,
c. ἔφη, λόγος, ὡς οἳ ἂν τὸ ἥμισυ ἑαυτῶν ζητῶσιν, οὗτοι ἐρῶσιν. ὁ δ' ἐμὸς λόγος οὔτε ἡμίσεος φησὶν εἶναι τὸν ἔρωτα, οὔτε ὅλου· ἐὰν μὴ τυγχάνῃ γέ που, ὦ ἑταῖρε, ἀγαθὸν ὄν. ἑπεὶ αὐτῶν τε καὶ πόδας καὶ χεῖρας ἐθέλουσιν ἀποτέμνεσθαι οἱ ἄνθρωποι, ἐὰν αὐτοῖς δοκῇ τὰ ἑαυτῶν πονηρὰ εἶναι. οὐ γὰρ τὸ ἑαυτῶν, οἶμαι, ἕκαστοι ἀσπάζονται· εἰ μὴ εἴ τις τὸ μὲν ἀγαθὸν οἰκεῖον καλεῖ καὶ ἑαυτοῦ, τὸ δὲ κακὸν, ἀλλότριον.
P. 206 ὡς οὐδέν γε ἄλλο ἐστὶν οὗ ἐρῶσιν ἄνθρωποι, ἢ τοῦ ἀγαθοῦ. ἦ
a. σοι δοκοῦσι; Μὰ Δί' οὐκ ἔμοιγε, ἦν δ' ἐγώ. Ἆρ' οὖν ἤδη οὕτως ἁπλοῦν ἐστι λέγειν, ὅτι οἱ ἄνθρωποι τοῦ ἀγαθοῦ ἐρῶσι; Ναὶ, ἔφην. Τί δέ; οὐ προσθετέον, ἔφη, ὅτι καὶ εἶναι τὸ ἀγαθὸν αὐτοῖς ἐρῶσι; Προσθετέον. Ἆρ' οὖν, ἔφη, καὶ οὐ μόνον εἶναι, ἀλλὰ ἀεὶ εἶναι; Καὶ τοῦτο προσθετέον. Ἔστιν ἄρα ξυλλήβδην, ἔφη, ὁ ἔρως τοῦ τὸ ἀγαθὸν αὐτῷ εἶναι ἀεί. Ἀληθέστατα, ἔφην ἐγὼ, λέγεις. Ὅτε δὴ τοῦτο ὁ ἔρως ἐστὶν

amatores cognominantur: qui vero ſecundum certam ſpeciem ad id contendunt, totius nomen ſubeunt, amorem videlicet, & amare, & amatores. Recte loqui videris. Nonnulli ferunt, eos, qui dimidium ſui perquirunt, amare. ego autem neque dimidii, neque totius amorem aſſero, niſi aliquo pacto ſit bonum: quandoquidem & manus & pedes, ſi videantur ipſorum mala ac pernicies eſſe, vel a ſe ipſis homines abſcindere volunt. non enim ſuum quiſque diligit: niſi forte quiſpiam quod bonum eſt, ſuum ac proprium cuiuſque vocet; quod vero malum, potius alienum: quippe cum nihil aliud, praeter bonum, homines ament. nonne ſic & tibi videntur? Sic utique. Simpliciter ergo dicendum eſt, homines bonum amare. Procul dubio. An non addendum, quod adeſſe ſibi bonum cupiunt? Addendum. Nec adeſſe ſolum, ſed & ſemper adeſſe? Et ſemper. Eſt igitur ſummatim amor appetitio, qua bonum ſibi ſemper eſſe quis cupit.

ἀεὶ, ἤδη τῶν τίνα τρόπον διακόντων αὐτὸν, καὶ ἐν τίνι πρά- b.
ξει, ἡ σπουδὴ καὶ ἡ σύςασις, ἐρως ἂν καλοῖτο; τί τοῦτο τυγχάνει ὂν τὸ ἔργον, ἔχεις εἰπεῖν; Οὐ μέντ' ἄν σε, ἔφην ἐγὼ, ὦ Διοτίμα, ἐθαύμαζον ἐπὶ σοφίᾳ, καὶ ἐφοίτων παρά σε αὐτὰ ταῦτα μαθησόμενος. Ἀλλ' ἐγώ σοι, ἔφη, ἐρῶ. ἔςι γὰρ τοῦτο τόκος ἐν καλῷ, καὶ κατὰ τὸ σῶμα καὶ κατὰ τὴν ψυχήν. Μαντείας, ἦν δ' ἐγὼ, δεῖται ὅ, τι ποτὲ λέγεις· καὶ οὐ μανθάνω. Ἀλλ' ἐγὼ ἤδη σαφέςερον ἐρῶ. κύουσι γάρ, ἔφη, c.
ὦ Σώκρατες, πάντες ἄνθρωποι καὶ κατὰ τὸ σῶμα καὶ κατὰ τὴν ψυχήν· καὶ ἐπειδὰν ἔν τινι ἡλικίᾳ γένωνται, τίκτειν ἐπιθυμεῖ ἡμῶν ἡ φύσις. τίκτειν δὲ ἐν μὲν αἰσχρῷ οὐ δύναται, ἐν δὲ τῷ καλῷ. ἡ γὰρ ἀνδρὸς καὶ γυναικὸς συνουσία τόκος ἐςιν. ἔςι δὲ τοῦτο θεῖον τὸ πρᾶγμα· καὶ τοῦτο ἐν θνητῷ ὄντι τῷ ζώῳ ἀθάνατόν ἐςιν, ἡ κύησις καὶ ἡ γέννησις. ταῦτα δ' ἐν τῷ ἀναρμόςῳ ἀδύνατον γενέσθαι. ἀνάρμοςον δ' ἐςὶ τὸ αἰσχρὸν παντὶ τῷ θείῳ· τὸ δὲ καλὸν, ἁρμόττον. Μοῖρα οὖν καὶ d.

Vera nimium loqueris. Poſtquam huiuſmodi quiddam ſemper univerſalis eſt amor, poteſne dicere, quae potiſſimum appetendi conditio, quive proſequendi modus, & in quali vel actione, vel ſtudio, amor proprie nominetur? Si id oſtendere potuiſſem, nunquam ſapientiam tuam admiratus eſſem, Diotima, neque diſcendi gratia ad te veniſſem. At ego dicam. eſt, inquam, hoc partus in pulchro, tam ſecundum animam, quam ſecundum corpus. Vaticinio opus eſt, ad id, quod ais, intelligendum. hoc enim nullo modo percipio. Dicam equidem planius. Omnium, o Socrates, hominum praegnans & gravidum corpus eſt, praegnans & anima. & cum primum ad certam aetatem pervenerimus, parere noſtra natura cupit: parere vero in turpi nequit, in pulchro poteſt. Viri ſane mulieriſque congreſſu foetus partuſque provenit. eſt autem opus hoc divinum, & in animali ipſo mortali immortale hoc eſt, conceptio ſcilicet & generatio. Haec in eo, quod ſine proportione & diſſonum eſt, expleri nequeunt. diſſonum autem eſt, quod turpe, ab omni quod

Εἰλήθυια ἡ καλλονή ἐστι τῇ γενέσει. διὰ ταῦτα ὅταν μὲν καλῷ προσπελάζῃ τὸ κυοῦν, ἵλεών τε δὴ γίγνεται, καὶ εὐφραινόμενον διαχεῖται, καὶ τίκτει τε καὶ γεννᾷ· ὅταν δὲ αἰσχρῷ, σκυθρωπόν τε καὶ λυπούμενον συσπειρᾶται, καὶ ἀποτρέπεται, καὶ ἀνειλεῖται, καὶ οὐ γεννᾷ, ἀλλὰ ἴσχον τὸ κύημα χαλεπῶς φέρει. ὅθεν δὴ τῷ κυοῦντί τε καὶ ἤδη σπαργῶντι
e. πολλὴ ἡ ποίησις γέγονε περὶ τὸ καλὸν, διὰ τὸ μεγάλης ὠδῖνος ἀπολύειν τὸν ἔχοντα. ἔστι γὰρ, ὦ Σώκρατες, ἔφη, οὐ τοῦ καλοῦ ἔρως, ὡς σὺ οἴει. Ἀλλὰ τί μήν; Τῆς γεννήσεως καὶ τοῦ τόκου ἐν τῷ καλῷ. Εἶεν, ἦν δ' ἐγώ. Πάνυ μὲν οὖν, ἔφη. Τί δὴ οὖν τῆς γεννήσεως; Ὅτι ἀειγενές ἐστι καὶ ἀθάνατον,
P. 207 a. ὡς ἔνητῷ, ἡ γέννησις. ἀθανασίας δὲ ἀναγκαῖον ἐπιθυμεῖν μετὰ ἀγαθοῦ, ἐκ τῶν ὡμολογημένων, εἴπερ τοῦ ἀγαθοῦ ἐκυτῷ εἶναι ἀεὶ ἔρως ἐστίν. ἀναγκαῖον δὴ, ἐκ τούτου τοῦ λόγου, καὶ τῆς ἀθανασίας τὸν Ἔρωτα εἶναι. ταῦτά τε οὖν πάντα ἐδίδασκέ με, ὁπότε περὶ τῶν ἐρωτικῶν λόγους ποιοῖτο· καὶ πο-

est divinum: pulchrum vero divino conſonum. Parca igitur & Lucina generationi pulchritudo ipſa eſt. Quocirca quoties pulchro, quod gravidum eſt, adhaeret, laetitia geſtit, hilaritate & voluptate diffunditur, paritque & generat. contra vero, cum turpi propinquat, triſtitia quadam & dolore contrahitur, abſterreturque & cohibetur, nec gignit, ſed foetum retinens angitur. Quapropter quod concepit, & iam luxuriat, adultumque ad generationem anhelat, circa pulchrum ut plurimum obverſatur, quoniam inde acri anxietate levatur. eſt enim amor non pulchri, Socrates, ut tu putas. At cuius? inquam. Generationis partuſque in pulchro. Revera? Revera, inquit. Cur generationis? Quia amor ſempiternum quiddam eſt & immortale, quemadmodum in ipſo mortali generatio. immortalitatem autem una cum bono appetere neceſſe eſt, ex illis, quae ſupra conceſſimus, quandoquidem amor eſt appetitio, qua bonum ſibi quiſque ſemper adeſſe deſiderat. Ex his concluditur, amorem immortalitatis quoque deſiderium eſſe. Haec omnia mihi Diotima tradidit,

τε ἤρετο, Τι οἴει, ὦ Σώκρατες, αἴτιον εἶναι τούτου τοῦ ἔρωτος καὶ τῆς ἐπιθυμίας; ἢ οὐκ αἰσθάνῃ ὡς δεινῶς διατίθεται πάντα τὰ θηρία, ἐπειδὰν γεννᾷν ἐπιθυμήσῃ, καὶ τὰ πεζὰ καὶ τὰ πτηνά, νοσοῦντά τε πάντα καὶ ἐρωτικῶς διατιθέμενα; b. πρῶτον μέν, περὶ τὸ ξυμμιγῆναι ἀλλήλοις, ἔπειτα περὶ τὴν τροφὴν τοῦ γενομένου· καὶ ἕτοιμά ἐστιν ὑπὲρ τούτων καὶ διαμάχεσθαι τὰ ἀσθενέστατα τοῖς ἰσχυροτάτοις, καὶ ὑπεραποθνήσκειν, καὶ αὐτὰ τῷ λιμῷ παρατεινόμενα, ὥστ' ἐκεῖνα ἐκτρέφειν, καὶ ἄλλο πᾶν ποιοῦντα. τοὺς μὲν γὰρ ἀνθρώπους, ἔφη, οἴοιτ' ἄν τις ἐκ λογισμοῦ ταῦτα ποιεῖν· τὰ δὲ θηρία τίς αἰτίᾳ οὕτως ἐρωτικῶς διατίθεσθαι, ἔχεις λέγειν; Καὶ ἐγὼ c. ἂν ἔλεγον ὅτι οὐκ εἰδείην. Ἡ δ' εἶπε, Διανοῇ οὖν δεινὸς ποτὲ ἔσῃ ἐν τοῖς ἐρωτικοῖς, ἐὰν ταῦτα μὴ ἐννοῇς; Ἀλλὰ διὰ ταῦτά τοι, ὦ Διοτίμα, ὅπερ νῦν δὴ εἶπον, παρά σε ἥκω, γνοὺς ὅτι διδασκάλων δέομαι. ἀλλά μοι λέγε καὶ τούτων τὴν αἰτίαν, καὶ τῶν ἄλλων τῶν περὶ τὰ ἐρωτικά. Εἰ τοίνυν, ἔφη,

cum de amatoriis ſermonem habuit. nec non ſic interrogavit: Quam huius amoris cupiditatiſque cauſam, o Socrates, arbitraris? an non vides, quam graviter afficiuntur animantes omnes, & quae gradiuntur, & quae volant, cum ad generationem toto impetu proferuntur, & amoris ardore inſaniunt? Primo quidem generationis cauſa quam vehementer congredi concupiſcunt! deinde, quantum circa natorum alimenta laborant! horumque cauſa imbecilla etiam animalia adverſus robuſtiſſima proelia poſcunt, & pro illis occumbere parata ſunt, ac fame deficere, modo filios nutriant, & aliud quodlibet audacter aggrediuntur. Homines quidem forte putaret quiſpiam rationis diſcurſu haec agere: brutis autem quaenam amoris tam ardentis cauſa eſt? aſſignare hanc potes? Minime, inquam. Crediſne, inquit, in amatoriis te peritum fore, dum haec ignoras? Ob hanc cauſam ad te, o Diotima, ut ſupra dixi, confugio, quia praeceptore me indigere cognoſco. horum itaque, precor, & aliorum, quaecunque ad amorem attinent, cauſam afferas. Si credis, illius naturae

πιστεύεις ἐκείνου εἶναι φύσει τὸν ἔρωτα, οὗ πολλάκις ἀμφισ-
d. βητήκαμεν, μὴ θαύμαζε. ἐνταῦθα γὰρ τὸν αὐτὸν ἐκείνῳ λόγον ἡ θνητὴ φύσις ζητεῖ κατὰ τὸ δυνατὸν ἀεί τε εἶναι καὶ ἀθάνατος. δύναται δὲ ταύτῃ μόνον τῇ γενέσει, ὅτι ἀεὶ καταλείπει ἕτερον νέον ἀντὶ τοῦ παλαιοῦ. ἐπεὶ καὶ ἐν ἑκάστῳ τῶν ζώων ζῆν καλεῖται, καὶ εἶναι τὸ αὐτό· οἷον ἐκ παιδαρίου ὁ αὐτὸς λέγεται, ἕως ἂν πρεσβύτης γένηται· οὗτος μέντοι οὐδέποτε τὰ αὐτὰ ἔχων ἐν ἑαυτῷ, ὅμως ὁ αὐτὸς καλεῖται, ἀλλὰ νέος ἀεὶ γιγνόμενος, τὰ δὲ ἀπόλλυς, καὶ κατὰ τὰς τρί-
e. χας, καὶ σάρκα, καὶ ὀστᾶ, καὶ αἷμα, καὶ ξύμπαν τὸ σῶμα. καὶ μὴ ὅτι κατὰ τὸ σῶμα, ἀλλὰ καὶ κατὰ τὴν ψυχήν· αἱ τρόποι, τὰ ἤθη, δόξαι, ἐπιθυμίαι, ἡδοναί, λύπαι, φόβοι, τούτων ἕκαστα οὐδέποτε τὰ αὐτὰ πάρεστιν ἑκάστῳ· ἀλλὰ τὰ μὲν γίγνεται, τὰ δὲ ἀπόλλυται. πολὺ δὲ τούτων ἀτοπώτερόν ἐστιν,
p. ὅτι καὶ αἱ ἐπιστῆμαι, μὴ ὅτι αἱ μὲν γίγνονται, αἱ δὲ ἀπόλ-
208 a. λυνται ἡμῖν· καὶ οὐδέποτε οἱ αὐτοὶ ἐσμὲν οὐδὲ κατὰ τὰς ἐπιστήμας· ἀλλὰ καὶ μία ἑκάστη τῶν ἐπιστημῶν ταυτὸν πάσχει. ὃ

amorem esse, cuius saepe iam diximus, ne mireris. ex hoc enim similiter, ut ex superioribus, natura mortalis, semper & immortalis esse pro viribus nititur: hoc autem generatione dumtaxat assequitur, quoniam semper alterum iuvenem veteris loco substituit. enimvero eo ipso in tempore, quo animalium unumquodque vivere dicitur, idemque esse, (ut a pueritia ad senectutem) quamvis idem dicatur, nunquam tamen in se ipso eadem continet, sed novum semper efficitur, & vetera exuit, secundum pilos, carnem, ossa, ac sanguinem, & universum corpus. Neque in corpore solum, verum etiam in anima, id contingit. mores, consuetudines, opiniones, cupidines, voluptates, dolores, atque timores, continue permutantur: neque quidquam ex istis idem & simile perseverat, sed priora quidem abolentur, nova vero succedunt. Quin etiam, quod mirabilius est, scientiae quoque non solum aliae evanescunt, aliae surgunt: neque semper secundum scientias iidem sumus: verum etiam unaquaevis

γὰρ καλεῖται μελετᾶν, ὡς ἐξιούσης ἐστὶ τῆς ἐπιστήμης. λήθη γὰρ, ἐπιστήμης ἔξοδος· μελέτη δὲ πάλιν καινὴν ἐμποιοῦσα ἀντὶ τῆς ἀπιούσης μνήμην, σώζει τὴν ἐπιστήμην· ὥστε τὴν αὐτὴν δοκεῖν εἶναι. τούτῳ γὰρ τῷ τρόπῳ πᾶν τὸ θνητὸν σώζεται, οὐ τῷ παντάπασι τὸ αὐτὸ ἀεὶ εἶναι, ὥσπερ τὸ θεῖον, ἀλλὰ τῷ τὸ ἀπιὸν καὶ παλαιούμενον, ἕτερον νέον ἐγκαταλι- b.
πεῖν, οἷον αὐτὸ ἦν. ταύτῃ τῇ μηχανῇ, ὦ Σώκρατες, ἔφη, θνητὸν ἀθανασίας μετέχει, καὶ σῶμα, καὶ τἆλλα πάντα· ἀθάνατον δὲ, ἄλλῃ. μὴ οὖν θαύμαζε, εἰ τὸ αὑτοῦ ἀποβλάστημα φύσει πᾶν τιμᾷ. ἀθανασίας γὰρ χάριν παντὶ αὕτη ἡ σπουδὴ καὶ ὁ Ἔρως ἕπεται. Καὶ ἐγὼ, ἀκούσας τὸν λόγον, ἐθαύμασά τε καὶ εἶπον, Εἶεν, ἦν δ' ἐγὼ, ὦ σοφωτάτη Διοτίμα, ταῦτα ὡς ἀληθῶς οὕτως ἔχει; Καὶ ἥ, ὥσπερ οἱ τέλειοι c.
σοφισταὶ, Εὖ ἴσθι, ἔφη, ὦ Σώκρατες. ἐπεί γε καὶ τῶν ἀνθρώπων εἰ ἐθέλεις εἰς τὴν φιλοτιμίαν βλέψαι, θαυμάζοις ἂν τῆς ἀλογίας περὶ ἃ ἐγὼ εἴρηκα, εἰ μὴ ἐννοεῖς, ἐνθυμηθεὶς ὡς δει-

scientiarum idem patitur. Quod enim dicitur Meditari, quasi exierit scientia dicitur. Oblivio namque scientiae exitus est: meditatio vero, novam memoriam semper abeuntis loco restituens, scientiam servat, ut esse eadem videatur. Hoc utique pacto omne mortale servatur, non quia semper omnino idem sit, ut divinum, sed quia quod tabescit & abit, novum & simile sibi relinquit. Hoc remedio, Socrates, quod mortale est, sive corpus, seu quodlibet aliud, particeps immortalitatis evadit: quod vero divinum & immortale, alia ratione. Quamobrem mirari non debes, si omnia germen suum natura cariſſimum habeant. nam immortalitatis gratia nisus huiusmodi atque amor cuilibet inest. Cum haec audissem, admiratione commotus, inquam, Siccine, o sapientissima Diotima, revera de iis iudicandum? Tum illa, ut perfecti sophistae solent, Certo scito, inquit, o Socrates. etenim si gloriae studium, quod hominibus inest, considerare volueris, admiraberis ruditatem tuam, quod ea, quae dixi, non satis comprehenderis. cernes quidem, quam vehementer exo-

νῶς διάκεινται ἔρωτι τοῦ ὀνόματος γενέσθαι, καὶ κλέος εἰς
τὸν ἀεὶ χρόνον ἀθάνατον καταθέσθαι· καὶ ὑπὲρ τούτου κιν-
δύνους τε κινδυνεύειν ἕτοιμοι εἰσὶ πάντες, μᾶλλον ἢ ὑπὲρ τῶν
d. παίδων, καὶ χρήματ' ἀναλίσκειν, καὶ πόνους πονεῖν οὑστινασ-
οῦν, καὶ ὑπεραποθνήσκειν. ἐπεὶ οἴει σὺ, ἔφη, Ἄλκηστιν ὑπὲρ Ἀδ-
μήτου ἀποθανεῖν ἂν, ἢ Ἀχιλλέα Πατρόκλῳ ἐπαποθανεῖν, ἢ
προαποθανεῖν ἂν τὸν ἡμέτερον Κόδρον ὑπὲρ τῆς βασιλείας
τῶν παίδων, μὴ οἰομένους ἀθάνατον μνήμην ἀρετῆς περὶ
αὐτῶν ἔσεσθαι, ἣν νῦν ἡμεῖς ἔχομεν; Πολλοῦ γε δεῖ, ἔφη·
ἀλλ', οἶμαι, ὑπὲρ ἀρετῆς ἀθανάτου καὶ τοιαύτης δόξης εὐ-
e. κλεοῦς πάντες πάντα ποιοῦσιν· ὅσῳ ἂν ἀμείνους ὦσι, τοσούτῳ
μᾶλλον. τοῦ γὰρ ἀθανάτου ἐρῶσιν. οἱ μὲν οὖν ἐγκύμονες, ἔφη,
κατὰ σώματα ὄντες, πρὸς τὰς γυναῖκας μᾶλλον τρέπον-
ται, καὶ ταύτῃ ἐρωτικοί εἰσι, διὰ παιδογονίας ἀθανασίαν
καὶ μνήμην καὶ εὐδαιμονίαν, ὡς οἴονται, αὑτοῖς εἰς τὸν ἔπει-
τα χρόνον πάντα πορίζόμενοι· οἱ δὲ κατὰ τὴν ψυχήν. εἰσὶ
p. γὰρ οὖν, ἔφη, οἳ καὶ ἐν ταῖς ψυχαῖς κυοῦσιν ἔτι μᾶλλον ἢ
209 ἐν τοῖς σώμασιν, ἃ ψυχῇ προσήκει καὶ κυῆσαι καὶ κυεῖν. τί
a.

ptent, notos ſeſe omnibus exhibere, & in futurum immortalem gloriam conſequi. nam huius gratia magis, quam filiorum, pericula ſubeunt, pecunias erogant, laboreſque nullos reſpuunt, ac denique ſeſe morti exponunt. An cenſes, Alceſten pro Admeto mori voluiſſe, aut Achillem in ultione Patrocli occumbere, aut veſtrum Codrum pro filiorum regno perire, niſi immortalem virtutis memoriam, qualis apud nos exſtat, conſecuturos ſe praeſagiſſent? Longe abeſt, inquibat. immo pro immortali virtute & honeſta opinione cuncta haec, ut arbitror, omnes agunt: & quo meliores homines ſunt, eo magis ad iſta contendunt. nam immortalitatem amant. Quicunque igitur corpore foecundi ſunt, ad feminas ſe magis convertunt, atque ita amant, & filiorum generatione immortalitatem, memoriam, & felicitatem, per omne tempus aſſequi ſperant. ſunt & qui animam gravidam atque foecundam magis, quam corpus, habeant. hi ſane

οὖν προσήκει; Φρόνησίν τε καὶ τὴν ἄλλην ἀρετήν· ὧν δή εἰσι καὶ οἱ πάντες ποιηταὶ γεννήτορες, καὶ τῶν δημιουργῶν ὅσοι λέγονται εὑρετικοὶ εἶναι. πολὺ δὲ μεγίστη εἶναι, ἔφη, καὶ καλλίστη τῆς Φρονήσεως, ἡ περὶ τὰς τῶν πόλεων τε καὶ οἰκήσεων διακόσμησις· ἥ δὴ ὄνομά ἐστι σωφροσύνη τε καὶ δικαιοσύνη. τούτων δ' αὖ ὅταν τις ἐκ νέου ἐγκύμων ἦ τὴν ψυχήν, θεῖος b. ὢν, καὶ ἡκούσης τῆς ἡλικίας τίκτειν τε καὶ γεννᾶν ἤδη ἐπιθυμεῖ. ζητεῖ δὴ, οἶμαι, καὶ οὗτος περιιὼν τὸ καλὸν ἐν ᾧ ἂν γεννήσειεν. ἐν τῷ γὰρ αἰσχρῷ οὐδέποτε γεννήσει. τά τε οὖν σώματα τὰ καλὰ μᾶλλον ἢ τὰ αἰσχρὰ ἀσπάζεται, ἅτε κυῶν· καὶ ἐὰν ἐντύχῃ ψυχῇ καλῇ καὶ γενναίᾳ καὶ εὐφυεῖ, πάνυ δὴ ἀσπάζεται τὸ ξυναμφότερον. καὶ πρὸς τοῦτον τὸν ἄνθρωπον εὐθὺς εὐπορεῖ λόγων περὶ ἀρετῆς, καὶ περὶ οἷον χρὴ εἶναι τὸν ἄνδρα τὸν ἀγαθὸν, καὶ ἃ ἐπιτηδεύειν, καὶ ἐπιχειρεῖ c. παιδεύειν. ἅπτόμενος γὰρ, οἶμαι, τοῦ καλοῦ, καὶ ὁμιλῶν αὐτῷ, ἃ πάλαι ἐκύει, τίκτει καὶ γεννᾷ, καὶ ἀπὼν καὶ παρὼν

concipiunt ea, quae animae & concepiſſe & concipere convenit. Sed quidnam convenit? Prudentiam videlicet, aliaſque virtutes: quarum rerum poëtae omnes genitores ſunt, nec non artifices illi, qui inventores dicuntur. Maxima vero & omnium praeſtantiſſima prudentia eſt, qua civilia & domeſtica gubernantur, cuius nomen eſt temperantia atque iuſtitia. Quiſquis ergo virtutum huiuſmodi natura plenus & gravidus eſt, ideoque divinus, aetate debita imminente parere iam generareque affectat: & idcirco paſſim vagatur, quaeritque pulchrum, in quo generet. in turpi namque minime generaret. Quapropter corporibus ſpecioſis magis, quam deformibus, gratulatur, utpote praegnans. quod ſi animam praeterea pulchram, generoſam, docilemque reperiat, utraque pulchritudine concurrente mirifice delectatur, & coram homine illo confeſtim de virtute loquendo facundia pollet, qualis eſſe debeat vir bonus ediſſerens, quodve ſit eius officium: atque hac doctrina imbuere illum ſtudet. Adhaerens quippe pulchro, coque familiariter utens, quae quondam

μεμνημένος, καὶ τὸ γεννηθὲν συνεκτρέφει κοινῇ μετ' ἐκείνου. ὥστε πολὺ μείζω κοινωνίαν τῆς τῶν παίδων πρὸς ἀλλήλους οἱ τοιοῦτοι ἴσχουσι, καὶ φιλίαν βεβαιοτέραν, ἅτε καλλιόνων καὶ ἀθανατωτέρων παίδων κεκοινωνηκότες. καὶ πᾶς ἂν δε-
d. ξαιτο ἑαυτῷ τοιούτους παῖδας μᾶλλον γεγονέναι, ἢ τοὺς ἀνθρωπίνους· καὶ εἰς Ὅμηρον ἀποβλέψας καὶ Ἡσίοδον, καὶ τοὺς ἄλλους ποιητὰς τοὺς ἀγαθοὺς ζηλῶν, οἷα ἐκγονα ἑαυτῶν καταλείπουσιν, ἃ ἐκείνοις ἀθάνατον κλέος καὶ μνήμην παρέχεται, αὐτὰ τοιαῦτα ὄντα· εἰ δὲ βούλει, ἐγώ, οἵους Λυκοῦργος παῖδας κατελείπετο ἐν Λακεδαίμονι σωτῆρας τῆς Λακεδαίμονος, καὶ, ὡς ἔπος εἰπεῖν, τῆς Ἑλλάδος. τι-
μιος δὲ παρ' ὑμῖν καὶ Σόλων διὰ τὴν τῶν νόμων γέννησιν,
e. καὶ ἄλλοι ἄλλοθι πολλαχοῦ ἄνδρες, καὶ ἐν Ἕλλησι καὶ ἐν βαρβάροις, πολλὰ καὶ καλὰ ἀποφηνάμενοι ἔργα, γεννήσαντες παντοίαν ἀρετήν. ὧν καὶ ἱερὰ πολλὰ ἤδη γέγονε διὰ τοὺς τοιούτους παῖδας· διὰ δὲ τοὺς ἀνθρωπίνους, οὐδενός πω. Ταὶ-

conceperat, parit & gignit, illius tam in abſentia, quam praeſentia, memor: quodve inde naſcitur, cum illo communiter nutrit atque educat. unde auguſtiorem communionem, firmioremque amicitiam viciſſim contrahunt, quam mortalium filiorum parentes, utpote qui in filiis immortalibus magis pulchrioribuſque una communicant. etenim huiuſmodi filios quilibet potius, quam humanos, eligeret, praeſertim qui Homerum Heſiodumque conſideret, & poëtas alios aemuletur, dum cernit, quales filios reliquerunt: qui cum immortales ſint, immortalem quoque gloriam memoriamque parentibus praebuerunt: qualeſque, ſi tibi placet, Lycurgus Lacedaemoniis reliquit filios, Lacedaemoniae ac totius paene Graeciae ſervatores. Honoratur & apud vos propter generationem legum ipſe Solon, aliique permulti alibi apud Graecos & barbaros, qui multa atque praeclara opera demonſtrarunt, virtutem omnem progenerantes. Quibus templa ac ſacra multa, ob huiuſmodi ſaepe natos dicata ſunt: ob humanos vero adhuc alicui nunquam. In his uti-

τα μὲν οὖν τὰ ἐρωτικὰ ἴσως, ὦ Σώκρατες, κἂν σὺ μυηθείης· τὰ δὲ τέλεα καὶ ἐποπτικὰ, ὧν ἕνεκα καὶ ταῦτά ἐστιν, ἐάν τις ὀρθῶς μετίῃ, οὐκ οἶδ' εἰ οἷόσ τ' ἂν εἴης. ἐρῶ μὲν οὖν, ἔφη, ἐγὼ, καὶ προθυμίας οὐδὲν ἀπολείψω· πείρᾳ δὲ ἕπεσθαι, ἂν οἷός τε ᾖς. δεῖ γὰρ, ἔφη, τὸν ὀρθῶς ἰόντα ἐπὶ τοῦτο πρᾶγμα, ἄρχεσθαι μὲν νέον ὄντα ἰέναι ἐπὶ τὰ καλὰ σώματα· καὶ πρῶτον μὲν, ἐὰν ὀρθῶς ἡγῆται ὁ ἡγούμενος, ἑνὸς αὐτὸν σώματος ἐρᾶν, καὶ ἐνταῦθα γ ἐννοῆν λόγους καλούς· ἔπειτα δὲ αὐτὸν κατανοῆσαι ὅτι τὸ κάλλος τὸ ἐπὶ ὁτῳοῦν σώματι, τῷ ἐπὶ ἑτέρῳ σώματι ἀδελφόν ἐστι. καὶ εἰ δεῖ διώκειν τὸ ἐπ' εἶδει καλὸν, πολλὴ ἄνοια μὴ οὐχ ἓν τε καὶ ταυτὸν ἡγεῖσθαι τὸ ἐπὶ πᾶσι τοῖς σώμασι κάλλος. τοῦτο δ' ἐννοήσαντα, καταστῆναι πάντων τῶν καλῶν σωμάτων ἐραστήν· ἑνὸς δὲ τὸ σφόδρα τοῦτο χαλάσαι, καταφρονήσαντα καὶ σμικρὸν ἡγησάμενον. μετὰ δὲ ταῦτα, τὸ ἐν ταῖς ψυχαῖς κάλλος τιμιώτερον ἡγήσασθαι τοῦ ἐν τῷ σώματι. ὥστε καὶ ἂν ἐπιεικὴς ὢν

P. 210 a. b.

que amatoriis, o Socrates, ipſe forſitan induſtria tua initiareris: utrum vero ulterius procedas, ac perfecta demum amatoria, quaeve ſublime ſpectant, quorum gratia haec ſunt, ſi quis recte inquirat, haud ſcio poſſiſne animadvertere. dicam tamen, omnique ſtudio tibi opitulabor: tu vero pro viribus ſequi me nitere. Oportet eum, qui ad hoc recto ſit tramite progreſſurus, ſtatim ab adoleſcentia pulchra corpora contemplari: & primum quidem, ſi modo recte ducatur, unum corpus amare, ibique rationes pulchras producere; cogitare deinde, pulchritudinem, quae corpori cuilibet ineſt, alterius corporis eſſe germanam. Et ſi ſequi decet, quod in ſpecie pulchrum, abſurdum eſt credere, eam, quae omnibus corporibus ineſt, non unam eandemque pulchritudinem eſſe. Et qui hoc advertit, omnium ſimpliciter pulchrorum corporum amator evadere debet, amoris autem erga unum vehementiam hac ratione remittere, atque unius ſpeciem parvi facere. Poſt haec pulchritudinem, quae animis ineſt, illa, quae in corpore, praeſtantiorem exiſtimet, adeo

c. τὴν ψυχήν τις, καὶ ἐὰν σμικρὸν ἄνθος ἔχῃ, ἐξαρκεῖν αὐτῷ, καὶ ἐρᾶν, καὶ κήδεσθαι, καὶ τίκτειν λόγους τοιούτους καὶ ζητεῖν, οἵτινες ποιήσουσι βελτίους τοὺς νέους· ἵνα ἀναγκασθῇ αὖ θεάσασθαι τὸ ἐν τοῖς ἐπιτηδεύμασι καὶ τοῖς νόμοις καλὸν, καὶ τοῦτ' ἰδεῖν ὅτι πᾶν αὐτὸ αὑτῷ ξυγγενές ἐστι· ἵνα τὸ περὶ τὸ σῶμα καλὸν, σμικρόν τι ἡγήσηται εἶναι. μετὰ δὲ τὰ ἐπιτηδεύματα, ἐπὶ τὰς ἐπιστήμας ἀγαγεῖν· ἵνα ἴδῃ αὖ ἐπιστημῶν κάλλος, καὶ βλέπων πρὸς πολὺ ἤδη τὸ καλὸν, μηκέτι
d. τὸ παρ' ἑνὶ, ὥσπερ οἰκέτης ἀγαπῶν παιδαρίου, κάλλος, ἢ ἀνθρώπου τινὸς, ἢ ἐπιτηδεύματος ἑνὸς, δουλεύων, φαῦλος ἢ καὶ σμικρολόγος· ἀλλ' ἐπὶ τὸ πολὺ πέλαγος τετραμμένος τοῦ καλοῦ, καὶ θεωρῶν πολλοὺς καὶ καλοὺς λόγους καὶ μεγαλοπρεπεῖς τίκτῃ καὶ διανοήματα ἐν φιλοσοφίᾳ ἀφθόνῳ ἕως ἂν ἐνταῦθα ῥωσθεὶς καὶ αὐξηθεὶς κατίδῃ τινὰ ἐπιστήμην μίαν τοιαύτην, ἥ ἐστι καλοῦ τοιοῦδε. πειρῶ δέ μοι, ἔφη, τὸν νοῦν
e. προσέχειν ὡς οἷόντε μάλιστα. ὃς γὰρ ἂν μέχρις ἐνταῦθα

ut, si quis animi ingenui sit, quamvis forma corporis aliis quibusdam cedat, sufficere tamen arbitretur, & amet, curetque, & rationes huiusmodi pariat, quaeratque sermones omnes, qui reddere meliores adolescentes possint: ut hinc ad pulchritudinem, quae in officiis ac legibus reperitur, inspiciendam ducatur, intelligatque, illam omnem sibi ipsi uniformem cognatamque exsistere, ut eam, quae circa corpus est, pulchritudinem parvi faciat. Post officia legesque, ad scientias transeat, ut scientiarum pulchritudinem contempletur: dumque id, quod ampla exuberat pulchritudine, contuetur, haud amplius, tanquam mancipium, unius puelli speciem admiretur, neque unius hominis vel officii pulchritudine sit contentus: nam quisquis in hoc delinquit, exilis & abiectus est servus: verum in profundum pulchritudinis se pelagus mergat, ubi ipso intuitu multas praeclaras atque magnificas rationes intelligentiasque in philosophia abunde pariat, donec ibi confirmatus & roboratus, scientiam iam unam talem intueatur, quae pulchri talis exsistit. Aciem vero mihi

πρὸς τὰ ἐρωτικὰ παιδαγωγηθῇ, θεώμενος ἐφεξῆς τε καὶ ὀρθῶς τὰ καλὰ, πρὸς τέλος ἤδη ἰὼν τῶν ἐρωτικῶν, ἐξαίφνης κατόψεται τι θαυμαστὸν τὴν φύσιν καλόν· τοῦτο ἐκεῖνο, ὦ Σώκρατες, οὗ δὴ ἕνεκα καὶ οἱ ἔμπροσθεν πάντες πόνοι ἦσαν· πρῶτον μὲν, ἀεὶ ὂν, καὶ οὔτε γιγνόμενον οὔτε ἀπολλύμενον, οὔτε αὐξανόμενόν οὔτε φθῖνον· ἔπειτα, οὐ τῇ μὲν καλὸν, τῇ δ' αἰσχρόν· οὐδὲ τοτὲ μὲν, τοτὲ δ' οὔ· οὐδὲ πρὸς μὲν τὸ, καλὸν, πρὸς δὲ τὸ, αἰσχρόν· οὐδ' ἔνθα μὲν, καλὸν, ἔνθα δὲ, αἰσχρόν· ὡς τισὶ μὲν ὂν καλὸν, τισὶ δὲ αἰσχρόν. οὐδ' αὖ φαντασθήσεται αὐτὸ τὸ καλὸν, οἷον πρόσωπόν τι, οὐδὲ χεῖρες, οὐδὲ ἄλλο οὐδὲν, ὧν σῶμα μετέχει· οὐδέ τις λόγος, οὐδέ τις ἐπιστήμη. οὐδέ που ὂν ἐν ἑτέρῳ τινὶ, οἷον ἐν ζώῳ, ἢ ἐν γῇ, ἢ ἐν οὐρανῷ, ἢ ἐν τῳ ἄλλῳ· ἀλλὰ αὐτὸ καθ' αὑτὸ μεθ' αὑτοῦ μονοειδὲς ἀεὶ ὄν. τὰ δὲ ἄλλα πάντα καλὰ, ἐκείνου μετέχοντα τρόπον τινὰ τοιοῦτον, οἷον, γιγνομένων τε τῶν ἄλλων καὶ ἀπολλυμένων, μηδὲν ἐκείνῳ μήτέ τι πλέον μήτε p. 211 a. b.

nunc mentis pro viribus adhibe. Quicunque hucusque per amatoria gradatim deducitur, recto ordine pulchra intuitus, ad finem iam amatorii affectus perveniens, subito quandam natura mirabilem inspiciet pulchritudinem. Hoc illud est, cuius gratia labores omnes praecedentes subivimus. principio quidem semper est, nec fit, nec interit; neque crescit unquam, neque decrescit: praeterea non hac ex parte pulchrum, ex illa turpe; vel tum pulchrum, tum minime: neque ad hoc quidem pulchrum, turpe vero ad illud: vel hic pulchrum, ibi turpe, ut quibusdam pulchrum sit, quibusdam vero nequaquam. Neque rursus imaginatione quadam ipsum pulchrum ita fingetur, quasi vultus pulcher, vel pulchrae manus, aut aliud quiddam, cuius corpus est particeps: neque ut oratio quaedam, neque ut scientia quaedam. Neque in alio iacere putabitur, velut in animali, vel terra, vel coelo, aut alio quopiam; sed id ipsum per se ipsum cum semetipso uniforme semper exsistens: cetera vero omnia, quae pulchra sunt, illius participatione pulchra, ea scilicet conditione, ut, nascentibus

ἔλαττον γίγνεσθαι, μηδὲ πάσχειν μηδέν. ὅταν δὲ δή τις ἀπὸ τώνδε, οἷα νέος ὀρθῶς παιδεραστεῖν, ἐπανιὼν, ἐκεῖνο τὸ καλὸν ἄρχηται καθορᾶν, σχεδὸν ἄν τι ἅπτοιτο τοῦ τέλους. τοῦτο γὰρ δή ἐστι τὸ ὀρθῶς ἐπὶ τὰ ἐρωτικὰ ἰέναι, ἢ ὑπ' ἄλλου ἄγεσθαι, ἀρχόμενον ἀπὸ τῶνδε τῶν καλῶν ἐκείνου ἕνεκα τοῦ
c. καλοῦ, ἀεὶ ἐπανιέναι· ὥσπερ ἐπαναβαθμοῖς χρώμενον ἀπὸ ἑνὸς ἐπὶ δύο, καὶ ἀπὸ δυεῖν ἐπὶ παντα τὰ καλὰ σωματα, καὶ ἀπὸ τῶν καλῶν σωμάτων ἐπὶ τὰ καλὰ ἐπιτηδεύματα, καὶ ἀπὸ τῶν καλῶν ἐπιτηδευμάτων ἐπὶ τὰ καλὰ μαθήματα· ἕως ἂν ἀπὸ τῶν μαθημάτων ἐπ' ἐκεῖνο τὸ μάθημα τελευτήσῃ, ὅ ἐστιν οὐκ ἄλλου ἢ αὐτοῦ ἐκείνου τοῦ καλοῦ μάθημα, καὶ γνῷ αὐτὸ τελευτῶν ὅ ἐστι καλόν. ἐνταῦθα τοῦ βίου, ὦ
d. φίλε Σώκρατες, ἔφη ἡ Μαντινικὴ ξένη, εἴπερ που ἄλλοθι, βιωτὸν ἀνθρώπῳ, θεωμένῳ αὐτὸ τὸ καλόν. ὃ ἐάν ποτε ἴδῃς, οὐ κατὰ χρυσίον τε καὶ ἐσθῆτα, καὶ τοὺς καλοὺς παῖδάς τε καὶ νεανίσκους δόξει σοὶ εἶναι· οὓς νῦν ὁρῶν ἐκπέπληξαι, καὶ

& intereuntibus aliis, nihil ſubtrahatur illi, aut addatur, neque paſſionem ullam incurrat. Quando vero ab his aliquis recte pueros amando aſcendens, illud ipſum pulchrum contueri incipit, ferme iam finem attingit. hoc eſt profecto ad amatoria recte pergere, vel ab alio duci, quando videlicet quis ab his pulchris, gratia pulchri illius, aſcendere incipit, quaſi quibuſdam gradibus utens, atque ab uno primum in duo tranſiens, & a duobus in omnia, quae pulchra ſunt, corpora; ab his in omnia officia pulchra, a pulchris officiis ad doctrinas pulchras converſus, a doctrinis denique multis in illam doctrinam perveniens, quae non alterius eſt, quam illius ipſius pulchri, doctrina: atque ita demum, quid ipſum pulchrum ſit, contemplatur. In hoc utique vitae ſtatu, o amice Socrates, inquit hoſpes illa vates, ſi uſquam alibi, homini videlicet ipſum pulchrum ſpectanti vivendum. quod ſi quando videris, ſupra quam dici poſſit pretioſius auro, ornatiſque veſtibus, & pulchris pueris adoleſcentibuſque cenſebis. Quos nunc & tu, & alii multi, dum ſpectatis, nimium obſtupeſci-

ἕτοιμος εἶ καὶ σὺ, καὶ ἄλλοι πολλοὶ ὁρῶντες τὰ παιδικὰ, καὶ ξυνόντες ἀεὶ αὐτοῖς, εἴπως οἷόντ' ἦν, μήτε ἐσθίειν, μήτε πίνειν, ἀλλὰ θεᾶσθαι μόνον καὶ ξυνεῖναι. τί δῆτα, ἔφη, οἰόμεθα, εἴτῳ γένοιτο αὐτὸ τὸ καλὸν ἰδεῖν εἰλικρινὲς, καθα- c.
ρὸν, ἄμικτον, ἀλλὰ μὴ ἀνάπλεων σαρκῶν τε ἀνθρωπίνων καὶ χρωμάτων, καὶ ἄλλης πολλῆς φλυαρίας θνητῆς, ἀλλ' αὐτὸ τὸ θεῖον, καλὸν δύναιτο μονοειδὲς κατιδεῖν; ἆρ' οἴει, ἔφη, Φαῦλον βίον γίγνεσθαι ἐκεῖσε βλέποντος ἀνθρώπου, p.
καὶ ἐκεῖνο ὃ δεῖ θεωμένου, καὶ ξυνόντος αὐτῷ; ἢ οὐκ ἐνθυμῇ, a.
ἔφη, ὅτι ἐνταῦθα αὐτῷ μοναχοῦ γενήσεται, ὁρῶντι ᾧ ὁρατὸν τὸ καλὸν, τίκτειν οὐκ εἰδώλα ἀρετῆς, ἅτε οὐκ εἰδώλου ἐφαπτομένῳ, ἀλλ' ἀληθῆ, ἅτε τοῦ ἀληθοῦς ἐφαπτομένῳ; τεκόντι δὲ ἀρετὴν ἀληθῆ, καὶ θρεψαμένῳ, ὑπάρχει θεοφιλεῖ γενέσθαι, καὶ, εἴπέρ τῳ ἄλλῳ ἀνθρώπῳ, ἀθανάτῳ καὶ ἐκείνῳ. Ταῦτα δὴ, ὦ Φαῖδρέ τε καὶ οἱ ἄλλοι, ἔφη μὲν Διοτί- b.
μα, πέπεισμαι δ' ἐγὼ· πεπεισμένος δὲ πειρῶμαι καὶ τοὺς ἄλλους πείθειν, ὅτι τούτου τοῦ κτήματος τῇ ἀνθρωπείᾳ φύσει

tis, &, si fieri posset, eligeretis inter illos semper, cibo potuque neglecto, versari. Quam felix illud spectaculum fore putamus, sicuti contigerit, ut ipsum pulchrum intueatur, sincerum, integrum, purum, simplex, non humanis carnibus, coloribus, non aliis mortalibus nugis contaminatum: sed ipsum secundum se pulchrum divinum inspiciat. Num vitam huiusmodi parvi facias? hominis videlicet ipsius, qui illuc suspicit, qui tam praeclarum spectaculum contuetur, qui illi cohaeret. nonne cogitas, quod sibi solum cernens ille eo oculo pulchrum, quo percipi potest, non imagines virtutis ulterius, sed virtutes ipsas pariet? quippe cum non simulacrum, sed rem ipsam attingat. cumque virtutem veram pariat, atque alat, Deo amicus efficietur, &, si quis alius hominum, is maxime immortalis exsistet. Haec, o Phaedre, aliique convivae, Diotima narrabat. cui fidem adhibeo, atque aliis persuadere studeo, hominum naturam haud facile posse ad beatae immortalitatis possessionem quidquam legitimo amore conducibilius

συνεργὸν ἀμείνω Ἔρωτος οὐκ ἄν τις ῥᾳδίως λάβοι. διὸ δὴ ἔγωγε φημὶ χρῆναι πάντα ἄνδρα τὸν Ἔρωτα τιμᾶν· καὶ αὐτὸς τιμῶ τὰ ἐρωτικὰ, καὶ διαφερόντως ἀσκῶ, καὶ τοῖς ἄλλοις παρακελεύομαι, καὶ νῦν τε καὶ ἀεὶ ἐγκωμιάζω τὴν δύναμιν καὶ ἀνδρίαν τοῦ Ἔρωτος καθ' ὅσον οἷόσ τ' εἰμί. τοῦτον
c. οὖν τὸν λόγον, ὦ Φαῖδρε, εἰ μὲν βούλει, ὡς ἐγκώμιον εἰς Ἔρωτα νόμισον εἰρῆσθαι· εἰ δὲ, ὅ, τι καὶ ὅπη χαίρεις ὀνομάζων, τοῦτο ὀνόμαζε. Εἰπόντος δὲ ταῦτα τοῦ Σωκράτους, τοὺς μὲν, ἐπαινεῖν, τὸν δὲ Ἀριστοφάνην λέγειν τι ἐπιχειρεῖν, ὅτι ἐμνήσθη αὐτοῦ λέγων ὁ Σωκράτης περὶ τοῦ λόγου· καὶ ἐξαίφνης τὴν αὐλειον θύραν κροτουμένην πολὺν ψόφον παρασχεῖν, ὡς κωμαστῶν καὶ αὐλητρίδος φωνὴν ἀκούειν. τὸν
d. οὖν Ἀγάθωνα, Παῖδες, φάναι, οὐ σκέψεσθε; καὶ ἐὰν μέν τις τῶν ἐπιτηδείων ᾖ, καλεῖτε· εἰ δὲ μὴ, λέγετε ὅτι οὐ πίνομεν, ἀλλὰ ἀναπαυόμεθα ἤδη. Καὶ οὐ πολὺ ὕστερον Ἀλκιβιάδου τὴν φωνὴν ἀκούειν ἐν τῇ αὐλῇ σφόδρα μεθύοντος, καὶ μέγα βοῶντος· καὶ ἐρωτῶντος ὅπου Ἀγάθων, καὶ κελεύον-

invenire. Quamobrem honorandum Amorem ab omnibus hominibus cenſeo. equidem amatoria colo, meque ſummopere in his exerceo, alioſque exhortor: & nunc quidem ac ſemper pro ingenii facultate Amoris vim & fortitudinem laudo. Hunc, o Phaedre, ſermonem, ſi vis, quaſi laudationem quandam Amoris exiſtima: ſin autem aliter appellare placet, appella. Cum haec Socrates dixiſſet, reliqui omnes probarunt: Ariſtophanes autem dicere quidpiam conabatur, quia Socrates, cum diceret, mentionem ipſius quodam loco fecerat. Sed repente veſtibuli oſtium percuſſum ſonitum dedit, & clamor debacchantium iuvenum tibicinaeque auditus. Tum Agathonem, Videte, dicere, miniſtri, quinam homines adventarint, & ſi quis familiaris noſter interſit, ad nos arceſſite: ſi nullus, nos haud amplius bibere, ſed iam quieſcere, nuntiate. At paulo poſt vocem Alcibiadis audierunt, ebrietate inſultantis, altiuſque in veſtibulo clamantis, & percontantis, ubi eſſet Agatho, iubentiſque ſe ad Agathonem deduci. Eum igitur tibi-

τος ἄγειν παρ' Ἀγάθωνα. ἄγειν οὖν αὐτὸν παρὰ σφᾶς τήν τε αὐλητρίδα ὑπολαβοῦσαν, καὶ ἄλλους τινὰς τῶν ἀκολούθων, καὶ ἐπιςῆναι ἐπὶ τὰς θύρας ἐςεφανωμένον αὐτὸν κιττοῦ τινι ςεφάνῳ δασεῖ καὶ ἴων, καὶ ταινίας ἔχοντα ἐπὶ τῆς κε- e.
φαλῆς πάνυ πολλάς· καὶ εἰπεῖν, Ἄνδρες χαίρετε. μεθύοντα ἄνδρα πάνυ σφόδρα δέξασθε συμπότην. ἢ ἀπίωμεν ἀναδήσαντες μόνον Ἀγάθωνα, ἐφ' ὅπερ ἤλθομεν. ἐγὼ γάρτοι, φάναι, χθὲς μὲν οὐχ οἷός τ' ἐγενόμην ἀφικέσθαι· νῦν δὲ ἥκω ἐπὶ τῇ κεφαλῇ ἔχων τὰς ταινίας, ἵνα ἀπὸ τῆς ἐμῆς κεφαλῆς τὴν τοῦ σοφωτάτου καὶ καλλίςου κεφαλὴν, ἐὰν εἴπω οὕτωσὶ, ἀναδήσω, ἆρα καταγελάσεσθέ μου ὡς μεθύοντος; ἐγὼ δὲ, κἂν ὑμεῖς γελᾶτε, ὅμως εὖ οἶδ' ὅτι ἀληθῆ λέγω. p. 213
ἀλλά μοι λέγετε αὐτόθεν, ἐπὶ ῥητοῖς εἰσίω, ἢ μή· συμπίεσθε, a.
ἢ οὔ. Πάντας οὖν ἀναθορυβῆσαι, καὶ κελεύειν εἰσιέναι καὶ κατακλίνεσθαι· καὶ τὸν Ἀγάθωνα καλεῖν αὐτόν. καὶ τὸν ἰέναι, ἀγόμενον ὑπὸ τῶν ἀνθρώπων· καὶ περιαιρούμενον ἅμα τὰς ταινίας ὡς ἀναδήσοντα, ἐπιπροσθεν τῶν ὀφθαλμῶν ἔχοντα, οὐ κατιδεῖν τὸν Σωκράτη, ἀλλὰ καθίζεσθαι παρὰ τὸν Ἀγάθωνα, ἐν μέσῳ Σωκράτους τε καὶ ἐκείνου· παραχωρῆ-

cina aliique contubernales ducebant, & ad fores veſtibuli ſiſtebant, corona quadam ex hedera violiſque conſerta redimitum, vittiſque multis caput circumdatum, clamantemque, Salvere vos iubeo, viri: ebrium valde hominem compotatorem ſuſcipite: vel abeamus, Agathonem ſolum coronantes, cuius rei gratia venimus. heri equidem intereſſe nequivi: hodie veni vittas ferens, ut a meo capite ſapientiſſimi pulcherrimique caput, ſi ita dicam, revincirem. an me velut ebrium deridebitis? ego vero, rideatis licet, vera tamen loqui me ſcio. reſpondete clare, numquid ad haec ingredi permittatis: compotetis, an non. Hic acclamaſſe omnes, iuſſiſſeque ingredi, atque accumbere. arceſſivit & Agatho. contubernales igitur adducebant. Ille vittas tollens, & Agathonis caput circumdaturus, Socratem, licet in conſpectu eſſet, non vidit. prope Agathonem igitur aſſedit, inter hunc & Socratem

b. σαι γὰρ τὸν Σωκράτη, ὡς ἐκεῖνον καθίζειν. παρακαθεζόμενον δὲ αὐτὸν, ἀσπάζεσθαί τε τὸν Ἀγάθωνα, καὶ ἀναδεῖν. εἰπεῖν οὖν τὸν Ἀγάθωνα, Ὑπολύετε, παῖδες, Ἀλκιβιάδην, ἵνα ἐκ τρίτων κατακέηται. Πάνυ γε, εἰπεῖν τὸν Ἀλκιβιάδην· ἀλλὰ τίς ἡμῖν τρίτος ὅδε συμπότης; Καὶ ἅμα μεταστρεφόμενον αὐτὸν, ὁρᾶν τὸν Σωκράτη· ἰδόντα δὲ, ἀναπηδῆσαι, καὶ εἰπεῖν, Ὦ Ἡράκλεις, τουτὶ τί ἦν; Σωκράτης οὗτος ἐλ-
e. λοχῶν αὖ με ἐνταῦθα κατέκεισο, ὥσπερ εἰώθεις ἐξαίφνης ἀναφαίνεσθαι ὅπου ἐγὼ ᾤμην ἥκιστά σε ἔσεσθαι. καὶ νῦν τί ἥκεις; καὶ τί αὖ ἐνταῦθα κατεκλίνης; ὡς οὐ παρὰ Ἀριστοφάνει, οὔτε εἴτις ἄλλος γελοῖος ἐστί τε καὶ βούλεται· ἀλλὰ διεμηχανήσω ὅπως παρὰ τῷ καλλίστῳ τῶν ἔνδον κατακείσῃ. Καὶ τὸν Σωκράτη, Ἀγάθων, φάναι, ὅρα εἴ μοι ἐπαμύνεις· ὡς ἐμοὶ ὁ τούτου ἔρως τοῦ ἀνθρώπου οὐ σαῦλον πρᾶγμα γέγονεν. ἀπ' ἐκείνου γὰρ τοῦ χρόνου ἀφ' οὗ τούτου ἠράσθην,
d. οὐκέτι ἔξεστί μοι οὔτε προσβλέψαι, οὔτε διαλεχθῆναι καλῷ οὐδενί. ἢ οὗτοσὶ ζηλοτυπῶν με καὶ φθονῶν, θαυμάσια ἐργά-

medius. ei namque Socrates cesserat. Cum sedisset, Agathoni congratulatus est, coronavitque. Agatho, Solvite calceos Alcibiadi, inquit, o pueri, ut sic velut tertius accumbat. Prorsus, dixisse Alcibiadem, &, quis tertius conviva esset, interrogasse: conversumque Socratem vidisse, cumque resiliisset, Proh Hercules, dixisse, quid hoc est? hic etiam insidiatus mihi, o Socrates, consedisti? sic semper soles, ubi minime omnium exspectarem, protinus mihi occurrere. & nunc cur huc venisti? cur hic potius, quam apud Aristophanem, sedes: aut si quis alius ridiculus hic est, viderique vult? sed callide excogitasti, qui iuxta convivarum pulcherrimum hic sederes. Socratem autem ad Agathonem conversum, Vide, dicere, Agatho, si quo pacto mihi succurrere potes. amor quippe huius hominis haud leve quiddam mihi exstitit. ex eo namque tempore, quo hunc amare coepi, nunquam mihi licet aut aspicere pulchrum aliquem, aut alloqui, quin iste zelotypus, id est, amatoria suspicione captus, & invidens, mira quae-

ζεται, καὶ λοιδορεῖταί τε καὶ τῷ χεῖρε μόγις ἀπέχεται. ὅρα οὖν μή τι καὶ νῦν ἐργάσηται· ἀλλὰ διάλλαξον ἡμᾶς, ἢ, ἐὰν ἐπιχειρῇ βιάζεσθαι, ἐπάμυνε· ὡς ἐγὼ τὴν τούτου μανίαν τε καὶ φιλεραστίαν πάνυ δέδοικα. Ἀλλ' οὐκ ἔστι, φάναι τὸν Ἀλκιβιάδην, ἐμοὶ καὶ σοὶ διαλλαγή. ἀλλὰ τούτων μὲν εἰσαῦθις σὲ τιμωρήσομαι· νῦν δέ μοι Ἀγάθων, φάναι, μετάδος τῶν ταινιῶν, ἵνα ἀναδήσω καὶ τὴν τούτου ταυτηνὶ τὴν θαυμα- c.
σίην κεφαλήν· καὶ μή μοι μέμφηται ὅτι σὲ μὲν ἀνέδησα, αὐτὸν δὲ, νικῶντα ἐν λόγοις πάντας ἀνθρώπους, οὐ μόνον πρώην, ὥσπερ σύ, ἀλλ' ἀεί, ἔπειτα οὐκ ἀνέδησα. Καὶ ἅμα αὐτὸν λαβόντα τῶν ταινιῶν, ἀναδεῖν τὸν Σωκράτη, καὶ κατακλίνεσθαι. ἐπειδὴ δὲ κατεκλίνη, εἰπεῖν, Εἶεν δή, ἄνδρες. δοκεῖτε γάρ μοι νήφειν. οὐκ ἐπιτρεπτέον οὖν ὑμῖν, ἀλλὰ ποτέον· ὡμολόγηται γὰρ ταῦθ' ἡμῖν. ἄρχοντα οὖν ὑμῖν αἱροῦμαι τῆς πόσεως, ἕως ἂν ὑμεῖς ἱκανῶς πίητε, ἐμαυτόν. ἀλλὰ φερέτω Ἀγάθων, εἴτι ἔστιν ἐκπωμα μέγα. μᾶλλον δὲ οὐδὲν δεῖ· ἀλλὰ φέρε, παῖ, φάναι, τὸν ψυκτῆρα ἐκεῖνον· ἰδόντα αὐτὸν πλέον ἢ ὀκτὼ κοτύλας χωροῦντα. τοῦτον ἐμπλη- p. 214 a.

dam tentet, convicieturque: immo vix ſe continet, quin manus inferat. Vide igitur, ne in praeſentia tale quid agat, ſed nos concilia: vel, ſi vim inferre conetur, opitulare. nam huius furor & amatorius impetus me maxime terret. Ad haec Alcibiades, Inter me ac te conciliatio nulla cadit: ſed horum cauſa alias te ulciſcar. nunc autem, Agatho, mihi aliquas ex his vittis impartias, ut & huius mirabile hoc caput exornem, ne mihi ſuccenſeat, quod te coronaverim: non ipſum, qui omnes homines ſermonibus ſuperat, non nuper tantum, ut tu, ſed ſemper. Acceptis itaque vittis, coronavit Socratem, ac ſedit. ſedens autem inquit, Agedum homines: nimium mihi ſobrii videmini, neque permittendum vobis id cenſeo. bibendum eſt enim. nam inter nos id convenit. Ergo bibendi principem, donec ſatis biberitis, me vobis propono. Ferri iube, Agatho, ſi quod adeſt amplum poculum. ſed nihil opus eſt: immo feras huc, puer, vas illud, quod plures quam octo

σάμενον, πρῶτον μὲν αὐτὸν ἐκπιεῖν, ἔπειτα τῷ Σωκράτει κελεύειν ἐγχεῖν· καὶ ἅμα εἰπεῖν, Πρὸς μὲν Σωκράτη, ὦ ἄνδρες, τὸ σόφισμα μοὶ οὐδέν. ὁπόσον γὰρ ἂν κελεύσῃ τις, τοσοῦτον ἐκπιὼν, οὐδὲν μᾶλλον μή ποτε μεθυσθῇ. τὸν μὲν οὖν Σωκράτη ἐγχέαντος τοῦ παιδὸς πίνειν· τὸν δ' Ἐρυξίμαχον, Πῶς οὖν, φάναι, ὦ Ἀλκιβιάδη, ποιοῦμεν; οὕτως οὔτε
b. τι λέγομεν ἐπὶ τῇ κύλικι, οὔτε τι ᾄδομεν; ἀλλ' ἀτεχνῶς, ὥσπερ οἱ διψῶντες, πιόμεθα; Τὸν οὖν Ἀλκιβιάδην εἰπεῖν, Ὦ Ἐρυξίμαχε, βέλτιστε βελτίστου πατρὸς καὶ σωφρονεστάτου, χαῖρε. Καὶ γὰρ σὺ, Φάναι τὸν Ἐρυξίμαχον· ἀλλὰ τί ποιῶμεν; Ὅ, τι ἂν σὺ κελεύῃς. δεῖ γάρ σοι πείθεσθαι. Ἰατρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων. Ἐπίταττε οὖν ὅ, τι βούλει. Ἄκουσον δὴ, εἰπεῖν. τὸν Ἐρυξίμαχον· ἡμῖν, πρίν σε εἰσελθεῖν, ἔδοξε χρῆναι ἐπιδέξια ἕκαστον ἐν μέρει λόγον περὶ
c. Ἔρωτος εἰπεῖν ὡς δύναιτο κάλλιστον, καὶ ἐγκωμιάσαι. οἱ μὲν οὖν ἄλλοι πάντες ἡμεῖς εἰρήκαμεν· σὺ δ' ἐπειδὴ οὐκ εἴρηκας, καὶ ἐμπέπωκας, δίκαιος εἶ εἰπεῖν· εἰπὼν δ' ἐπιτάξαι Σωκρά-

pateras capere videtur. Cum vas impleviſſet, prior ipſe bibit: Socrati deinde infundi iuſſit, & inquit, Adverſus Socratem, o convivae, dolo hoc nihil promoveo. quantumcunque enim quis iuſſerit, ebibet, nec ebrium unquam videbitis. Socrates, cum infudiſſet puer, bibit. Tum Eryximachus, Quid agimus, Alcibiades? ita nec loquimur quidquam ſuper calicem, neque canimus, ſed quaſi ſcientes ingurgitamus? Ad quem Alcibiades: Salve, optime Eryximache, optimo & prudentiſſimo patre nate. Et tu ſalve, Eryximachus ſubiunxit. verum quid nobis agendum? Quod, inquit Alcibiades, tu praeceperis. tibi quidem parendum eſt. *Vir medicus multis aliis aequabitur unus.* Impera ergo, quodcunque lubet. Audi iam, inquit Eryximachus: Antequam ingredereris, viſum fuit, ab unoquoque praeſentium, facto in dexteram circuitu, deinceps Amorem pro ingenii facultate laudandum. Nos quidem ſinguli diximus: tu quoque, cum non dixeris, biberis autem, iure dicere debes: &, cum dixeris, tum demum Socrati, quid-

τει ὅ, τι ἂν βούλῃ· καὶ τοῦτον, τῷ ἐπὶ δεξιᾷ, καὶ οὕτω τοὺς ἄλλους. Ἀλλὰ, φάναι, ὦ Ἐρυξιμαχε, τὸν Ἀλκιβιάδην, καλῶς μὲν λέγεις· μεθύοντα δὲ ἀνδρα παρὰ νηφόντων λόγους παραβάλλειν, μὴ οὐκ ἐξ ἴσου ᾖ. καὶ ἅμα, ὦ μακάριε, πείθει τί σὲ Σωκράτης, ὧν ἄρτι εἶπεν; ἢ οἶσθα ὅτι τοὐναντίον ἐξὶ d. πᾶν ἢ ὃ ἔλεγεν; οὗτος γὰρ, ἐάν τινα ἐγὼ ἐπαινέσω τούτου παρόντος ἢ θεὸν, ἢ ἄνθρωπον ἄλλον ἢ τοῦτον, οὐκ ἀφέξεταί μου τὼ χεῖρε. Οὐκ εὐφημήσεις; φάναι τὸν Σωκράτη. Μὰ τὸν Ποσειδῶ, εἰπεῖν τὸν Ἀλκιβιάδην, μηδὲν λέγε πρὸς ταῦτα· ὡς ἐγὼ οὐδ' ἂν ἕνα ἄλλον ἐπαινέσαιμι σοῦ παρόντος. Ἀλλ' οὕτω ποιει, φάναι τὸν Ἐρυξιμαχον, εἰ βούλει, Σωκράτη ἐπαίνεσον. Πῶς λέγεις, εἰπεῖν τὸν Ἀλκιβιάδην; δοκεῖ χρῆναι, ὦ Ἐρυξιμαχε, ἐπιθῶμαι τῷ ἀνδρὶ, καὶ τιμωρήσω- e. μαι ὑμῶν ἐναντίον; Οὗτος, φάναι τὸν Σωκράτη, τί ἐν νῷ ἔχεις; ἐπὶ τὰ γελοιότερα μὲ ἐπαινέσεις; ἢ τί ποιήσεις; Τἀληθῆ ἐρῶ. ἀλλ' ὅρα εἰ παρίης. Ἀλλὰ μέντοι, φάναι, τά γε ἀληθῆ παρίημι καὶ κελεύω λέγειν. Οὐκ ἂν φθάνοιμι, εἰπεῖν

quid volueris, imperabis: Socrates quoque illi, qui ad dexteram ſuccedit, ſimiliter, ceterique deinceps. Praeclare loqueris, inquit, Eryximache. ſed non aequa ratio videri debet, ut ebrius cum ſobriorum oratione verba ſua conferat. ſed, o beate vir, perſuaſitne tibi Socrates quidquam his, quae paulo ante narravit? vel ſcis, contra eſſe omnino? Hic enim, ſi eo praeſente quemquam laudavero, vel Deum, vel hominem alium, quam hunc ipſum, manus non continebit. Bona verba quaeſo, dixiſſe Socratem. Nihil ad haec dicas, reſpondiſſe Alcibiadem: per Neptunum enim neminem alium, te praeſente, laudarim. Sic agendum, inquit Eryximachus, videtur, &, ſi vis, Socratem lauda. Quid ais? inquit Alcibiades. oportere videtur, Eryximache, hunc virum aggrediar, & coram vobis ulciſcar? Quid cogitas? dixiſſe Socratem. de ridiculis quibuſdam me laudabis? aut quid ages? Vera loquar, inquit Alcibiades. permittiſne? Vera quidem, dixiſſe Socratem, loqui permitto, ac etiam iubeo. Parebo, inquit Alcibiades, quam

τὸν Ἀλκιβιάδην. καὶ μέντοι οὕτωσι ποίησον. ἐάν τι μὴ ἀληθὲς λέγω, μεταξὺ ἐπιλαβοῦ, ἂν βούλῃ, καὶ εἰπὲ ὅτι τοῦτο
p. ψεύδομαι. ἑκὼν γὰρ εἶναι οὐδὲν ψεύσομαι. ἐὰν μέντοι ἀναμι-
215 μνησκόμενος ἄλλο ἄλλοθεν λέγω, μηδὲν θαυμάσῃς. οὐ γάρ
a. τι ῥᾴδιον τὴν σὴν ἀτοπίαν ὧδ' ἔχοντι, εὐπόρως καὶ ἐφεξῆς καταριθμῆσαι. Σωκράτη δ' ἐγὼ ἐπαινεῖν, ὦ ἄνδρες, οὕτως ἐπιχειρήσω δι' εἰκόνων. οὗτος μὲν οὖν ἴσως οἰήσεται ἐπὶ τὰ γελοιότερα· ἕξαι δ' ἡ εἰκὼν τοῦ ἀληθοῦς ἕνεκα, οὐ τοῦ γελοίου. φημὶ γὰρ δὴ ὁμοιότατον αὐτὸν εἶναι τοῖς Σειληνοῖς τούτοις τοῖς ἐν τοῖς ἑρμογλυφείοις καθημένοις· οὕστινας ἐρ-
b. γάζονται οἱ δημιουργοὶ σύριγγας ἢ αὐλοὺς ἔχοντας· οἱ διχάδε διοιχθέντες φαίνονται ἔνδοθεν ἀγάλματα ἔχοντες θεῶν. καὶ φημὶ αὖ ἐοικέναι αὐτὸν τῷ σατύρῳ τῷ Μαρσύᾳ. ὅτι μὲν οὖν τόγε εἶδος ὅμοιος εἶ τούτοις, ὦ Σώκρατες, οὐδ' αὐτὸς δήπου ἀμφισβητήσαις· ὡς δὲ καὶ τἆλλα ἔοικας, μετὰ τοῦτο ἄκουε. Ὑβριστὴς εἶ, ἢ οὔ; ἐὰν γὰρ μὴ ὁμολογῇς, μάρτυρας παρέξομαι. ἀλλ' οὐκ αὐλητὴς πολύ γε θαυμασιώτερος ἐκεί-

libentiſſime, modo id aſſequi poſſim. verum tu obſerva, &, ſi quid minus verum refero, interpella, ut lubet, mendaciumque redargue. nunquam enim ſponte mentiar. Neque mireris, ſi aliud aliunde, utcunque redit in memoriam, revoco. nam haud facile eſt homini ſic affecto, miros tuos mores facunde certoque ordine numerare. Socratem, o viri convivae, per imagines laudare conabor. Iſte igitur forte ſuſpicabitur, ne ad ridicula ſermonem convertam. ſumetur autem imago, véri, non ridiculi, gratia. Socratem aſſero perſimilem Silenis iſtis, qui ſedentes inter alias imagines a ſculptoribus figurantur, ita ut fiſtulas tibiaſve teneant: qui ſi bifariam dividantur, reperiuntur intus imaginem habere Deorum. Satyro quoque Marſyae ſimilem eſſe dico. Et quod aſpectu quidem his es perſimilis, ne tu quidem, o Socrates, negabis. quod vero in aliis quoque ſimilitudinem eorum habes, deinceps iam audi. Procax & contumelioſus es. an non? ſi non fateris, equidem teſtes adducam. An non tibicen? & tibicen quidem

νευ; ὁ μέν γε δι' ὀργάνων ἐκήλει τοὺς ἀνθρώπους, τῇ ἀπὸ c.
τοῦ στόματος δυνάμει, καὶ ἔτι νυνὶ ὃς ἂν τὰ ἐκείνου αὐλῇ. ἃ
γὰρ Ὄλυμπος ηὔλει, Μαρσύου λέγω τούτου διδάξαντος. τὰ
οὖν ἐκείνου ἐάν τε ἀγαθὸς αὐλητὴς αὐλῇ, ἐάν τε φαῦλη αὐ-
λητρὶς, μόνα κατέχεσθαι ποιεῖ, καὶ δηλοῖ τοὺς τῶν θεῶν τε
καὶ τελετῶν δεομένους, διὰ τὸ θεῖα εἶναι. σὺ δ' ἐκείνου τοσοῦ-
τον μόνον διαφέρεις, ὅτι ἄνευ ὀργάνων ψιλοῖς λόγοις ταυτὸν
τοῦτο ποιεῖς. ἡμεῖς γοῦν, ὅταν μέν του ἄλλου ἀκούωμεν λέ- d.
γοντος καὶ πάνυ ἀγαθοῦ ῥήτορος ἄλλους λόγους, οὐδὲν μέ-
λει, ὡς ἔπος εἰπεῖν, οὐδενί· ἐπειδὰν δέ σου τις ἀκούῃ, ἢ τῶν
σῶν λόγων, ἄλλου λέγοντος, κἂν πάνυ φαῦλος ᾖ ὁ λέγων,
ἐάν τε γυνὴ ἀκούῃ, ἐάν τε ἀνήρ, ἐάν τε μειράκιον, ἐκπεπλη-
γμένοι ἐσμὲν καὶ κατεχόμεθα. ἔγωγ' οὖν, ὦ ἄνδρες, εἰ μὴ
ἔμελλον κομιδῇ δόξειν μεθύειν, εἶπον ὀμόσας ἂν ὑμῖν οἷα δὴ
πέπονθα αὐτὸς ὑπὸ τῶν τούτου λόγων, καὶ πάσχω ἔτι καὶ
νῦν. ὅταν γὰρ ἀκούω, πολύ μοι μᾶλλον ἢ τῶν κορυβαντιών- e.

Marſya longe praeſtantior? ille enim inſtrumentis quibuſdam homines demulcebat oris potentia: & nunc etiam, ſi quis modulatione illius utitur. nam illa, quae Olympus modulatus eſt, Marſyam, qui docuit, modulatum dico. Eius igitur harmonia ſeu vir quis bene, ſeu femina male utatur, ſola animos attrahit, &, quia divina eſt, oſtendit, quinam Diis myſteriiſque indigeant. Tu autem in hoc dumtaxat differs ab illo, quod ſine ullo inſtrumento nudis quidem verbis hoc idem efficias. Nos certe, quoties alium audivimus alterius verba referentem, etſi nimium boni oratoris, tamen nullius, ut ita dixerim, illa facimus. at cum te quis audit, aut tua verba, quovis alio referente, quamvis ineptus ille ſit, qui refert, & ſive vir, ſeu femina, ſive adoleſcentulus audiat, obſtupeſcimus quidem, ac mente corripimur. Equidem, niſi ſuſpicarer, ne forte nimis ebrius videar, iureiurando interpoſito affirmarem, qualia mihi alias ab huius verbis contigerint, contingantque etiam nunc. quoties enim hunc audio, multo magis, quam hi, qui Corybantum more deferuntur, cor in me

τῶν ἥ τε καρδία πηδᾷ, καὶ δάκρυα ἐκχεῖται ὑπὸ τῶν λόγων
τῶν τούτου. ὁρῶ δὲ καὶ ἄλλους παμπόλλους τὰ αὐτὰ πά-
σχοντας. Περικλέους δὲ ἀκούων, καὶ ἄλλων ἀγαθῶν ῥητό-
ρων, εὖ μὲν ἠγούμην λέγειν, τοιοῦτον δ' οὐδὲν ἔπασχον· οὐδ'
ἐτεθορύβητό μου ἡ ψυχή, οὐδ' ἠγανάκτει ὡς ἀνδραποδωδῶς
διακειμένου. ἀλλ' ὑπὸ τουτουὶ τοῦ Μαρσύου πολλάκις δὴ οὕ-
p. τω διετέθην, ὥστέ μοι δόξαι μὴ βιωτὸν εἶναι ἔχοντι ὡς ἔχω.
216 καὶ ταῦτα, ὦ Σώκρατες, οὐκ ἐρεῖς ὡς οὐκ ἀληθῆ. καὶ ἔτι γε
a. νῦν ξύνοιδα ἐμαυτῷ ὅτι εἰ ἐθέλοιμι παρέχειν τὰ ὦτα, οὐκ ἂν
καρτερήσαιμι, ἀλλὰ ταυτὰ ἂν πάσχοιμι. ἀναγκάζει γάρ
με ὁμολογεῖν, ὅτι πολλοῦ ἐνδεὴς ὢν αὐτὸς ἔτι, ἐμαυτοῦ μὲν
ἀμελῶ, τὰ δ' Ἀθηναίων πράττω. βίᾳ οὖν ὥσπερ ἀπὸ τῶν
Σειρήνων ἐπισχόμενος τὰ ὦτα οἴχομαι φεύγων· ἵνα μὴ αὐ-
τοῦ καθήμενος παρὰ τούτῳ καταγηράσω. πέπονθα δὲ πρὸς
b. τοῦτον μόνον ἀνθρώπων, ὃ οὐκ ἂν τις οἴοιτο ἐν ἐμοὶ ἐνεῖναι,
τὸ αἰσχύνεσθαι ἐντινοῦν. ἐγὼ δὲ τοῦτον μόνον αἰσχύνομαι.
ξυνοίδα γὰρ ἐμαυτῷ ἀντιλέγειν μὲν οὐ δυναμένῳ ὡς οὐ δεῖ

concitatur ad huius verba, lacrimaſque effundo: videoque, multis aliis hoc idem contingere. Et cum Periclem audiebam, ceteroſque oratores bonos, videbantur illi quidem mihi praeclare dicere: ſed nihil tale mihi contingebat, neque concitabatur animus, neque ſe ipſum, quaſi ſerviliter viventem, condemnabat. Sed ab hoc Marſya noſtro ſaepe inflector, ut exiſtimem, nullo modo in hoc ſtatu vitae mihi eſſe vivendum. Haec, o Socrates, ne negaveris. quin etiam certo ſcio, ſi in praeſentia aures illi praeſtare velim, minime tolerarem, ſed eadem illa mihi evenirent. cogit enim me fateri, quod, cum ipſe ego in multis deficiam, tamen me ipſum negligo, remque populi Athenienſium curo. Vi ergo, quaſi adverſus Sirenas, obturans aures, hunc fugio ac vito, ne apud eum ſedens conſeneſcam. Patior autem erga hunc ſolum, quod nemo exiſtimaret, ut cuiuſvis pudore ac verecundia detinear. Atqui hunc ſolum vereor. conſcius enim mihi ſum, defendere me non poſſe, quin ſint agenda, quae iubet:

τοιοῦτος ἀλλ' οὗτος κελεύει· ἐπειδὰν δὲ ἀπέλθω, ἡττημένῳ τῆς τιμῆς τῆς ὑπὸ τῶν πολλῶν. δραπετεύω οὖν αὐτὸν, καὶ φεύγω· καὶ ὅταν ἴδω, αἰσχύνομαι τὰ ὡμολογημένα. καὶ πολλάκις μὲν ἡδέως ἂν ἴδοιμι αὐτὸν μὴ ὄντα ἐν ἀνθρώποις· εἰ δ' αὖ τοῦτο γένοιτο, εὖ οἶδα ὅτι πολὺ μεῖζον ἂν ἀχθοίμην. ὥστε c.
οὐκ ἔχω ὅ, τι χρήσομαι τούτῳ τῷ ἀνθρώπῳ. καὶ ὑπὸ μὲν δὴ τῶν αὐλημάτων καὶ ἐγὼ καὶ ἄλλοι πολλοὶ τοιαῦτα πεπόνθασιν ὑπὸ τοῦδε τοῦ σατύρου. ἀλλὰ δὴ ἐμοῦ ἀκούσατε ὡς ὁμοιός τέ ἐστιν οἷος ἐγὼ εἴκασα αὐτὸν, καὶ τὴν δύναμιν ὡς θαυμασίαν ἔχει. εὖ γὰρ ἴστε ὅτι οὐδεὶς ὑμῶν τοῦτον γινώσκει· ἀλλὰ ἐγω δηλώσω, ἐπειπερ ἠρξάμην. ὁρᾶτε γὰρ ὅτι Σωκράτης ἐρωτικῶς διάκειται τῶν καλῶν, καὶ ἀεὶ περὶ τούτους ἐστὶ d.
καὶ ἐκπέπληκται· καὶ αὖ ἀγνοεῖ πάντα, καὶ οὐδὲν οἶδεν, ὡς τὸ σχῆμα αὐτοῦ τοῦτο ὂν σειληνῶδες σφόδρα γε. τοῦτο γὰρ οὕτως ἐξωθεν περιβέβληται, ὥσπερ ὁ γε λυμμένος Σειληνός. ἐνδοθεν δὲ ἀνοιχθεις, πόσης οἴεσθε γέμει, ὦ ἄνδρες συμπόται, σωφροσυνης; ἴστε ὅτι οὔτ' εἴτις καλὸς ἐστι μέλει αὐτῷ οὐδὲν,

sed cum ab eo discedo, populari ambitione me superari. Fugio igitur hunc atque vito: &, quoties ipsum intueor, verecundia me, quia promissa non servaverim, capit, ut saepe cupiam hunc e vita decedere: rursus vero, si acciderit, scio me longe id iniquius toleraturum. itaque, quo me vertam, aut quemadmodum hoc utar, nescio. Et a modulationibus quidem Satyri huius talia mihique & multis aliis contigerunt. cetera vero audite, ut, quam similis sit his, quibus ego similem esse dicebam, & vim quam mirabilem habeat, intueamini. Scitote, neminem vestrum Socratem cognoscere. sed ego vobis ostendam, quandoquidem dicere iam incepi. Cernitis, quam vehementer Socrates erga pulchros afficitur, semperque inter eos versatur, & obstupescit? ignorat omnia, nihil novit. figura profecto haec Silenis est persimilis. Scitote igitur, eum hac habitus forma exterius amiciri, tanquam sculptum quendam Silenum. intus vero si aperiatur, mira, o viri convivae, castimonia & integritas inest. Neque enim pulchritudinem corporis cu-

ἀλλὰ καταφρονεῖ τοσοῦτον, ὅσον οὐδ' ἂν εἷς οἰηθείη· οὔτ' εἴ-
e. τις πλούσιος, οὔτ' εἰ ἄλλην τινὰ τιμὴν ἔχων τῶν ὑπὸ πλή-
θους μακαριζομένων. ἡγεῖται δὲ πάντα ταῦτα τὰ κτήματα
οὐδενὸς ἄξια, καὶ ἡμᾶς οὐδὲν εἶναι· εἰρωνευόμενος δὲ καὶ παί-
ζων πάντα τὸν βίον πρὸς τοὺς ἀνθρώπους διατελεῖ. σπουδά-
σαντος δὲ αὐτοῦ καὶ ἀνοιχθέντος οὐκ οἶδα εἴτις ἑώρακε τὰ
ἐντὸς ἀγάλματα. ἀλλ' ἐγὼ ἤδη ποτ' εἶδον· καί μοι ἔδοξεν
p. οὕτω θεῖα καὶ χρυσᾶ εἶναι καὶ πάγκαλα καὶ θαυμαστά, ἅστε
217 ποιητέον εἶναι ἐν βραχεῖ ὅ, τι κελεύει Σωκράτης. ἡγούμενος
a. δὲ αὐτὸν ἐσπουδακέναι ἐπὶ τῇ ἐμῇ ὥρᾳ, ἕρμαιον ἡγησάμην
εἶναι καὶ εὐτύχημα ἐμὸν θαυμαστόν· ὡς ὑπάρχον μοί, χαρι-
σαμένῳ Σωκράτει, πάντ' ἀκοῦσαι ὅσά περ οὗτος ᾐδει. ἐφρό-
νουν γὰρ ἤδη ἐπὶ τῇ ὥρᾳ θαυμάσιον ὅσον. ταῦτα οὖν διανοη-
θεὶς πρῶτον, οὐκ εἰωθὼς ἄνευ ἀκολούθου μόνος μετ' αὐτοῦ
γίγνεσθαι, τότε ἀποπέμπων τὸν ἀκόλουθον, μόνος συνεγι-
b. γνόμην. δεῖ γὰρ πρὸς ὑμᾶς πάντα τἀληθῆ εἰπεῖν. ἀλλὰ προσέ-

iuſquam quidquam aeſtimat, neque divitias, neque honores, neque cetera, quae vulgus admiratur, ſed ea cuncta ſupra quam exiſtimari queat, longe ſpernit, ac pro nihilo ducit. quocirca nullius nos eſſe apud eum vobis aſſero: fingit tamen ironicus aliter, ac iocari palam de his rebus nunquam ceſſat. ſerio autem agentis, atque intus aperti, neſcio utrum quiſquam veſtrûm divinas, quae intus latent, imagines unquam inſpexerit. ego certe quandoque eas conſpexi, atque mihi viſae ſunt uſque adeo divinae, & aureae, & formoſae, & mirabiles, ut nullo modo fas exiſtimem, aliter, quam Socrates praecipit, agere. Ego iam aliquando, o viri convivae, Socratem arbitratus mea ſpecie revera admodum delectari, occaſionem hanc mirificam felicemque ad id, quod affectabam, me nactum eſſe putavi. gratificari quippe Socrati conſtitui, ut, quaecunque ille noverat, mecum communicaret. nam magnum aliquid & mirificum formoſitatem meam exiſtimabam, eaque plurimum fidebam. Cumque antea nunquam ſine comite cum eo loqui conſueviſſem, quandoque dimiſſo comite, ſolus cum

χετε τὸν νοῦν· καὶ, εἰ ψεύδομαι, Σώκρατες, ἐξέλεγχε. συνεγυγνόμην γὰρ, ὦ ἄνδρες, μόνος μόνῳ, καὶ ὤμην αὐτίκα διαλέξεσθαί μοι, ἅπερ ἂν ἐραστὴς παιδικοῖς ἐν ἐρημίᾳ διαλεχθείη, καὶ ἔχαιρον. τούτων δ' οὐ μάλα ἐγίγνετο οὐδέν· ἀλλ' ὥσπερ εἰώθει, διαλεχθεὶς ἄν μοι καὶ συνημερεύτας ᾤχετο ἀπιών. μετὰ ταῦτα συγγυμνάζεσθαι προὐκαλούμην αὐτὸν, καὶ συνεγυμναζόμην, ὡς τι ἐνταῦθα περανῶν. συνε- c.
γυμνάζετο οὖν μοι καὶ προσεπάλαιε πολλάκις οὐδενὸς παρόντος. καὶ τί δεῖ λέγειν; οὐδὲν γάρ μοι πλέον ἦν. ἐπειδὴ δὲ οὐδαμῇ ταύτῃ ἤνυτον, ἐδοξέ μοι ἐπιθετέον εἶναι τῷ ἀνδρὶ κατὰ τὸ καρτερὸν, καὶ οὐκ ἀνετέον, ἐπειδήπερ ἐγκεχειρήκειν, ἀλλὰ ἰσχὺν ἤδη τί ἔχει τὸ πρᾶγμα. προκαλοῦμαι δὴ αὐτὸν πρὸς τὸ συνδειπνεῖν, ἀτεχνῶς ὥσπερ ἐραστὴς παιδικοῖς ἐπιβουλεύων. καί μοι οὐδὲ τοῦτο ταχὺ ὑπήκουσεν, ὅμως δ' οὖν d.
χρόνῳ ἐπείσθη. ἐπειδὴ δὲ ἀφίκετο, τοπρῶτον συνδειπνήσας ἀπιέναι ἐβούλετο. καὶ τότε μὲν αἰσχυνόμενος ἀφῆκα αὐτόν· αὖθις δὲ ἐπιβουλεύσας, ἐπειδὴ ἐδεδειπνήκει, διελεγόμην πάρρω

eo reſtiti. Vera vobis omnia aperienda ſunt. attendite, obſecro. ſi mentior, Socrates, ipſe redargue. Reſtiti equidem, o viri convivae, ſolus cum ſolo, ſperans, eadem hunc mihi dicturum, quae amatores amatis, cum ſoli ſunt, loqui ſolent: qua ſpe valde laetabar. horum vero nihil actum eſt, ſed, ut ſolitus erat, cum ad veſperam uſque diſſeruiſſet, abiit. Poſt haec ad palaeſtram hunc citavi, exercuique, quaſi in hac aliquid perfecturus. ſoli itaque ſaepe nos ſimul gymnaſtica exercuimus. Quid multis opus eſt verbis? nihil mihi ſucceſſit. Poſtquam vero hac nequaquam ſucceſſerat, durioribus machinamentis virum hunc aggredi ſtatui, nec ab inceptis deſiſtere. Audite, quam vehementer huic inſidiatus ſum. Coenatum arceſſivi, tanquam amator amatis inſidiatus. Is non facile, nec primo paruit: tandem vero obſecutus eſt. venit ergo: ſed, ſumto cibo, confeſtim abiturus ſurrexit. Tunc ego pudore detentus, abire permiſi. ſed alias vehementiores inſidias tendens, poſt coenam ad multam noctem ſermonem protraxi:

τῶν νυκτῶν· καὶ ἐπειδὴ ἐβούλετο ἀπιέναι, σκηπτόμενος ὅτι ὀψὲ εἴη, προσηνάγκασα αὐτὸν μένειν. ἀνεπαύετο οὖν ἐν τῇ ἐχομένῃ ἐμοῦ κλίνῃ, ἐν ᾗπερ ἐδείπνει· καὶ οὐδεὶς ἐν τῷ οἰκή-
e. ματι ἄλλος καθηῦδεν ἢ ἡμεῖς. μέχρι μεν οὖν δὴ δεῦρο τοῦ λόγου, καλῶς ἂν ἔχοι καὶ πρὸς ὀντινοῦν λέγειν· τὸ δ' ἐντεῦθεν οὐκ ἄν μου ἠκούσατε λέγοντος, εἰ μὴ πρῶτον μεν, τὸ λεγόμενον, οἶνος ἄνευ τε παιδων καὶ μετα παιδων ἦν ἀληθής· ἔπειτα ἀφανίσαι Σωκράτους ἔργον ὑπερήφανον, εἰς ἔπαινον ἐλθόντα, ἀδικόν μοι φαίνεται. ἔτι δὲ τὸ τοῦ δηχθέντος ὑπὸ τοῦ ἔχεως πάθος κἀμὲ ἔχει. φασὶ γάρ που τινα τοῦτο πα-
P. 218 a. θόντα, οὐκ ἐθέλειν λέγειν οἷον ἦν πλὴν τοῖς δεδηγμένοις, ὡς μόνοις γνωσομένοις τε καὶ συγγνωσομένοις εἰ πᾶν ἐτόλμα δρᾶν τε καὶ λέγειν ὑπὸ τῆς ὀδύνης. ἐγὼ οὖν δεδηγμένος τε ὑπὸ ἀλγεινοτέρου, καὶ τὸ ἀλγεινότατον ὧν ἄν τις δηχθείη. τὴν καρδίαν γὰρ, ἢ ψυχὴν, ἢ ὅ, τι δεῖ αὐτὸ ὀνομάσαι, πληγείς τε καὶ δηχθεὶς ὑπὸ τῶν ἐν φιλοσοφίᾳ λόγων, οἷ ἔχονται ἐχίδνης ἀγριώτερον, νέου ψυχῆς καὶ μὴ ἀφυοῦς

cumque vellet diſcedere, obiiciens intempeſtam noctem, manere coëgi. quievit igitur in proximo lecto, ſuper quem ſedens coenaverat, nec alius praeter nos ullus ibi ea nocte dormivit. Quae hactenus dicta ſunt, ſine rubore ubique proferri poſſunt: quae vero ſequuntur, non prius audietis, quam proverbium illud recenſuerim, Vinum & cum pueritia, & ſine pueritia, eſt veridicum. Quin etiam iniuſtum videtur, ut is, qui Socratem laudat, ſuperbum & invictum facinus illius ſilentio praetereat. Praeterea non aliter affectus ſum, quam ille, quem vipera mordet. illum quippe ferunt, qualis ſit eius paſſio, aperire nolle, niſi his, qui ſimiliter aegrotant: quaſi hi ſoli, utpote mali non ignari, ignoſcant, ſi quis, cruciatu compulſus, & loqui & agere cuncta non dubitet. Ego igitur, prae ceteris adſtrictus vehementiori philoſophiae morſu, qui omnium eſt acerrimus, & ſive cor, ſive animum, ſive quomodocunque id appellandum ſit, faucius, cupiditate in philoſophia ſermonum, qui acrius, quam vipera, mordent, & occupant, ſi

ὅταν λάβωνται, καὶ ποιοῦσι δρᾶν τε καὶ λέγειν ὁτιοῦν· καὶ
ὁρῶν αὖ Φαιδρους, Ἀγάθωνας, Ἐρυξιμάχους, Παυσανίας, b.
Ἀριστοδήμους τε καὶ Ἀριστοφάνεις. Σωκράτη δὲ αὐτὸν τί δεῖ
καὶ λέγειν, καὶ ὅσοι ἄλλοι; πάντες γὰρ κεκοινωνήκατε τῆς
φιλοσόφου μανίας τε καὶ βακχείας. διὸ πάντες ἀκουσεσθε.
συγγνώσεσθε γὰρ τοῖς τότε πραχθεῖσι, καὶ τοῖς νῦν λεγο-
μένοις. οἱ δὲ οἰκέται, καὶ εἴτις ἄλλος ἐστὶ βεβηλός τε καὶ
ἀγροῖκος, πύλας πάνυ μεγαλας τοῖς ὠσὶν ἐπιθεσθε. ἐπειδὴ
γὰρ οὖν, ὦ ἄνδρες, ὅ, τε λυχνος ἀπεσβήκει, καὶ οἱ παῖδες
ἔξω ἦσαν, ἔδοξέ μοι χρῆναι μηδὲν ποικίλλειν πρὸς αὐτὸν, c.
ἀλλ' ἐλευθέρως εἰπεῖν ἃ μοι ἐδόκει. καὶ εἶπον, κινήσας αὐτὸν,
Σωκρατες καθεύδεις; Οὐ δῆτα, ἦ δ' ὅς. Οἶσθα οὖν ἃ μοι
δέδοκται; Τι μάλιστα; ἔφη. Σὺ ἐμοὶ δοκεῖς, ἦν δ' ἐγὼ, ἐμοῦ
ἐραστὴς ἄξιος γεγονέναι μόνος· καὶ μοι φαίνῃ ἐκεῖνὺ μνη-
σθῆναι πρός με. ἐγὼ δὲ οὕτωσὶ ἔχων, πάνυ ἀνόητον ἡγοῦ-
μαι εἶναί σοι μὴ οὐ καὶ τοῦτο χαρίζεσθαι, καὶ εἴτι ἄλλο ἢ

quando attigerint iuvenilem animum, qui non penitus ignavus
ſit, compelluntque ad quidquid tandem ſit, faciendum atque
dicendum, ac intuens Phaedros, Agathones, Eryximachos,
Pauſanias, Ariſtodemos, Ariſtophanes, Socratem denique
ipſum, & ceteros: (omnes enim mecum una philoſophiae
furore ac bacchatione correpti eſtis) propterea audite omnes.
Etenim mihi veniam dabitis pro his, quae tunc a me facta,
& nunc dicta fuerint. famuli autem, & ſi quis alius adſit
profanus & agreſtis, aures obſtruant. Exſtincto lychno, fa-
muliſque abſentibus, viſum mihi, o viri convivae, haud
amplius diſſimulandum differendumque, ſed ingenue, quod
ſentirem, aperiendum. Tetigi itaque illum, dicens, Socrates,
dormis? Nondum, inquit. Sciſne, quid hactenus mihi viſum
fuerit? inquam. Qua de re, & quid rogas? inquit. Tu mihi
ſolus amator me dignus exſtitiſſe videris, inquam, verecun-
dior tamen in amore fuiſſe. Equidem cum ita ſe res habeat,
egoque talis ſim, ſtultum eſſe ducerem, niſi in hoc quoque
tibi gratificarer, & in ceteris omnibus, ſive meis rebus, ſive

τῆς οὐσίας τῆς ἐμῆς δέοιο, ἢ τῶν φίλων τῶν ἐμῶν. ἐμοὶ μὲν
d. γὰρ οὐδέν ἐστι πρεσβύτερον τοῦ ὡς ὅτι βέλτιστον ἐμὲ γενέσθαι. τούτου δὲ οἶμαί μοι συλλήπτορα οὐδένα κυριώτερον εἶναί σου. ἐγὼ δὴ τοιούτῳ ἀνδρὶ πολὺ μᾶλλον ἂν μὴ χαριζόμενος αἰσχυνοίμην τοὺς φρονίμους, ἢ, χαριζόμενος, τούς τε πολλοὺς καὶ ἄφρονας. Καὶ οὗτος ἀκούσας, μάλα εἰρωνικῶς καὶ σφόδρα ἑαυτῷ εἰωθότως ἔλεξεν, Ὦ φίλε Ἀλκιβιάδη, κινδυνεύεις
e. τῷ ὄντι οὐ φαῦλος εἶναι, εἴπερ ἀληθῆ τυγχάνει ὄντα ἃ λέγεις περὶ ἐμοῦ, καί τις ἔς' ἐν ἐμοὶ δύναμις, δι' ἧς ἂν σὺ γένοιο ἀμείνων, ἀμήχανόν τε κάλλος ὄψῃς ἂν ἐν ἐμοί, καὶ τῆς παρά σοι εὐμορφίας πάμπολυ διαφέρον. εἰ δὴ καθορῶν αὐτὸ κοινώσασθαί τέ μοι ἐπιχειρεῖς, καὶ ἀλλάξασθαι κάλλος ἀντὶ κάλλους, οὐκ ὀλίγῳ μου πλεονεκτεῖν διανοῇ, ἀλλ' ἀντὶ δόξης ἀλήθειαν καλῶν κτᾶσθαι ἐπιχειρεῖς, καὶ τῷ ὄντι
219 a. χρύσεα χαλκείων διαμείβεσθαι νοεῖς. ἀλλ', ὦ μακάριε, ἄμεινον σκόπει, μή σε λανθάνω οὐδὲν ὤν. ἥτοι τῆς διανοίας ὄψις ἄρχεται ὀξὺ βλέπειν, ὅταν ἡ τῶν ὀμμάτων τῆς ἀκμῆς λη-

amicis indigeas. Mihi quidem nihil eſt antiquius, quam ut optimus vir evadam. Ad hoc nemo me magis, quam tu, iuvare poteſt. ego autem, tanto viro non obſecutus, vehementius ſapientum increpationes vererer, quam obſecutus, inſipientum verba. Quae cum audiſſet, ſolita ironia diſſimulans, ita reſpondit: O amice Alcibiades, videris revera non ignavus viliſque eſſe, ſi vera ſunt, quae de me refers, & ineſt mihi vis quaedam ipſi, per quam ipſe melior effici poſſis, & miram in me pulchritudinem conſpicis, tua forma longe praeſtantiorem. Si iſta cognoſcens, communicare mecum exoptas, & pulchritudinem pulchritudine commutare, tanquam foenerator multo plus quam ego reportare contendis. nam pro opinione veritatem pulchrorum lucrari conaris, & aurum pro aurichalco recipere. Sed, o beate, diligentius animadverte, ne te mea conditio lateat, cum nullius ſim pretii. Tunc ſane mentis oculus acute incipit cernere, cum primum corporis oculus defloreſcit: tu vero ab haec aetate es pro-

γειν ἐπιχειρῇ· σὺ δὲ τούτων ἔτι πόρρω. Κἀγὼ ἀκούσας, Τὰ μὲν παρ' ἐμοῦ, ἔφην, ταῦτ' ἐστίν· ὧν οὐδὲν ἄλλως εἴρηται ἢ ὡς διανοοῦμαι. σὺ δὲ αὐτὸς οὕτω βουλεύου ὅ, τι σοί τε ἄριστον καὶ ἐμοὶ ἡγῇ. Ἀλλ', ἔφη, τοῦτό γε εὖ λέγεις. ἐν γὰρ τῷ ἐπιόντι χρόνῳ βουλευόμενοι πράξομεν ὃ ἂν φαίνηται νῷν b.
περί τε τούτων καὶ περὶ τῶν ἄλλων ἄριστον. Ἐγὼ μὲν δὴ ταῦτα ἀκούσας τε καὶ εἰπών, καὶ ἀφεὶς, ὥσπερ βέλει τετρῶσθαι αὐτὸν ᾠμην. καὶ ἀναστάς γε, οὐδὲ ἐπιτρέψας τούτῳ εἰπεῖν οὐδὲν ἔτι, ἀμφιέσας τὸ ἱμάτιον τὸ ἐμαυτοῦ τοῦτο, (καὶ γὰρ ἦν χειμών) ὑπὸ τὸν τριβωνα κατακλινεὶς τὸν τουτουί, περιβαλὼν τὼ χεῖρε τούτῳ τῷ δαιμονίῳ ὡς ἀληθῶς καὶ θαυμαστῷ, κατεκείμην τὴν νύκτα ὅλην. καὶ οὐδὲ ταῦτα αὖ, ὦ c.
Σώκρατες, ἐρεῖς ὅτι ψεύδομαι. ποιήσαντος δὲ δὴ ταῦτα ἐμοῦ, οὕτος τοσοῦτον περιεγένετό τε καὶ κατεφρόνησε καὶ κατεγέλασε τῆς ἐμῆς ὥρας καὶ ὕβρισε· καίπερ ἐκεῖνό γε ᾠμην τι εἶναι, ὦ ἄνδρες δικασταί. δικασταὶ γὰρ ἐστὲ τῆς Σωκράτους ὑπερηφανίας. εὖ γὰρ ἴστε, μὰ θεούς, μὰ θεάς, οὐδὲν περιττότερον καταδεδαρθηκὼς ἀνέστην μετὰ Σωκράτους, ἢ εἰ μετὰ πατρὸς καὶ

cul. Quae cum audiſſem, Mea quidem talia ſunt, qualia dixi, inquam. neque enim in ore unum, in corde aliud habeo. tu autem ita delibera, ut tibi & mihi melius fore cenſes. Probe, inquit, loqueris. ergo poſthac invicem conſultantes agemus, quod utriſque, tam in his, quam in ceteris omnibus, maxime conducturum putabimus. Cum haec audiſſem, & obieciſſem, quaſi iaculo quodam faucium exiſtimavi, ſurgenſque ne verbum quidem ulterius loqui permiſi: & hunc amictum, quem videtis, circumdans, (erat enim hiems) ſubſtrato huius pallio veteri recubui: & hiſce brachiis felicem hunc ſapientemque virum penituſque mirandum amplexus, noctem ſic totam quievi. Haec, ſcio, non negabis, o Socrates. Is tamen formam, qua ego maxime fidebam, ſprevit omnino quaſi ridiculam, ſuperbeque contemſit. Deos omnes Deaſque teſtor, o iudices, (eſtis enim Socraticae ſuperbiae iudices) me non aliter ſurrexiſſe, ac ſi cum patre, vel fra-

d. ἡδὺν, ἢ ἀδελφοῦ πρεσβυτέρου. τὸ δὴ μετὰ τοῦτο, τίνα οἴεσθέ με διάνοιαν ἔχειν, ἡγούμενον μὲν ἠτιμάσθαι, ἀγάμενον δὲ τὴν τούτου φύσιν τε, καὶ σωφροσύνην καὶ ἀνδρίαν; ἐντετυχηκότα ἀνθρώπῳ τοιούτῳ, οἵῳ ἐγω οὐκ ἂν ᾠμην ποτὲ ἐντυχεῖν εἰς φρόνησιν καὶ εἰς καρτερίαν; ὥστε οὔθ' ὁπωσοῦν ὀργιζοίμην εἶχον, καὶ ἀποζερηθείην τῆς τούτου συνουσίας, οὔτε ὅπη προσαγαγοίμην αὐτὸν εὐπόρουν. εὖ γὰρ ᾔδειν ὅτι
c. χρήμασί γε πολὺ μᾶλλον ἄτρωτος ἦν παντα χῇ, ἢ σιδήρῳ ὁ Αἴας· ᾧ τε ᾠμην αὐτὸν μόνῳ ἁλώσεσθαι, διεπεφεύγει με. ἠπόρουν δὴ, καταδεδουλωμένος τε ὑπὸ τοῦ ἀνθρώπου, ὡς οὐδεὶς ὑπ' οὐδενὸς ἄλλου, περιήϊα. ταῦτά τε γάρ μοι ἅπαντα προὐγεγόνει· καὶ μετὰ ταῦτα στρατεία ἡμῖν εἰς Ποτίδαιαν ἐγένετο κοινὴ, καὶ συνεσιτοῦμεν ἐκεῖ. πρῶτον μὲν οὖν τοῖς πόνοις οὐ μόνον ἐμοῦ περιῆν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων. ὁπόταν γοῦν ἀναγκασθείημεν, ἀπολειφθέντες που, οἷα δὴ
p. 220 a. ἐπὶ στρατείας, ἀσιτεῖν, οὐδὲν ἦσαν οἱ ἄλλοι πρὸς τὸ καρτερεῖν.

tre natu maiore iacuiſſem. Quam mihi mentem poſt haec fuiſſe putatis, cum me quidem contemtum exiſtimarem, eius autem ingenium, temperantiam & fortitudinem admirarer, virum talem nactus, qualem me prudentia & tolerantia reperturum eſſe nullum credideram? Quapropter qua ratione illi ſuccenſerem, ab eoque diſcederem, haud inveniebam; neque rurſus, quibus illecebris ipſum mihi conciliarem. noveram equidem, difficilius hunc pecuniis, quam Aiacem ferro, domari poſſe: & id, quo facilius irretiri illum ſperaveram, me fefellit. ambiguus itaque, & huic viro magis, quam alius quiſquam alteri, mancipatus, circumvagabar. Haec omnia tunc a me facta ſunt. Procedente poſt haec tempore militia illi ſimul mihique obvenit adverſus Potidaeam, fuimuſque, Socrates & ego, in eo exercitu contubernales atque victores. Primum quidem laborum patientia non me ſolum, ſed alios omnes, longe ſuperabat: & ſi quo in loco, ut accidere ſolet in bello, commeatus deficeret, nulli pares huic reperiebantur ad famem ſitimque perferendam. Rurſus

ἓν τ' αὖ ταῖς εὐωχίαις μόνος ἀπολαύειν οἷός τ' ἦν· τά τ' ἄλλα, καὶ πίνειν οὐκ ἐθέλων, ὁπότε ἀναγκασθείη, πάντας ἐκράτει· καὶ, ὃ πάντων θαυμαστότατον, Σωκράτη μεθύοντα οὐδεὶς πώποτε ἑώρακεν ἀνθρώπων. τούτου μὲν οὖν μοι δοκεῖ καὶ αὐτίκα ὁ ἔλεγχος ἔσεσθαι. πρὸς δὲ τὰς τοῦ χειμῶνος καρτερήσεις (δεινοὶ γὰρ αὐτόθι χειμῶνες) θαυμάσια εἰργάζετο τά τε ἄλλα, καὶ ποτε ὄντος τοῦ πάγου οἵου δεινοτάτου, καὶ b. πάντων ἢ οὐκ ἐξιόντων ἔνδοθεν, ἢ, εἴτις ἐξίοι, ἠμφιεσμένων τε θαυμαστὰ δὴ ὅσα, καὶ ὑποδεδεμένων καὶ ἐνειλιγμένων τοὺς πόδας εἰς πίλους καὶ ἀρνακίδας· οὗτος δ' ἐν τούτοις ἐξήει ἔχων ἱμάτιον μὲν τοιοῦτον οἷόνπερ καὶ πρότερον εἰώθει φορεῖν· ἀνυπόδητος δὲ διὰ τοῦ κρυσάλλου ῥᾷον ἐπορεύετο ἢ οἱ ἄλλοι ὑποδεδεμένοι. οἱ δὲ στρατιῶται ὑπέβλεπον αὐτὸν ὡς καταφρονοῦντα σφῶν. καὶ ταῦτα μὲν δὴ ταῦτα. Οἷον δ' αὖ τόδ' c. ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ ἐκεῖ ποτε ἐπὶ στρατείας, ἄξιον ἀκοῦσαι. ξυννοήσας γὰρ αὐτόθι ἑωθέν τι ἐζήκει σκοπῶν· καὶ

vero in abundantia rerum, & comiſſatione, menſaque militari ſolus hic frui poſſe videbatur: & quamvis bibere nollet, tamen, ſi cogebatur, omnes protinus bibendo longe vincebat: &, quod omnium maxime mirabile eſt, ebrium quiſquam eum nunquam conſpexit. Sed hoc nihil adhuc in poſterum redargui poſſe videtur. Adverſus autem hiemes & frigora, quae illis in locis aſperrima ſunt, mirabilia faciebat. quandoque enim gelu maximo intolerabilique facto, ita ut nulli exire de tabernaculis auderent, &, ſi qui exibant, non niſi ſuffarcinati admodum, pedeſque & crura pellibus panniſque laneis diligenter circumvoluti, Socrates per hoc ipſum tempus ita exibat cum ceteris militibus, ut nihil ad eam veſtem adiungeret, quam primo ferre ſolitus erat: nudis vero pedibus per glaciem facilius incedebat, quam cum calceis alii. milites vero haec intuentes, ſe contemni ab eo ſuſpicabantur. Et in his quidem talis erat Socrates. Quid autem fecerit tolerantiſſimus vir in eodem exercitu, operae pretium eſt audire. nam cum aliquando cogitatio quaedam incidiſſet,

ἐπειδὴ οὐ προὐχώρει αὐτῷ, οὐκ ἀνίει, ἀλλα εἰςήκει ζητῶν· καὶ ἤδη ἦν μεσημβρία, καὶ ἄνθρωποι ἠσθάνοντο· καὶ θαυμάζοντες, ἄλλος ἄλλῳ ἔλεγεν ὅτι Σωκράτης ἐξ ἑωθινοῦ φροντίζων τι ἕστηκε. τελευτῶντες δέ τινες τῶν Ἰώνων, ἐπειδὴ
d. ἑσπέρα ἦν, δειπνήσαντες (καὶ γὰρ θέρος τότε ἦν) χαμεύνια ἐξενεγκάμενοι, ἅμα μὲν ἐν τῷ ψύχει καθηῦδον, ἅμα δὲ ἐφύλαττον αὐτὸν εἰ καὶ τὴν νύκτα ἑστήξοι. ὁ δὲ εἰςήκει μέχρις ἕως ἐγένετο, καὶ ἥλιος ἀνέσχεν· ἔπειτα ᾤχετ' ἀπιων προσευξάμενος τῷ ἡλίῳ. εἰ δὲ βούλεσθε ἐν ταῖς μάχαις. τοῦτο γὰρ δὴ δίκαιόν γε αὐτῷ ἀποδοῦναι. ὅτε γὰρ ἡ μάχη ἦν, ἐξ ἧς ἐμοὶ καὶ τἀριστεῖα ἔδοσαν οἱ στρατηγοὶ, οὐδεὶς ἄλλος ἐμὲ
e. ἔσωσεν ἀνθρώπων, ἢ οὗτος, οὐκ ἐθέλων τετρωμένον ἀπολιπεῖν, ἀλλὰ συνδιέσωσε καὶ τὰ ὅπλα καὶ αὐτὸν ἐμέ. καὶ ἐγὼ μὲν, ὦ Σώκρατες, καὶ τότε ἐκέλευον σοὶ διδόναι τἀριστεῖα τοὺς στρατηγοὺς (καὶ τοῦτό γέ μοι οὔτε μέμψῃ, οὔτε ἐρεῖς

ſtetit cogitans eodem veſtigio a matutino tempore: cumque explicare id, quod cogitabat, non daretur, perſtabat cogitans, nec dimittebat: & iam meridies erat, militeſque id ſenſerant, ac mirabantur, alterque narrabat alteri, Socratem ab aurora ſtetiſſe cogitantem. Demum vero ab Ionia quidam milites, cum nox iam immineret, coenati prius, (erat enim tunc aeſtas) circa eum ſtrata poſuerunt, & in frigore iacuerunt, illum obſervantes, an per noctem quoque perſeveraret. Socrates vero ſtetit uſque ad auroram ſequentem, ac ſolis exortum: poſtea vero abiit, cum iam ſolem naſcentem ſalutaviſſet. In proeliis quoque qualis fuerit, non eſt ſilentio praetereundum. nam cum ea pugna fuit, ex qua me quaſi optimum pugnatorem duces exercitus praemiis donaverunt, nemo alius me ſervavit, quam Socrates. videns enim me graviter vulneratum, nequaquam deſeruit, ſed ante me proſiliens, me ipſum atque arma mea protexit, ab hoſtibuſque ſervavit. Atque ego tunc iſta praedicans conatus ſum, ut non mihi, ſed Socrati huic, a quo ſervatus eram, dona illa traderentur. neque iſta confutaveris, neque veluti falſa ne-

ὅτι ψευδόμαι) ἀλλὰ γὰρ τῶν στρατηγῶν πρὸς τὸ ἐμὸν ἀξίωμα ἀποβλεπόντων, καὶ βουλομένων ἐμοὶ διδόναι τἀριστεῖα, αὐτὸς προθυμότερος ἐγένου τῶν στρατηγῶν ἐμὲ λαβεῖν ἢ σαυτόν. ἔτι τοίνυν, ὦ ἄνδρες, ἄξιον ἦν θεάσασθαι Σωκράτη, ὅτε ἀπὸ Δηλίου φυγῇ ἀνεχώρει τὸ στρατόπεδον. ἔτυχον γὰρ παραγενόμενος ἵππον ἔχων, οὗτος δὲ ὅπλα. ἀνεχώρει οὖν ἐσκεδασμένων ἤδη τῶν ἀνθρώπων οὗτός τε ἅμα καὶ Λάχης· καὶ ἐγὼ περιτυγχάνω, καὶ ἰδὼν, εὐθὺς παρακελεύομαί τε αὐτοῖν θαῤῥεῖν, καὶ ἔλεγον ὅτι οὐκ ἀπολείψω αὐτώ. ἐνταῦθα δὴ καὶ κάλλιον ἐθεασάμην Σωκράτη ἢ ἐν Ποτιδαίᾳ· (αὐτὸς γὰρ ἧττον ἐν φόβῳ ἦν, διὰ τὸ ἐφ' ἵππου εἶναι) πρῶτον μὲν, ὅσον περιῆν Λάχητος τῷ ἔμφρων εἶναι· ἔπειτα ἔμοιγε ἐδόκει, ὦ Ἀριστοφάνες, τὸ σὸν δὴ τοῦτο, καὶ ἐκεῖ διαπορεύεσθαι, ὥσπερ καὶ ἐνθάδε, βρενθυόμενος, καὶ τὼ φθαλμὼ παραβάλλων· ῥᾴδιος παρασκοπῶν καὶ τοὺς φίλους καὶ τοὺς πολεμίους· δῆλος ἂν παντὶ καὶ πάνυ πόῤῥωθεν ὅτι εἴτις ἅψε- p. 221 a. b.

gaveris, Socrates. Tunc ſane duces, ad meam reſpicientes dignitatem, donare me maluerunt, te in primis, o Socrates, obſecrante, ut mihi, non tibi, honor exhiberetur. Sed praeclarum, o viri, fuit, Socratem videre, cum exercitus noſter a Delio fugeret. nam interfui quoque huic proelio, & quidem ex equo pugnans, cum Socrates ipſe pedes eſſet. Profligatis igitur noſtris, ac fuga iam omnium facta, Socrates una & Laches pedem referebant. atque ego, cum in hos caſu incidiſſem, bono animo eſſe iuſſi, meque nunquam deſerturum eos dixi. Hic igitur eo melius aſpicere potui Socratem, quam apud Potidaeam, quod ipſe confiſus equo, minus formidabam. Primum igitur intueri licebat, quanta cautione ac praeſenti animo Lachetem ſuperaret: deinde mihi viſus eſt, o Ariſtophanes, quod & eum hic facere ais, incedere ſuperbus, & oculis quiete omnia circumluſtrans, cauteque examinans ſingula. hoſtes ſiquidem civeſque viciſſim reſpiciebat, oculis & aſpectu praeferens, oſtendenſque vel remotioribus, ſi quis eum invadat, non eſſe id impune fa-

ται τούτου τοῦ ἀνδρὸς, μάλα ἐρρωμένως ἀμυνεῖται. διὸ καὶ
ἀσφαλῶς ἀπέρχει καὶ οὗτος καὶ ὁ ἕτερος. σχεδὸν γάρ τι τῶν
οὕτω διακειμένων ἐν τῷ πολέμῳ οὐδὲ ἅπτονται, ἀλλὰ τοὺς
c. προτροπάδην φεύγοντας διώκουσι. πολλὰ μὲν οὖν ἂν τις καὶ
ἄλλα ἔχοι Σωκράτους ἐπαινέσαι καὶ θαυμάσια· ἀλλὰ τῶν
μὲν ἄλλων ἐπιτηδευμάτων τάχ' ἄν τις καὶ περὶ ἄλλου τοιαῦ-
τα εἴποι· τὸ δὲ μηδενὶ ἀνθρώπων ὅμοιον εἶναι, μήτε τῶν πα-
λαιῶν μήτε τῶν νῦν ὄντων, τοῦτο ἄξιον παντὸς θαύματος.
οἷος γὰρ Ἀχιλλεὺς ἐγένετο, ἀπεικάσειεν ἄν τις καὶ Βρασί-
δαν καὶ ἄλλους· καὶ οἷος αὖ Περικλῆς, καὶ Νέστορα καὶ Ἀν-
d. τήνορα· εἰσὶ δὲ καὶ ἕτεροι· καὶ τοὺς ἄλλους κατὰ ταῦτ' ἄν
τις ἀπεικάζοι· οἷος δὲ οὑτοσὶ γέγονε τὴν ἀτοπίαν ἄνθρωπος,
καὶ αὐτὸς καὶ οἱ λόγοι αὐτοῦ, οὐδ' ἐγγὺς ἂν εὕροι τις ζη-
τῶν, οὔτε τῶν νῦν, οὔτε τῶν παλαιῶν· εἰ μὴ ἄρα οἷς ἐγὼ
λέγω ἀπεικάζοι τις αὐτόν· ἀνθρώπων μὲν μηδενὶ, τοῖς δὲ Σει-
ληνοῖς καὶ σατύροις, αὐτόν τε καὶ τοὺς λόγους. καὶ γὰρ οὖν
καὶ τοῦτο ἐν τοῖς πρώτοις παρέλιπον, ὅτι καὶ οἱ λόγοι αὐτοῦ
ὁμοιότατοι εἰσὶ τοῖς Σειληνοῖς τοῖς διοιγομένοις. εἰ γὰρ ἐθέλοι

sturum. Itaque tute abibat & ipse, & alter. ferme enim qui ita incedunt, nemo eos invadit, sed eos, qui effusa fuga deferuntur. In multis quidem aliis mirifice laudari Socrates potest, sed talia sunt, ut ceteri quoque forsan nonnulli eandem laudem mereantur: verum illa praecipua in hoc, per quae nemini aliorum hominum, neque antiquorum, neque novorum, esse similis reperitur. nam qualis Achilles fuit, talem coniectet forsan aliquis fuisse Brasidam, & alios quosdam: & qualis Pericles, tales Antenorem atque Nestorem. sunt alii quoque, qui hoc modo conferri invicem possunt. sed qualis Socrates est, qualisque eius mira dicendi ratio, nemo prope ad eius similitudinem accedit, neque veterum, neque eorum, qui nunc sunt: nisi ut ego nunc dixi, atque assimilavi. quippe nulli hominum, sed Silenis & Satyris similis ipse est, eiusque sermones. Nam & hoc a me praetermissum erat prius, sermones eius persimiles esse Silenis

τὶς τῶν Σωκράτους ἀκούειν λόγων, φανεῖεν ἂν πάνυ γελοῖοι c.
τοπρῶτον· τοιαῦτα καὶ ὀνόματα καὶ ῥήματα ἔξωθεν περι-
αμπέχονται σατύρου ἄν τινα ὑβριστοῦ δοράν. ὄνους γὰρ καν-
θηλίους λέγει, καὶ χαλκέας τινὰς, καὶ σκυτοτόμους, καὶ
βυρσοδέψας, καὶ ἀεὶ διὰ τῶν αὐτῶν τὰ αὐτὰ φαίνεται λέ-
γειν· ὥστε ἄπειρος καὶ ἀνόητος ἄνθρωπος πᾶς ἂν τῶν λόγων
καταγελάσειε. διοιγομένους δὲ ἰδὼν ἄν τις, καὶ ἐντὸς αὐτῶν p.
γιγνόμενος, πρῶτον μὲν νοῦν ἔχοντας ἔνδον μόνους εὑρήσει 222
τῶν λόγων, ἔπειτα θειοτάτους, καὶ πλεῖστ' ἀγάλματα ἀρε- a.
τῆς ἐν αὑτοῖς ἔχοντας, καὶ ἐπὶ πλεῖστον τείνοντας, μᾶλλον
δὲ ἐπὶ πᾶν ὅτου προσήκει σκοπεῖν τῷ μέλλοντι καλῷ κἀγα-
θῷ ἔσεσθαι. ταῦτ' ἐστὶν, ὦ ἄνδρες, ἃ ἐγὼ Σωκράτους ἐπαινῶ·
καὶ αὖ ἃ μέμφομαι, συμμίξας ὑμῖν εἶπον ἅ με ὕβρισε.
καὶ μέντοι οὐκ ἐμὲ μόνον ταῦτα πεποίηκεν, ἀλλὰ καὶ Χαρ- b.
μίδην τὸν Γλαύκωνος, καὶ Εὐθύδημον τὸν Διοκλέους, καὶ
ἄλλους πάνυ πολλούς· οὓς οὗτος ἐξαπατῶν, ὡς ἐραστὴς, παι-

apertis. Si quis enim huius ſermones audiat, videntur prima, ut fertur, facie nimium eſſe abſurdi. nomina quippe & verba exteriori aſpectu Satyri cuiuſdam contumelioſi habitum prae ſe ferunt. aſinos enim, fabroſque aerarios, & ſutores calceorum, coriarioſque ſemper habet in ore, eademque ſemper dicere de eiſdem videtur, ut omnes fere, qui minus experti peritive ſint, verba illius irrideant. Verum ſi intus aſpiciat quis eius ſermones, primo quidem reperiet, ſenſuum profunditatem habere ſolos aliorum omnium, & inſuper diviniſſimos eſſe, ac plurimas virtutum ſpecioſiſſimas imagines continere, atque ad plurima ſeſe extendere, immo omnia praecepta comprehendere, quibus inſtrui debet is, qui honeſte beneque victurus ſit. Haec ſunt, o viri convivae, in quibus Socratem laudo: ac etiam, de quibus conqueror. audiſtis enim interim, quas mihi iniurias intulit. Nec adverſus me ſolum ita ſe geſſit: verum etiam adverſus Charmidem, filium Glauconis, & adverſus Euthydemum Diocle natum, alioſque permultos, eadem fecit, quos ipſe ſub

δικὰ μᾶλλον αὐτὸς καθίζεται ἀντ' ἐραστοῦ. ἃ δὴ καί σοι λέγω, ὦ Ἀγάθων, μὴ ἐξαπατᾶσθαι ὑπὸ τούτου, ἀλλ' ἀπὸ τῶν ἡμετέρων παθημάτων γνόντα, εὐλαβηθῆναι, καὶ μὴ, κατὰ τὴν παροιμίαν, ὥσπερ νήπιον, παθόντα γνῶναι. Εἰ-
c. πόντος δὴ ταῦτα τοῦ Ἀλκιβιάδου, γέλωτα γενέσθαι ἐπὶ τῇ παῤῥησίᾳ αὐτοῦ, ὅτι ἐδόκει ἔτι ἐρωτικῶς ἔχειν τοῦ Σωκράτους. τὸν οὖν Σωκράτη, Νήφειν μοι δοκεῖς, φάναι, ὦ Ἀλκιβιάδη. οὐ γὰρ ἄν ποτε οὕτω κομψῶς κύκλῳ περιβαλλόμενος ἀφανίσαι ἐνεχείρεις οὗ ἕνεκα ταῦτα πάντα εἴρηκας, καὶ, ὡς ἐν παρέργῳ δὴ λέγων, ἐπὶ τελευτῆς αὐτὸ ἔθηκας· ὡς οὐ πάντα τούτου ἕνεκα εἰρηκὼς, τοῦ ἐμὲ καὶ Ἀγάθωνα δια-
d. βάλλειν· οἰόμενος δεῖν ἐμὲ μὲν σοῦ ἐρᾶν καὶ μηδενὸς ἄλλου, Ἀγάθωνα δὲ ὑπὸ σοῦ ἐρᾶσθαι, καὶ μηδ' ὑφ' ἑνὸς ἄλλου. ἀλλ' οὐκ ἔλαθες, ἀλλὰ τὸ σατυρικόν σου δρᾶμα τοῦτο καὶ Σειληνικὸν κατάδηλον ἐγένετο. ἀλλ', ὦ φίλε Ἀγάθων, μηδὲν πλέον αὐτῷ γένηται· ἀλλὰ παρασκευάζου, ὅπως ἐμὲ καί

ſpecie amatoris ſefellit. nam pro amatore amatus evaſit. Quamobrem te quoque, Agatho, admoneo, ut huius ſimulationes diſſimulationeſque caveas, & ex his, quae ego ſum paſſus, hunc cognoſcens, rem tuam cures; neque ſecundum proverbium, ſtultorum inſtar, accepto incommodo, ſapias. Cum haec Alcibiades dixiſſet, eius audacia & loquendi libertate riſum omnibus concitatum eſſe Ariſtodemus narrabat, quoniam viſus eſt & amore Socratis eſſe captus. Sobrius mihi videris, o Alcibiades, Socratem dixiſſe: alioquin nunquam ita artificioſe, longo verborum circuitu facto, occulere id ſtuduiſſes, cuius gratia cetera omnia dixeras: quod in orationis calce, ut praeter propoſitum proferre videreris, tandem appoſuiſti, quaſi non omnia idcirco dixeris, ut me ab Agathone diſiungeres. arbitraris, me neminem praeter te unum amare debere; Agathonem vero a nullo alio, quam abs te, amari. verum non latuit nos, quid ſibi vellet tuum illud Satyricum Silenicumque figmentum. Sed, o amice Agatho, danda opera eſt, ut nec iſti ſua machi-

σε μηδεὶς διαβάλλῃ. Τὸν οὖν Ἀγάθωνα εἰπεῖν, Καὶ μήν, ὦ Σώκρατες, κινδυνεύεις ἀληθῆ λέγειν· τεκμαίρομαι δὲ καὶ ὡς κατεκλίνη ἐν μέσῳ ἐμοῦ τε καὶ τοῦ, ἵνα χωρὶς ἡμᾶς διαλάβῃ. e.
οὐδὲν οὖν πλέον αὐτῷ ἔσται, ἀλλ' ἐγὼ παρά σε ἐλθὼν κατακλινήσομαι. Πάνυ γε, φάναι τὸν Σωκράτη, δεῦρο ὑποκάτω ἐμοῦ κατακλινου. Ὦ Ζεῦ, εἰπεῖν τὸν Ἀλκιβιάδην, οἷα αὖ πάσχω ὑπὸ τοῦ ἀνθρώπου. οἴεταί μοῦ δεῖν πανταχῇ περιεῖναι· ἀλλ' εἰ μή τι ἄλλο, ὦ θαυμάσιε, ἐν μέσῳ ἡμῶν ἔα Ἀγάθωνα κατακεῖσθαι. Ἀλλ' ἀδύνατον, φάναι τὸν Σωκράτη. σὺ μὲν γάρ με ἐπήνεσας, δεῖ δ' ἐμὲ αὐτὸν ἐπιδέξια ἐπαινεῖν. ἐὰν οὖν ὑπό σοι κατακλινῇ Ἀγάθων, οὐ δήπου ἐμὲ πάλιν ἐπαινέσεται, πρὶν ὑπ' ἐμοῦ μᾶλλον ἐπαινεθῆναι. ἀλλ' ἔασον, ὦ δαιμόνιε, καὶ μὴ φθονήσῃς τῷ μειρακίῳ ὑπ' p.
ἐμοῦ ἐπαινεθῆναι. καὶ γὰρ πάνυ ἐπιθυμῶ αὐτὸν ἐγκωμιάσαι. 223
Ἰοὺ ἰού, φάναι τὸν Ἀγάθωνα, Ἀλκιβιάδη, οὐκ ἔσθ' ὅπως a.
ἂν ἐνθάδε μείναιμι· ἀλλὰ παντὸς μᾶλλον μεταναστήσομαι, ἵνα ὑπὸ Σωκράτους ἐπαινεθῶ. Ταῦτα ἐκεῖνα, φάναι τὸν Ἀλ-

namenta proficiant, nec ullius calumniae inter me ac te iactae diſſidium faciant. Vera, o Socrates, Agathonem reſpondiſſe, loqui videris. quod ex eo coniicio, quia, ut nos ſeiungeret, inter te ac me ſe medium interpoſuit. ſed nihil hoc illi proderit: hinc enim ſurgens, prope te ſedebo. Sic agendum profecto, dixiſſe Socratem: hic infra me ſede. Proh Iuppiter, exclamaſſe Alcibiadem, qualia perpeti me hic vir cogit! in omnibus ſuperare me vult. at ſi non aliud, mihi ſaltem, o mirifice, medium hic Agathonem ſedere permitte. Nequaquam decet, reſpondiſſe Socratem. tu enim me laudaſti: oportet autem me nunc ad dexteram hunc ſedentem laudare. ſi ergo poſt te maneat Agatho, haud me rurſus laudabit, priuſquam a me laudetur. ſed dimitte, vir felix, neque huic meas laudes invideas. equidem laudare illum vehementer deſidero. Hui hui, Alcibiades, Agathonem ibi dixiſſe. quid hic moror? hinc iam diſcedo, ut me Socrates laudet. Mos is Socratis eſt, Alcibiadem reſpondiſſe, uti eo praeſente nemini

κιβδηλον, τα εἰωθότα· Σωκράτους παρόντος τῶν καλῶν με-
ταλαβεῖν ἀδυνατον ἀλλῳ. και νῦν ὡς εὐπρεπῶς και πιθανὸν
λόγον εὗρεν, ὥστε παρ' ἑαυτῷ τουτονι κατακεῖσθαι. Τον μεν
b. οὖν Ἀγάθωνα, ὡς κατακεισόμενον παρα τῳ Σωκράτει ἀνεκα-
σθαι· ἐξαιφνης δὲ κωμαστὰς ἥκειν παμπόλλους ἐπι τας θυ-
ρας, και ἐπιτυχόντας ἀνεῳγμένας, ἐξιόντος τινὸς εἰς τὸ
ἀντικρυς, πορεύεσθαι παρὰ σφᾶς, και κατακλίνεσθαι· και
δορύβου μεσὰ πάντα εἶναι, και οὐκέτι ἐν κόσμῳ οὐδενι ἀναγ-
κάζεσθαι πίνειν πάμπολυν οἶνον. τὸν μὲν οὖν Ἐρυξίμαχον
και τὸν Φαῖδρον και ἄλλους τινὰς ἔφη ὁ Ἀριστόδημος οἴχε-
c. σθαι ἀπιόντας οἴκαδε ὕπνου λαβεῖν· και καταδαρθεῖν πάνυ
πολὺ, ἅτε μακρῶν τῶν νυκτῶν οὐσῶν· ἐξεγρεσθαι δὲ πρὸς
ἡμέραν, ἤδη ἀλεκτρυόνων ᾀδόντων. ἐξεγρόμενος δὲ ἰδεῖν τοὺς
μὲν ἄλλους καθεύδοντας και οἰχομένους, Ἀγάθωνα δὲ και
Ἀριστοφάνην και Σωκράτη ἔτι μόνους ἐγρηγορέναι, και πίνειν
ἐκ φιάλης μεγάλης ἐπιδέξια. τὸν οὖν Σωκράτη αὐτοῖς δια-
λέγεσθαι. και τὰ μὲν ἄλλα ὁ Ἀριστόδημος οὐκ ἔφη μεμνῆ-
d. σθαι τῶν λόγων· (οὔτε γὰρ ἐξ ἀρχῆς παραγενέσθαι, ὑπο-

liceat alteri formoſos ſibi conciliare. vide nunc, obſecro, quam facile & quam probabili ratione hunc ad ſe traxerit. Surrexit ergo Agatho, ut apud Socratem requieſceret. Tunc ſubito debacchantes multi, patentes fores nacti, (nam paulo ante quis contra exierat) ingreſſi ſunt, & circa illos conſederunt: quorum ſtrepitu turbata ſunt omnia, nec ullus poſt haec modus in bibendo ſervatus. Eryximachum, ac Phaedrum, alioſque nonnullos abiiſſe, Ariſtodemus recenſuit, ſeque diu dormiviſſe, (nam longae tunc noctes erant) & circa auroram, gallis iam cantantibus, ſurrexiſſe. Somno autem excitum inveniſſe, quod alii quidem partim dormiebant, partim diſceſſerant. Agatho vero, & Ariſtophanes, atque Socrates ſoli adhuc vigilabant, bibebantque ampla quadam phiala, facto in dexteram circuitu ſibi invicem ſuccedentes. Socrates autem in ipſis diſputabat. Neque aliorum ſe recordari, Ariſtodemus inquit: neque enim ab initio affuiſſe, & ſomno fuiſſe grava-

νυκτάζειν τε) τὸ μέντοι κεφάλαιον ἔφη, προσαναγκάζειν τὸν Σωκράτη ὁμολογεῖν αὐτοὺς, τοῦ αὐτοῦ ἀνδρὸς εἶναι κωμῳδίαν καὶ τραγῳδίαν ἐπίστασθαι ποιεῖν, καὶ τὸν τέχνῃ τραγῳδοποιὸν ὄντα, καὶ κωμῳδοποιὸν εἶναι. ταῦτα δὴ ἀναγκαζομένους αὐτοὺς, καὶ οὐ σφόδρα ἑπομένους, νυκτάζειν. καὶ πρῶτον μὲν καταδαρθεῖν τὸν Ἀριστοφάνη· ἤδη δὲ ἡμέρας γιγνομένης, τὸν Ἀγάθωνα. τὸν οὖν Σωκράτη κατακοιμισαντ' ἐκείνους, ἀναστάντα ἀπιέναι, καὶ αὐτὸς, ὥσπερ εἰώθει, ἕπεσθαι· καὶ ἐλθόντα εἰς Λύκειον, ἀπονιψάμενον ὥσπερ ἄλλοτε, τὴν ὅλην ἡμέραν διατρῖβειν· καὶ οὕτω διατρίψαντα, εἰς ἑσπέραν οἴκοι ἀναπαύεσθαι.

tum. ſummam vero diſputationis illius exſtitiſſe, quod Socrates illos fateri cogebat, eiuſdem viri officium eſſe, tragoediam, comoediamque componere, eumque, qui arte tragicus eſt, eſſe quoque comicum. Cum haec illi, coacti potius, quam perſuaſi, conceſſiſſent, ſe ſomno dediſſe Ariſtophanem primo, Agathonem deinde, exorta iam luce: Socratem vero, dormientibus illis, in Lyceum, ipſo ut conſueverat comitante, fuiſſe profectum, & lotum ſolito ſe more diem totum exercuiſſe, ac demum ad veſperam domi requieviſſe.

ΦΑΙΔΡΟΣ

ΦΑΙΔΡΟΣ

Η

ΠΕΡΙ ΚΑΛΟΥ

PHAEDRUS

SIVE

DE PULCHRO.

ARGUMENTUM.

Eſt quoque haec diſputatio, quemadmodum & ea, quae in Sympoſio continetur, tota myſtica, & argumentum illi affine complectitur. utraque enim de amore: ſed in varium tamen finem. illa enim amoris naturam explicat: haec, illius paſſiones, inter quas praeſtantiſſima & efficaciſſima eſt, pulchritudinis appetitio. Sed quoniam in ea pulchri cupiditate varie ab hominibus peccatur, rerum umbras, non veritatem, perſequentibus, ac proinde pro vero pulchro foediſſima quaedam ſimulacra colentibus: idcirco accurate edifſerendum fuit, quaenam eſſet vera pulchritudo. Haec autem eſt Ratio, qua cum Deo homo coniungitur. rationis autem interpres eſt oratio, ſingulare donum & ornamentum homini peculiariter tributum. huius enim miniſterio & opera rationis pulchritudo eluceſcit. Ita & in ratione & in oratione vera illa pulchritudo hominis verſatur: quae cum multipliciter ab eo perfoedetur, impotenti cupiditatum & libidinum intemperie, fit ut variae ſint multipli-

ceſque turpitudinis ſpecies, & in ipſo animo, & in ſermone: quas delegit Plato, docens, quomodo in utroque percetur. Inde ad copioſiorem accuratioremque explicationem de pulchro delabitur: rationis & orationis naturam, ordinem, vim, facultatemque erudite edifſerens.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΦΑΙΔΡΟΥ ΠΡΟΣΩΠΑ
ΣΩΚΡΑΤΗΣ καὶ ΦΑΙΔΡΟΣ.

p. 227 a. Ὦ ΦΙΛΕ Φαῖδρε, ποῖ δὴ καὶ πόθεν; ΦΑΙ. Παρὰ Λυσίου, ὦ Σώκρατες, τοῦ Κεφάλου. πορεύομαι δὲ πρὸς περίπατον ἔξω τείχους. συχνὸν γὰρ ἐκεῖ διέτριψα χρόνον, καθήμενος ἐξ ἑωθινοῦ. τῷ δὲ σῷ καὶ ἐμῷ ἑταίρῳ πειθόμενος Ἀκουμενῷ, κατὰ τὰς ὁδοὺς ποιοῦμαι τοὺς περιπάτους. Φησὶ γὰρ ἀκοπωτέρους τῶν ἐν τοῖς δρόμοις εἶναι. ΣΩ. Καλῶς b. γὰρ, ὦ ἑταῖρε, λέγει. ἀτὰρ Λυσίας ἦν, ὡς ἔοικεν, ἐν ἄστει. ΦΑΙ. Ναὶ, παρ' Ἐπικράτει, ἐν τῇδε τῇ πλησίον τοῦ Ὀλυμπίου οἰκίᾳ τῇ Μορυχίᾳ. ΣΩ. Τίς οὖν δὴ ἦν διατριβή; ἢ δηλονότι τῶν λόγων ὑμᾶς Λυσίας εἱστία; ΦΑΙ. Πεύσῃ, εἴ

DIALOGI PHAEDRI PERSONAE
SOCRATES & PHAEDRUS.

O AMICE Phaedre, quonam & unde? *Phae.* A Lyſia, o Socrates, Cephali filio. pergo autem, deambulandi gratia, extra urbem. plurimum enim tempus cum eo ſedens a matutino ad hanc uſque horam illic conſtiti. a tuo autem meoque ſodali Acumeno perſuaſus, deambulando exerceor. quod quidem exercitationis genus facilius ſalubriuſque ille, quam currendi certamen, exiſtimat. *So.* Probe ille quidem, o amice, movet. verum enimvero Lyſias erat, ut videtur, in urbe. *Phae.* Erat. nam apud Epicratem divertit in hanc Olympio proximam Morychi domum. *So.* Quid rei agebatur illic? an videlicet orationis epulo Lyſias vos accepit?

σοι σχολὴ προϊόντι ἀκούειν. ΣΩ. Τί δέ; οὐκ ἂν οἴει με, κατὰ Πίνδαρον, καὶ ἀσχολίας ὑπέρτερον πρᾶγμα ποιήσασθαι, τὸ τεήν τε καὶ Λυσίου διατριβὴν ἀκοῦσαι; ΦΑΙ. Πρόαγε δή. ΣΩ. Λέγοις ἄν. ΦΑΙ. Καὶ μὴν, ὦ Σώκρατες, προσήκουσά c. γέ σοι ἡ ἀκοή. ὁ γάρ τοι λόγος ἦν περὶ ὧν διετριβόμεν, οὐκ οἶδ' ὁντινα τρόπον ἐρωτικός. γέγραφε γὰρ δὴ ὁ Λυσίας πειρώμενον τινὰ τῶν καλῶν, οὐχ ὑπὸ ἐραστοῦ δέ. ἀλλ' αὐτὸ δὴ τοῦτο καὶ κεκόμψευται. λέγει γὰρ ὡς χαριστέον μὴ ἐρῶντι μᾶλλον ἢ ἐρῶντι. ΣΩ. Ὦ γενναῖος, εἴθε γράψειεν ὡς χρὴ πένητι μᾶλλον ἢ πλουτοῦντι, καὶ πρεσβυτέρῳ ἢ νεωτέρῳ, καὶ ὅσα ἄλλα ἐμοί τε πρόσεστι καὶ τοῖς πολλοῖς ἡμῶν. ἢ γὰρ ἂν d. ἀστεῖος καὶ δημωφελὴς εἶεν οἱ λόγοι. ἔγωγ' οὖν οὕτως ἐπιτεθύμηκα ἀκοῦσαι, ὥστε, ἂν βαδίζων ποιῇ τὸν περίπατον Μεγάραδε, καὶ, κατὰ Ἡρόδικον, προσβὰς τῷ τείχει, πάλιν ἀπίῃς, οὐ μή σου ἀπολειφθῶ. ΦΑΙ. Πῶς λέγεις, ὦ βέλτιστε Σώκρατες; οἴει με, ἃ Λυσίας ἐν πολλῷ χρόνῳ κατὰ p. 228 a.

Phae. Scies, modo tibi otium ſit obambulanti una mecum audire. *So.* Quid vero? nonne putas, me iuxta Pindarum, negotio etiam anteferre, tuam & Lyſiae collocutionem audire? *Phae.* Perge igitur. *So.* Dicas modo. *Phae.* Atqui diſputatio illa, o Socrates, tuis auribus congrua. ſermo namque fuit, qui habitus eſt, neſcio quo modo, amatorius: ſcripſerat enim Lyſias, ſollicitatum ex pulchris iſtis quendam, ſed non ab amatore; in eoque ipſo ſeſe oſtentavit, quod probet, non amanti magis, quam amanti, gratificandum eſſe. *So.* O generoſum virum! utinam ſcriberet, inopi potius, quam opulento, & ſeni, quam iuveni, & in ceteris omnibus ita affecto, ut ego & noſtrum complurimi ſumus, eſſe gratificandum. ſiquidem urbana & publice utilis foret oratio. Me tamen cupido tanta cepit audiendi, ut, ſi Megaras uſque deambulando proficiſcare, atque Herodici more, ubi ad murum acceſſeris, protinus inde recedas, non te relinquam. *Phae.* Quid ais, optime Socrates? an putas, quae Lyſias multo tempore per otium compoſuit, diſertiſſimus omnium, qui

σχολὴν συνέθηκε, δεινότατος ὢν τῶν νῦν γράφειν, ταῦτα ἰδιώτην ὄντα ἀπομνημονεύσειν ἀξίως ἐκείνου; πολλοῦ γε δέω. καίτοι ἐβουλόμην γ' ἂν μᾶλλον ἢ μοι πολὺ χρυσίον γενέσθαι. ΣΩ. Ὦ Φαῖδρε, εἰ ἐγὼ Φαῖδρον ἀγνοῶ, καὶ ἐμαυτοῦ ἐπιλέλησμαι. ἀλλὰ γὰρ οὐδέτερά ἐστι τούτων. εὖ οἶδα ὅτι Λυσίου λόγον ἀκούων ἐκεῖνος, οὐ μόνον ἅπαξ ἤκουσεν, ἀλλὰ καὶ πολλάκις ἐπαναλαμβάνων, ἐκέλευσεν οἱ λέγειν· ὁ
b. δὲ ἐπείθετο προθύμως. τῷ δὲ οὐδὲ ταῦτα ἦν ἱκανὰ, ἀλλὰ τελευτῶν παραλαβὼν τὸ βιβλίον, ἃ μάλιστα ἐπεθύμει ἐπεσκόπει. καὶ τοῦτο δρῶν, ἐξ ἑωθινοῦ καθήμενος, ἀπειπὼν εἰς περίπατον ᾔει· ὡς μὲν ἐγὼ οἶμαι, νὴ τὸν Κύνα, ἐξεπιστάμενος τὸν λόγον, εἰ μὴ πάνυ τὶς ἦν μακρός· ἐπορεύετο δ' ἐκτὸς τείχους, ἵνα μελετῴη. ἀπαντήσας δὲ τῷ νοσοῦντι περὶ λόγων ἀκοὴν, ἰδὼν μὲν ἰόντα, ᾔσθη ὅτι ἕξοι τὸν συγκορυβαν-
c. τιῶντα, καὶ προάγειν ἐκέλευε. δεομένου δὲ λέγειν τοῦ τῶν λόγων ἐραστοῦ, ἐθρύπτετο ὡς δὴ οὐκ ἐπιθυμῶν λέγειν· τελευτῶν δὲ ἔμελλε, καὶ εἰ μή τις ἑκὼν ἀκούοι, βίᾳ ἐρεῖν. σὺ οὖν,

nunc ſunt, ſcribendi, ea me rudem, ita ut illo dignum eſt, commemoraturum? permultum certe abſum. atqui mallem equidem id mihi, quam multum auri, adeſſe. *So.* O Phaedre, ſi ego Phaedrum ignoro, mei quoque oblitus ſum. ſed horum ſane neutrum eſt. id enim certe ſcio, quod non ſemel tantum ille Lyſiae ſermonem audivit, ſed iuſſit ſaepius recenſeri. Lyſias autem parebat libens. Nec vero Phaedro id ſatis fuit: verum, ſumto demum libro, quae maxime cupiebat, conſideravit. quod cum feciſſet, illic a matutino uſque ſedendo fatigatus, deambulatum abſceſſit, per Canem, ut equidem reor, memoriae mandans, niſi forte prolixior erat ratio. Tendebat autem modo extra muros, ut ea ipſa meditaretur. obvians vero homini ſermonum amore inſano, eo conſpecto laetatus eſt, quia congaudentem coëxultantemque foret habiturus, ac pergere una iuſſit. deinde vero, ab homine ipſo ſermonum avido rogatus dicere, ſimulabat gravari, quaſi non cuperet referre: tandem vero, etſi nemo

ὦ Φαῖδρε, αὐτοῦ δεήθητι· ὅτερ τάχα πάντως ποιήσει. ΦΑΙ. Νῦν ἐγὼ ποιεῖν ἐμοὶ ὡς ἀληθῶς πολὺ κράτιστόν ἐστιν, οὕτως ὅπως δυναμαι λέγειν. ὡς μοι δοκεῖς σὺ οὐδαμῶς με ἀφήσειν πρὶν ἂν εἴπω ἀμωσγέπως. ΣΩ. Πάνυ γ' ἄρ' σοι ἀληθῆ δοκῶ. ΦΑΙ. Οὕτωσὶ τοίνυν ποιήσω. τῷ ὄντι γάρ, ὦ Σώκρατες, d. παντὸς μᾶλλον τάγε ῥήματα οὐκ ἐξέμαθον· τὴν μέντοι διάνοιαν σχεδὸν ἁπάντων, οἷς ἔφη διαφέρειν τὰ τοῦ ἐρῶντος ἢ τὰ τοῦ μή, ἐκ κεφαλαίοις ἕκαστον ἐφεξῆς διειμι, ἀρξάμενος ἀτὸ τοῦ πρώτου. ΣΩ. Δείξας γε πρῶτον, ὦ φιλότης, τί ἄρα ὃ ἐν τῇ ἀριστερᾷ ἔχεις ὑπὸ τῷ ἱματίῳ. τοπάζω γάρ σε ἔχειν τὸν λόγον αὐτόν. εἰ δὲ τοῦτό ἐστιν, οὕτωσὶ διανοοῦ περὶ ἐμοῦ, ὡς ἐγώ σε πάνυ μὲν φιλῶ· παρόντος δὲ Λυσίου ἐμαυτόν σοι e. ἐμμελετᾶν παρέχειν οὐ πάνυ δέδοκται. ἀλλ' ἴθι, δεῖκνυε. ΦΑΙ. Παῦε. ἐκκέκρουκάς με ἐλπίδος, ὦ Σώκρατες, ἣν εἶχον ἐν σοὶ ὡς ἐγγυμνασόμενος. ἀλλὰ ποῦ δὴ βουλει καθιζόμενοι ἀναγνῶμεν; ΣΩ. Δεῦρ' ἐκτραπόμενοι κατὰ τὸν Ἰλισσὸν ἰῶ- p. μεν· εἶτα ὅπου ἂν δόξῃ ἐν ἡσυχίᾳ καθιζώμεθα. ΦΑΙ. Εἰς 229 a.

ſponte audire vellet, erat ad audiendum illata vi coacturus. Te ergo, Phaedre, rogarim, quod etiam non rogatus facturus es, mihi nunc ut facias. *Phae.* Satius eſt igitur, utcunque poſſum, dicere. videris enim non prius me dimiſſurus, quam pro viribus dixero. *So.* Vere nimium tibi videor. *Phae.* Sic igitur faciam. ſed enim verba quidem ipſa, o Socrates, non edidici: ſententias autem paene omnium, quibus amantem oſtendit a non amante differre, teneo equidem, eaſque breviter referre tibi per ordinem pergo, a principio exordiens. *So.* Oſtende, amabo, prius, quid in ſiniſtra habes ſub pallio. ſuſpicor enim, te librum ipſum habere. id ſi ſic eſt, ita cogita, me quidem te magni facere: attamen, praeſente Lyſia, me tibi auditorem praebere non eſt conſilium. ſed age, oſtende. *Phae.* Deſiſtas. magna de ſpe me deieciſti, o Socrates, quam in te habui, nempe ingenium una tecum exercitaturus. Sed ubi vis ſedentes legamus? *So.* Huc circa Ilyſſum fluvium divertamus. poſtea, ubi videbitur, ſedentes requieſcemus.

καιρὸν, ὡς ἔοικεν, ἀνυπόδητος ὢν ἔτυχον· σὺ μὲν γὰρ δὴ ἀεί. ῥᾷον οὖν ἡμῖν κατὰ τὸ ὑδάτιον βρέχουσι τοὺς πόδας ἰέναι, καὶ οὐκ ἀηδὲς, ἄλλως τε καὶ τήνδε τὴν ὥραν τοῦ ἔτους τε καὶ τῆς ἡμέρας. ΣΩ. Πρόαγε δὴ καὶ σκόπει ἅμα ὅπου καθιζησόμεθα. ΦΑΙ. Ὁρᾷς οὖν ἐκείνην τὴν ὑψηλοτάτην πλά-
b. τανον; ΣΩ. Τί μήν; ΦΑΙ. Ἐκεῖ σκιά τ' ἔστι καὶ πνεῦμα μέτριον, καὶ πόα καθίζεσθαι, ἢ ἐὰν βουλώμεθα κατακλίνηναι. ΣΩ. Προάγοις ἄν. ΦΑΙ. Εἰπέ μοι, ὦ Σώκρατες, οὐκ ἐνθένδε μέντοι ποθὲν ἀπὸ τοῦ Ἰλισσοῦ λέγεται ὁ Βορέας τὴν Ὠρείθυιαν ἁρπάσαι; ΣΩ. Λέγεται γάρ. ΦΑΙ. Ἆρ' οὖν ἐνθένδε; χαρίεντα γοῦν καὶ καθαρὰ καὶ διαφανῆ τὰ ὑδάτια φαίνεται, καὶ ἐπιτήδεια κόραις παίζειν παρ' αὐτά. ΣΩ. Οὐκ,
c. ἀλλὰ κάτωθεν, ὅσον δυ' ἢ τρία στάδια, ἔνθα πρὸς τὸ τῆς Ἀγραίας διαβαίνομεν. καί που τις ἔστι βωμὸς αὐτόθι Βορέου. ΦΑΙ. Οὐ πάνυ γενόμενα. ἀλλ' εἰπὲ πρὸς Διὸς, ὦ Σώκρατες· καὶ σὺ τοῦτο τὸ μυθολόγημα πείθῃ ἀληθὲς εἶναι; ΣΩ. Ἀλλ' εἰ ἀπιστοίην, ὥσπερ οἱ σοφοὶ, οὐκ ἂν ἄτοπος εἴην· εἶτα σοφιζόμενος φαίην αὐτὴν πνεῦμα Βορέου κατὰ τῶν πλησίον πετρῶν σὺν

Phae. Peropportune decalceatus ſum: nam tu quidem ſemper. facile igitur erit nobis per aquulam ipſam vadere, & non iniucundum, praeſertim hac anni amoenitate atque diei. *So.* Perge igitur, & ſimul conſpice, ubi ſedeamus. *Phae.* Vides illam altiſſimam platanum? *So.* Video. *Phae.* Ibi & umbra, & ventus modicus, & mollis herba, ubicunque ſedere, vel etiam recumbere velimus. *So.* Perge igitur. *Phae.* Dic mihi, o Socrates, nonne hic olim fertur Boreas ab Ilyſſo Orithyam rapuiſſe? *So.* Fertur quidem. *Phae.* An non hic grata, pura, & nitida apparet aquula, puellarumque apta ludis? *So.* Nequaquam: ſed paulo inferius ad duo vel tria ſtadia, ubi Dianae templum offendimus. atque ibidem ara quaedam eſt Boreae. *Phae.* Non adeo novi. ſed dic per Iovem, Socrates, tune hanc fabulam putas veram fuiſſe? *So.* Iam ſi non putarem, ut ſapientes, abſurdus non eſſem: deinde, rem commentans, ventum Boreae dicerem proximis e petris, cum

Φαρμακείᾳ παίζουσαν ὧσαι· καὶ οὕτω δὴ τελευτήσασαν, λεχθῆναι ὑπὸ τοῦ Βορέου ἁνάρπαξον γενέσθαι, ἢ ἐξ Ἄρειου d. πάγου. λέγεται γὰρ αὖ καὶ οὗτος ὁ λόγος, ὡς ἐκεῖθεν ἀλλ' οὐκ ἐνθένδε ἡρπάσθη. ἐγὼ δὲ, ὦ Φαῖδρε, ἄλλως μὲν τὰ τοιαῦτα χαρίεντα ἡγοῦμαι· λίαν δὲ δεινοῦ καὶ ἐπιπόνου καὶ οὐ πάνυ εὐτυχοῦς ἀνδρὸς, κατ' ἄλλο μὲν οὐδὲν, ὅτι δ' αὐτῷ ἀνάγκη μετὰ τοῦτο, τὸ τῶν Ἱππόκενταύρων εἶδος ἐπανορθοῦσθαι, καὶ αὖθις τὸ τῆς Χιμαίρας. καὶ ἐπιῤῥεῖ δὲ ὄχλος τοιούτων Γοργόνων, καὶ Πηγάσων, καὶ ἄλλων ἀμηχάνων πλήθει τε καὶ ἀτοπίᾳ τερατολόγων τινῶν φύσεων· αἷς εἴτις e. ἀπιστῶν προσβιβᾷ κατὰ τὸ εἰκὸς ἕκαστον, ἄτε ἀγροίκῳ τινὶ σοφίᾳ χρώμενος, πολλῆς αὐτῷ σχολῆς δεήσει. ἐμοὶ δὲ πρὸς ταῦτα οὐδαμῶς ἔστι σχολή. τὸ δὲ αἴτιον, ὦ φίλε, τουτου, τόδε· οὐ δυναμαί πω κατὰ τὸ Δελφικὸν γράμμα γνῶναι ἐμαυτόν· γελοῖον δή μοι φαίνεται, τοῦτο ἔτι ἀγνοοῦντα, τἀλ- p. λότρια σκοπεῖν. ὅθεν δὴ χαίρειν ἐάσας ταῦτα, πειθόμενος 230 a. δὲ τῷ νομιζομένῳ περὶ αὐτῶν, ὃ νῦν δὴ ἔλεγον, σκοπῶ οὐ

Pharmacia ludentem, Orithyam deieciſſe: atque ita mortuam, raptam hinc a Borea fingi, vel ex Areopago. eſt enim & alia fama, non ex hoc loco, ſed ex illo raptam fuiſſe. Ego autem, o Phaedre, iucunda quidem haec exiſtimo, ſed curioſi nimium atque anxii, nec porro fortunati viri, non ob aliam cauſam, quam quod ei neceſſe ſit, Centaurorum & Chimerae formam interpretari. atque etiam confluit turba Gorgonum & Pegaſorum, aliarumque monſtroſarum multitudo formarum. Itaque ſi quis haec non ita, ut narrantur, eſſe credat, ſed ad convenientem ſenſum ſingula velit traducere, ruſtica quadam ſapientia fretus, otio nimium indigebit. mihi vero ad haec otium non eſt, ob eam, o amice, cauſam, quia nondum queo, ſecundum Delphicum praeceptum, me ipſum cognoſcere. ridiculum igitur puto, cum mea ipſe ignorem, aliena perſcrutari velle. Quare, his dimiſſis, atque exiſtimationi, quam de his paulo ante narrabam, fide adhibita, non ipſa quidem, ſed me ipſum conſidero, utrum ego

ταῦτα, ἀλλὰ ἐμαυτὸν, εἴτέ τι θηρίον ὂν τυγχάνω, Τυφῶνος πολυπλοκώτερον, καὶ μᾶλλον ἐπιτέθυμμένον, εἴτε ἡμερώτερόν τε καὶ ἁπλούστερον ζῷον, θείας τινὸς καὶ ἀτύφου μοίρας φύσει μετέχον. ἀταρ, ὦ ἑταῖρε, μεταξὺ τῶν λόγων, ἆρ' οὐ τόδε ἦν τὸ δένδρον ἐφ' ὅπερ ἤγες ἡμᾶς; ΦΑΙ. Τοῦτο μὲν οὖν
b. αὐτό. ΣΩ. Νὴ τὴν Ἥραν καλή γε ἡ καταγωγή. ἥ τε γὰρ πλάτανος αὕτη, μάλα ἀμφιλαφής τε καὶ ὑψηλή, τοῦ τε ἄγνου τὸ ὕψος καὶ τὸ σύσκιον, πάγκαλον, καὶ ὡς ἀκμὴν ἔχει τῆς ἀνθης, ὡς ἂν εὐωδέστατον παρέχοι τὸν τόπον. ἥγε αὖ πηγὴ χαριεστάτη ὑπὸ τῆς πλατάνου ῥεῖ μάλα ψυχροῦ ὕδατος, ὥσγε τῷ ποδὶ τεκμήρασθαι. νυμφῶν τέ τινων καὶ Ἀχελώου ἱερὸν ἀπὸ τῶν κορῶν τε καὶ ἀγαλμάτων ἔοικεν
c. εἶναι. εἰ δ' αὖ βούλει, τὸ εὔπνουν τοῦ τόπου ὡς ἀγαπητόν τε καὶ σφόδρα ἡδὺ θερινόν τε καὶ λιγυρὸν ὑπηχεῖ τῷ τῶν τεττίγων χορῷ. πάντων δὲ κομψότατον τὸ τῆς πόας, ὅτι ἐν ἠέρμα πρσάντει ἱκανὴ πέφυκε κατακλινέντι τὴν κεφαλὴν παγκάλως ἔχειν. ὥστε ἄριστα σοὶ ἐξενήγηται, ὦ φίλε Φαῖδρε. ΦΑΙ.

sim beſtia aliqua Typhone multiplicior, ardentiorque, & furioſior: ſive placatius quoddam & ſimplicius animal, divinae cuiuſdam mitiſque ſortis natura particeps. At, o amice, nonne haec, ad quam inter loquendum pervenimus, ea erat arbor, ad quam nos ducebas? *Phae.* Haec certe ipſa. *So.* Per Iunonem, praeclara diverſio. nam platanus iſta patulis admodum ramis & procera eſt, & altitudo viticis illius, opacitaſque pulchra nimium & amoena, ac praecipuum nunc habet floreſcendi tempus, ut omnis circum locus ſuavitate compleatur odoris. fons quoque nitidiſſimus ſub platano fluit aquae admodum frigidae, ut ex tactu pedis coniectare licet: quem Nymphis & Acheloo ſacrum eſſe, a puppis & imaginibus iſtis coniecto. An non advertis praeterea, quam iucunda & dulcis hic aura ſpiret? aeſtivum inſuper quiddam & canorum cicadarum ſubreſonat choro. Sed omnium ornatiſſimum eſt, herbam ipſam aſpicere, ut ſenſim in prato acclivi caput hominis molliter recumbentis ſuſcipere aptam. Itaque

Σὺ δέ γε, ὦ θαυμάσιε, ἀτοπώτατός τις φαίνῃ. ἀτεχνῶς γάρ, ὃ λέγεις, ξεναγουμένῳ τινὶ καὶ οὐκ ἐπιχωρίῳ ἔοικας. οὕτως ἐκ τοῦ ἄστεος οὔτ' εἰς τὴν ὑπερορίαν ἀποδημεῖς, οὔτ' ἐξω τεί- d.
χους ἔμοιγε δοκεῖς τοπαράπαν ἐξιέναι. ΣΩ. Συγγίνωσκε δή μοι, ὦ ἄριστε. φιλομαθὴς γάρ εἰμι. τὰ μὲν οὖν χωρία καὶ τὰ δένδρα οὐδέν με θέλει διδάσκειν, οἱ δ' ἐν τῷ ἄστει ἄνθρωποι. σὺ μέντοι δοκεῖς μοι τῆς ἐμῆς ἐξόδου τὸ φάρμακον εὑρηκέναι. ὥσπερ γὰρ οἱ τὰ πεινῶντα θρέμματα θαλλὸν ἢ τινα καρπὸν προσίοντες ἄγουσι, σὺ ἐμοὶ λόγους οὕτω προτείνων ἐν βι- e.
βλίοις, τήν τε Ἀττικὴν φαίνῃ περιάξειν ἅπασαν καὶ ὅποι ἂν ἄλλοσε βουληθῶ. νῦν δ' οὖν ἐν τῷ παρόντι δεῦρ' ἀφικόμενος ἐγὼ μέν μοι δοκῶ κατακείσεσθαι, σὺ δ' ἐν ὁποίῳ σχήματι οἴει ῥᾷστα ἀναγνώσεσθαι, τοῦτο ἑλόμενος ἀναγίνωσκε. ΦΑΙ. Ἄκουε δή. Περὶ μὲν τῶν ἐμῶν πραγμάτων ἐπίσασαι, καὶ ὡς νομίζω συμφέρειν ἡμῖν τούτων γενομένων ἀκήκοας· ἀξιῶ δὲ μὴ διὰ τοῦτο ἀτυχῆσαι ὧν δέομαι, ὅτι οὐκ ἐραστὴς ὢν σοῦ p.
τυγχάνω. ὡς ἐκείνοις μὲν τότε μεταμέλει ὧν ἂν εὖ ποιήσω- 231
a.

tu perquam optime me quaſi hoſpitem deduxiſti, o amice Phaedre. *Phae.* O admirabilis vir, abſurdiſſimus quidem videris: & profecto, quod ais, hoſpiti cuidam deducto, non incolae, ſimilis es: ita neque fines noſtros tranſiſſe unquam, neque extra moenia ipſa egreſſus appares. *So.* Ignoſce mihi, optime Phaedre. nam diſcendi cupidus ſum. agri vero & arbores nihil docere me poſſunt, ſed homines, qui in urbe verſantur. Tu autem videris mihi exeundi incitamentum inveniſſe. ut enim fameſcentibus animalibus frondes aut fructus porrigentes, ea ducunt, ita tu mihi librum porrigens, per totam Atticam, & alio, quo velis, perduceres. Iam igitur, cum huc pervenerimus, recumbere mihi placet. tu autem, in qua potiſſimum figura videbitur commodiſſime poſſe legere, ea aſſumta leges. *Phae.* Audi igitur. Mearum quidem rerum ſtatus ſic ſe habet, & id maxime nobis, ut audiſti, conducturum puto. Arbitror autem, me non minus ob id abs te, ſi quid petiero, conſequi debere, quod amore tui captus

σιν, ἐπειδὰν τὰς ἐπιθυμίας παύσωνται τοῖς δὲ οὐκ ἔστι χρόνος
ἐν ᾧ μεταγνῶναι προσήκει. οὐ γὰρ ὑπ' ἀνάγκης ἀλλ' ἑκόν-
τες, ὡς ἂν ἄριστα περὶ τῶν οἰκείων βουλεύσαιντο, πρὸς τὴν
δύναμιν τὴν αὑτῶν εὖ ποιοῦσιν. ἔτι δὲ, οἱ μὲν ἐρῶντες σκο-
ποῦσιν ἅ τε κακῶς διέθεντο τῶν αὑτῶν διὰ τὸν ἔρωτα, καὶ
b. ἃ πεποιήκασιν εὖ· καὶ ὃν εἶχον πόνον προστιθέντες, ἡγοῦν-
ται πάλαι τὴν ἀξίαν ἀποδεδωκέναι χάριν τοῖς ἐρωμένοις. τοῖς
δὲ μὴ ἐρῶσιν οὔτε τὴν τῶν οἰκείων ἀμέλειαν διὰ τοῦτο ἔστι
προφασίζεσθαι, οὔτε τοὺς παρεληλυθότας πόνους ὑπολογίζε-
σθαι, οὔτε τὰς πρὸς τοὺς προσήκοντας διαφορὰς αἰτιάσα-
σθαι. ὥστε περιῃρημένων τοσούτων κακῶν, οὐδὲν ὑπολείπεται
ἀλλ' ἢ ποιεῖν προθύμως ὅ, τι ἂν αὐτοῖς οἴωνται πραξαντες
χαρίεισθαι. Ἔτι δὲ, εἰ διὰ τοῦτο ἄξιον τοὺς ἐρῶντας περὶ
c. πολλοῦ ποιεῖσθαι ὅτι τούτους μάλιστα φασὶ φιλεῖν ὧν ἂν ἐρῶ-
σι, καὶ ἑτοιμοί εἰσὶ καὶ ἐκ τῶν λόγων καὶ ἐκ τῶν ἔργων, τοῖς
ἄλλοις ἀπεχθανόμενοι, τοῖς ἐρωμένοις χαρίζεσθαι, ῥᾴδιον

minime ſum. nam amatores, cum primum libidinem expleverunt, collati beneficii poenitet: eos vero, qui amore irretiti non ſunt, non eſt cur poenitere conveniat unquam. non enim coacti, ſed ſponte, cum optime de ſuis rebus conſultaviſſent, pro rerum ſuarum facultate beneficia contulere. Praeterea amatores mente quandoque revolvunt, quam negligenter res ſuas propter amorem adminiſtraverint, & quae ſuo damno contulerint beneficia, quoſve labores ſubierint: ideoque dignam amatis gratiam retuliſſe exiſtimant. Sed hi, qui amore decepti non ſunt, neque rei domeſticae negligentiam, neque labores praeteritos, neque propinquorum diſcordias ſe incurriſſe amici cauſa conqueruntur. Quamobrem tantis malis ſublatis, nihil aliud reſtat, niſi ut promti ſint ad omnia, quae grata illis fore exiſtiment, peragenda. Aiunt plerique, amatores idcirco pluris facere oportere, quod maxima erga amatos caritate devincti ſint, ſemperque parati, tum dictis, tum factis amatis obſequi, etiamſi ex hoc ceteros omnes offenderint. quorum ſententiam veram non eſſe, hinc

γνῶναι εἰ ἀληθῆ λέγουσιν, ὅτι ὅσων ἂν ὕστερον ἐρασθῶσιν, ἐκείνους αὐτῶν περὶ πλείονος ποιήσονται· καὶ δῆλον ὅτι ἐὰν ἐκείνοις δοκῇ, καὶ τούτους κακῶς ποιήσουσι. καίτοι πῶς εἰκός ἐστι τοιοῦτον πρᾶγμα προίσθαι τοιαύτην ἔχοντι συμφορὰν, ἣν οὐδ' ἂν ἐπιχειρήσειεν οὐδεὶς ἔμπειρος ὢν ἀποτρέπειν; καὶ d. γὰρ αὐτοὶ ὁμολογοῦσι νοσεῖν μᾶλλον ἢ σωφρονεῖν, καὶ εἰδέναι ὅτι κακῶς φρονοῦσιν, ἀλλ' οὐ δύνασθαι αὑτῶν κρατεῖν. ὥστε πῶς ἂν εὖ φρονήσαντες, ταῦτα καλῶς ἔχειν ἡγήσωνται περὶ ὧν οὗτοι διακείμενοι βούλονται; Καὶ μὲν δὴ, εἰ μὲν ἐκ τῶν ἐρώντων τὸν βέλτιστον αἱροῖο, ἐξ ὀλίγων ἂν σοι ἡ ἐκλεξις εἴη· εἰ δ' ἐκ τῶν ἄλλων τὸν σαυτῷ ἐπιτηδειότατον, ἐκ πολλῶν. ὥστε πολὺ πλείων ἐλπὶς ἐν τοῖς πολλοῖς ὄντα τυ- e. χεῖν τὸν ἄξιον τῆς σῆς φιλίας. Εἰ τοίνυν τὸν νόμον τὸν καθεσηκότα δέδοικας, μὴ πυθομένων τῶν ἀνθρώπων ὄνειδός σοι γένηται, εἰκὸς ἐστι τοὺς μὲν ἐρῶντας, οὕτως ἂν οἰομένους καὶ ὑπὸ τῶν ἄλλων ζηλοῦσθαι, ὥσπερ αὐτοὺς ὑφ' αὑτῶν, p. ἐπαρθῆναι τῷ λέγειν, καὶ φιλοτιμουμένους ἐπιδείκνυσθαι 232 πρὸς ἅπαντας ὅτι οὐκ ἄλλως αὐτοῖς πεπόνηται· τοὺς δὲ μὴ a.

facile coniectamus, quod, translata ab aliis in alios benevolentia, posteriores amatos prioribus anteponunt: ac si recentiores iusserint, superiores malis afficiunt. Atqui quanam ratione decet tale quid illi concedere, quia ea calamitate affectus est, quam nunquam expertus quisquam concesserit? Enimvero & ipsi insanire potius, quam sapere, confitentur, & nosse praeterea insaniam suam, sed continere se minime posse. At vero qui sapiunt, quonam pacto eorum, qui sic affecti sunt, consilia voluntatesque probabunt? Praeterea si ex amantibus optimum eligere velis, ex paucis tibi optio dabitur: sin autem ex aliis commodissimum tibi sodalem quaesiveris, ex multis sane licebit eligere. Maior vero spes est, hominem amicitia tua dignum inter multos, quam inter paucos, repertum iri. Si igitur ex legum constitutione publicam vereris infamiam, meminisse oportet, amatores, qui ita se amandos censent, ut ipsi alios amant, solere palam, quod

ἐρῶντας, κρείττους αὐτῶν ὄντας, τὸ βέλτιστον ἀντὶ τῆς δόξης
τῆς παρὰ τῶν ἀνθρώπων αἱρεῖσθαι. Ἴσως δὲ, τοὺς μὲν ἐρῶν-
τας πολλοὺς ἀνάγκη πυθέσθαι καὶ ἰδεῖν ἀκολουθοῦντας τοῖς
ἐρωμένοις, καὶ ἔργον τοῦτο ποιουμένους, ὥστε ὅταν ὀφθῶσι
b. διαλεγόμενοι ἀλλήλοις, τότε αὐτοὺς οἴονται ἢ γεγενημένης
ἢ μελλούσης ἔσεσθαι τῆς ἐπιθυμίας συνεῖναι· τοὺς δὲ μὴ ἐρῶν-
τας οὐδ' αἰτιᾶσθαι διὰ τὴν συνουσίαν ἐπιχειροῦσιν, εἰδότες
ὅτι ἀναγκαῖόν ἐστιν ἢ διὰ φιλίαν τῳ διαλέγεσθαι, ἢ δι' ἄλ-
λην τινὰ ἡδονήν. Καὶ μὲν δὴ εἴ σοι δέος παρέσηκεν, ἡγουμένῳ
χαλεπὸν εἶναι φιλίαν συμμένειν, καὶ ἄλλῳ μὲν τρόπῳ διαφο-
ρᾶς γενομένης, κοινὴν ἀμφοτέροις καταστῆναι τὴν συμφο-
c. ράν, προεμένου δὲ σοῦ ἃ περὶ πλείστου ποιῇ, μεγάλην ἂν σοι
βλάβην γενέσθαι, εἰκότως ἂν τοὺς ἐρῶντας μᾶλλον φοβοῖο.
πολλὰ γὰρ αὐτοὺς ἐστὶ τὰ λυποῦντα, καὶ πάντ' ἐπὶ τῇ αὐ-
τῶν βλάβῃ νομίζουσι γίγνεσθαι. διόπερ καὶ τῆς πρὸς τοὺς ἄλ-
λους τῶν ἐρωμένων συνουσίας ἀποτρέπουσι, φοβούμενοι τοὺς
μὲν οὐσίαν κεκτημένους, μὴ χρήμασιν αὐτοὺς ὑπερβάλλων-
ται· τοὺς δὲ πεπαιδευμένους, μὴ συνέσει κρείττους γένωνται·

non fruſtra invigilaverint, gloriari: eos vero, qui non amant, quoniam continere ſe poſſunt, ſolere quod optimum eſt, potius quam rumorem multitudinis quaerere. Adde, quod vulgus, cum ſentiat amatores amatos ſequi aſſidue, atque hoc operae pretium putare, ſuſpicatur, ne turpis eos cupiditas ceperit, an forte iam capiat: non amantium vero familiaritatem improbare non audet. ſcit enim, neceſſarium eſſe, homines invicem, vel amicitiae, vel commoditatis alicuius cauſa, ſaepe verſari. Proinde ſi te metus invaſerit, putantem difficile fore, ut maneat amicitia, immo, ſimultate orta, accidere communem utriſque iacturam: te vero concedente, ea, quae multi facis, maxime laeſum iri: non iniuria amatores valde timebis. multa enim illos offendunt, atque omnia in ſui detrimentum accidere arbitrantur. quapropter amatos verſari inter alios prohibent, metuentes, ne divites eos opibus ſuperent, aut docti viri intelligentia praeſtent: atque omnino,

τῶν δ' ἄλλό τι κεκτημένων ἀγαθὸν τὴν δύναμιν ἑκάστου φυ- d.
λάττονται. πείσαντες μὲν οὖν ἀπέχεσθαί σε τούτοις, εἰς ἐρη-
μίαν φίλων καθιςᾶσιν· ἂν δὲ τὸ σαυτοῦ σκοπῶν, ἄμεινον
ἐκείνων φρονῆς, ἥξεις αὐτοῖς εἰς διαφοράν. ὅσοι δὲ μὴ ἐρῶν-
τες ἔτυχον, ἀλλὰ δι' ἀρετὴν ἔπραξαν ἃν ἐδέοντο, οὐκ ἂν
τοῖς συνοῦσι φθονοῖεν, ἀλλὰ τοὺς μὴ ἐθέλοντας μισοῖεν·
ἡγούμενοι ὑπ' ἐκείνων μὲν ὑπερορᾶσθαι, ὑπὸ τῶν συνόντων
δὲ ὠφελεῖσθαι. ὥστε πολὺ πλείων ἐλπὶς φιλίαν αὐτοῖς ἐκ τοῦ e.
πράγματος ἢ ἐχθρὰν γενήσεσθαι. Καὶ μὲν δὴ τῶν ἐρώντων
πολλοὶ πρότερον τοῦ σώματος ἐπεθύμησαν ἢ τὸν τρόπον ἔγνω-
σαν, καὶ τῶν ἄλλων οἰκείων ἔμπειροι ἐγένοντο. ὥστε ἄδηλον
εἰ ἔτι αὐτοῖς τότε βουλήσονται φίλοι εἶναι, ἐπειδὰν τῆς ἐπιθυ-
μίας παύσωνται· τοῖς δὲ μὴ ἐρῶσιν, οἳ καὶ πρότερον ἀλλήλοις p.
φίλοι ὄντες ταῦτα ἔπραξαν, οὐκ ἐξ ὧν ἂν εὖ παθωσι 233
ταῦτα εἰκὸς ἐλάττω τὴν φιλίαν αὐτοῖς ποιῆσαι, ἀλλὰ ταῦ- a.
τα μνημεῖα καταλειφθῆναι τῶν μελλόντων ἔσεσθαι. καὶ μὲν
δὴ βελτίονί σοι προσήκει γενέσθαι, ἐμοὶ πειθομένῳ, ἢ ἐραςῇ.

si qui egregium aliquid in se habere videantur, ab iis amatos procul arcere conantur. ita, ut ab iis abstineant, persuadentes, amicis omnibus privant. Tu vero, si rerum tuarum ratione habita, melius, quam illi, deliberaveris, ab eis dissenties, atque abibis. Qui autem amore tui capti non sunt, sed propter virtutem, quae oportet efficiunt, aliorum tibi familiaritatem minime invidebunt: sed potius oderint eos, qui tibi haerere noluerint, arbitrantes, ab illis quidem te despici, a familiaribus vero iuvari. Quamobrem multo maior spes est, amicitias ex hoc commercio, quam inimicitias, provenire. Accedit ad haec, quod amantium plurimi prius corpus cupiunt, quam aut mores, aut alia quaevis ad amatum pertinentia, noverint. quo efficitur, ut dubium sit, an exstincta cupiditate in amicitia perseverent. non amantibus autem, qui, cum prius etiam amici essent, non agebant oblectamenti gratia omnia, consentaneum est non adeo ardentem conflari benevolentiam, sed ipsorum officia monumenta futurorum accipi. Quin etiam

ἐκεῖνοι μὲν γὰρ καὶ παρὰ τὸ βέλτιστον τά τε λεγόμενα καὶ
τὰ πραττόμενα ἐπαινοῦσιν· τὰ μέν, δεδιότες μὴ ἀπέχθων-
b. ται· τὰ δέ, καὶ αὐτοὶ χεῖρον διὰ τὴν ἐπιθυμίαν γιγνώσκον-
τες. τοιαῦτα γὰρ ὁ ἔρως ἐπιδείκνυται. δυστυχοῦντας μέν, ἃ
μὴ λύπην τοῖς ἄλλοις παρέχει, ἀνιαρὰ ποιεῖ νομίζειν· εὐτυ-
χοῦντας δὲ καὶ τὰ μὴ ἡδονῆς ἄξια παρ' ἐκείνων ἐπαίνου
ἀναγκάζει τυγχάνειν. ὥστε πολὺ μᾶλλον ἐλεεῖν τοὺς ἐρα-
μένους ἢ ζηλοῦν αὐτοὺς προσήκει. ἐὰν δέ μοι πειθῇ, πρῶτον
μὲν, οὐ τὴν παροῦσαν ἡδονὴν θεραπεύων συνέσομαί σοι, ἀλ-
c. λὰ τὴν μέλλουσαν ὠφέλειαν ἔσεσθαι, οὐχ ὑπ' ἔρωτος ἡττώ-
μενος, ἀλλ' ἐμαυτοῦ κρατῶν· οὐδὲ διὰ σμικρὰ ἰσχυρὰν
ἔχθραν ἀναιρούμενος, ἀλλὰ διὰ μεγάλα βραδέως ὀλίγην ὀρ-
γὴν ποιούμενος· τῶν μὲν ἀκουσίων συγγνώμην ἔχων, τὰ δὲ
ἑκούσια πειρώμενος ἀποτρέπειν. ταῦτα γάρ ἐστι φιλίας πολὺν
χρόνον ἐσομένης τεκμήρια. εἰ δ' ἄρα σοὶ τοῦτο παρέσκευε,
ὡς οὐχ οἵόντε ἰσχυρὰν φιλίαν γενέσθαι, ἐὰν μή τις ἐρῶν
τυγχάνῃ, ἐνθυμεῖσθαι χρὴ ὅτι οὔτ' ἂν τοὺς υἱεῖς περὶ πολ-

melior evades, si mihi credideris, quam si amatori praebueris aures. nam amantes praeter modum dicta & facta tua laudibus efferunt: partim quia verentur, ne te offendant, partim quia propter cupiditatis ardorem in iudicando falluntur. talia enim quaedam amor designat: infortunatos quidem, ea etiam, quae aliis molestiam nullam praebent, tristia putare compellit; fortunatos autem, & voti sui compotes, quae laetitia digna non sunt, cogit tanquam iucunda laudare. Quapropter miserari eos magis oportet, quam diligere. Quod si mihi credideris, primo quidem non ob praesentem voluptatem, sed ob futuram utilitatem, adero tibi, non amori mancipatus, sed mihi imperans: neque ob minimas causas aliquando graves inimicitias suscitabo, immo vero ob maximas vix tandem commotus, involuntariis erratis ignoscam, voluntaria emendare & devitare conabor. haec enim sunt ad multum tempus duraturae amicitiae argumenta. Si autem tibi videtur, non posse firmam, nisi amore, amicitiam nasci, animad-

λοῦ ἐπισύμεθα, οὔτ' ἂν τοὺς πατέρας καὶ τὰς μητέρας, d.
οὔτ' ἂν πιστοὺς φίλους ἐκεκτήμεθα, οἳ οὐκ ἐξ ἐπιθυμίας τοιαύτης γεγόνασιν, ἀλλ' ἐξ ἑτέρων ἐπιτηδευμάτων. ἔτι δὲ εἰ χρὴ τοῖς δεομένοις μάλιστα χαρίζεσθαι, προσήκει καὶ τῶν ἄλλων μὴ τοὺς βελτίστους ἀλλὰ τοὺς ἀπορωτάτους εὖ ποιεῖν. μεγίστων γὰρ ἀπαλλαγέντες κακῶν, πλείστην χάριν αὐτοῖς εἴσονται. καὶ μὲν δὴ καὶ ἐν ταῖς ἰδίαις δαπάναις οὐ τοὺς φίλους ἄξιον παρακαλεῖν, ἀλλὰ τοὺς προσαιτοῦντας, καὶ τοὺς δεο- e.
μένους πλησμονῆς. ἐκεῖνοι γὰρ καὶ ἀγαπήσουσι καὶ ἀκολουθήσουσι, καὶ ἐπὶ τὰς θύρας ἥξουσι, καὶ μάλιστα ἡσθήσονται, καὶ σὺκ ἐλαχίστην χάριν εἴσονται, καὶ πολλὰ ἀγαθὰ αὐτοῖς εὔξονται. ἀλλ' ἴσως προσήκει οὐ τοῖς σφόδρα δεομένοις χαρίζεσθαι, ἀλλὰ τοῖς μάλιστα ἀποδοῦναι χάριν δυναμένοις· οὐδὲ τοῖς ἐρῶσι μόνον, ἀλλὰ τοῖς τοῦ πράγματος ἀξίοις· οὐδὲ ὅσοι τῆς p.
σῆς ὥρας ἀπολαύσονται, ἀλλὰ οἵτινες πρεσβυτέρῳ γενομένῳ 234
τῶν σφετέρων ἀγαθῶν μεταδώσουσιν· οὐδὲ οἳ διαπραξάμενοι, πρὸς τοὺς ἄλλους φιλοτιμήσονται, ἀλλ' οἵτινες αἰσχυνόμενοι πρὸς ἅπαντας σιωπήσονται· οὐδὲ τοῖς ὀλίγον χρόνον σπουδά-

vertere debes, quod hac ratione neque filios multi faceremus, neque parentes, neque fidos eos haberemus amicos, qui non ex amoris huius ardore, sed aliis quibuslibet studiis, facti essent amici. Ad haec, si egenis gratificandum est maxime, convenit omnino, non meliores homines, sed pauperrimos iuvare: maximis enim liberati malis, gratias ingentes habebunt. in propriis quoque & privatis sumtibus non convocandi amici erunt, sed esurientes & supplices. hi enim beneficium maximi facient, te sectabuntur, ad fores opperientur, applaudent, gratias ingentes agent, vota pro te fundent. Ceterum decet forsitan, non egenis maxime indulgere, sed his potius, qui referre gratiam possunt: neque amantibus solum, sed beneficio dignis: neque his, qui forma tua delectantur, sed qui tibi etiam seni profuturi sint: nec illis, qui voti sui compotes facti, palam sese iactabunt, sed qui verecundi tacebunt: neque illis, qui breve ad tempus te colent, sed qui

ζουσιν, ἀλλὰ τοῖς ὁμοίως διὰ παντὸς τοῦ βίου φίλοις ἐσομένοις· οὐδὲ οἵτινες, παυόμενοι τῆς ἐπιθυμίας, ἔχθρας πρόφασιν
b. ζητήσουσιν, ἀλλ' οἳ παυσάμενοι τῆς ὥρας, τότε τὴν αὑτῶν ἀρετὴν ἐπιδείξονται. σὺ οὖν τῶν τε εἰρημένων μέμνησο, καὶ ἐκεῖνο ἐνθυμοῦ, ὅτι τοὺς μὲν ἐρῶντας οἱ φίλοι νουθετοῦσιν, ὡς ὄντος κακοῦ τοῦ ἐπιτηδεύματος· τοῖς δὲ μὴ ἐρῶσιν οὐδεὶς πώποτε τῶν οἰκείων ἐμέμψατο, ὡς διὰ τοῦτο κακῶς βουλευομένοις περὶ ἑαυτῶν. ἴσως ἂν οὖν ἔροιό με εἰ ἅπασι σοὶ παρακινῶ τοῖς μὴ ἐρῶσι χαρίζεσθαι· ἐγὼ δὲ οἶμαι οὐδ' ἂν τὸν ἐρῶντα
c. πρὸς ἅπαντας σὲ κελεύειν τοὺς ἐρῶντας ταύτην ἔχειν τὴν διάνοιαν. οὔτε γὰρ τῷ λαμβάνοντι χάριτος ἴσης ἄξιον, οὔτέ σοι βουλομένῳ τοὺς ἄλλους λανθάνειν, ὁμοίως δυνατόν. δεῖ δὲ βλάβην μὲν ἀπ' αὐτοῦ μηδεμίαν, ὠφέλειαν δὲ ἀμφοῖν γίγνεσθαι. ἐγὼ μὲν οὖν ἱκανά μοι νομίζω τὰ εἰρημένα· εἰ δέ τι σὺ ὑποθῇς, ἡγούμενος παραλελεῖφθαι, ἐρώτα. Τί σοι φαίνεται, ὦ Σώκρατες, ὁ λόγος; οὐχ ὑπερφυῶς τά τε ἄλλα
d. καὶ τοῖς ὀνόμασιν εἰρῆσθαι; ΣΩ. Δαιμονίως μὲν οὖν, ὦ

per omnem vitam similiter diligent: neque illis, qui exstincto cupiditatis ardore, inimicitiarum occasiones inquirent, sed qui forma defloreſcente, virtutem suam constantiamque ostendent. Tu igitur, quae dixi, memento, atque id cogita, quod amantes ab amicis increpantur, quasi turpe quiddam sit amor. at eos, qui non amant, nullus familiarium ob id vituperat, quod hoc pacto male sibi ipsi consulant. Forsitan me rogabis, numquid omnibus non amantibus obtemperare te moneam. ego autem puto, neque ipsum quidem amatorem iussurum esse, te erga omnes amantes hanc eandem mentem habere. neque enim accipienti, id pari gratia dignum; neque tibi, ceteros latere volenti, similiter facile. oportet autem, iacturam quidem ex hoc nullam, utilitatem vero ad utrosque aliquam provenire. Ego iam dicta sufficere arbitror: si quid autem tibi addendum videtur, interroga. Quid tibi videtur, o Socrates? nonne mirifice oratio haec & ceteris rebus, & verbis composita est? *So.* Mirum in mo-

ἑταῖρε, ὥστέ με ἐκπλαγῆναι. καὶ τοῦτο ἐγὼ ἔπαθον διά σε, ὦ Φαῖδρε, πρός σε ἀποβλέπων, ὅτι ἐμοὶ ἐδόκεις γάννυσθαι ὑπὸ τοῦ λόγου μεταξὺ ἀναγινώσκων. ἡγούμενος γάρ σε μᾶλλον ἢ ἐμὲ ἐπαΐειν περὶ τῶν τοιούτων, σοὶ εἰπόμην· καὶ ἑπόμενος συνεβάκχευσα μετὰ σοῦ, τῆς θείας κεφαλῆς. ΦΑΙ. Εἶεν· οὕτω δὴ δοκεῖ παίζειν; ΣΩ. Δοκῶ γάρ σοι παίζειν, καὶ οὐχὶ ἐσπουδακέναι; ΦΑΙ. Μηδαμῶς, ὦ Σώκρατες· ἀλλ' ὡς e. ἀληθῶς εἰπὲ πρὸς Διὸς φιλίου, οἴει ἄν τινα ἔχειν εἰπεῖν ἄλλων τῶν Ἑλλήνων ἕτερα μείζω τούτων καὶ πλείω περὶ τοῦ αὐτοῦ πράγματος; ΣΩ. Τί δέ; καὶ ταύτῃ δεῖ ὑπ' ἐμοῦ τε καὶ σοῦ τὸν λόγον ἐπαινεθῆναι, ὡς τὰ δέοντα εἰρηκότος τοῦ ποιητοῦ; ἀλλ' οὐκ ἐκείνῃ μόνον, ὅτι σαφῆ καὶ στρογγύλα καὶ ἀκριβῶς ἕκαστα τῶν ὀνομάτων ἀποτετόρνευται; εἰ γὰρ δεῖ, συγχωρητέον χάριν σήν. ἐπεὶ ἐμέ γε ἔλαθεν ὑπὸ τῆς ἐμῆς οὐδενείας. τῷ γὰρ ῥητορικῷ αὐτοῦ μόνῳ τὸν νοῦν προσεῖχον. P. 235 τοῦτο δὲ οὐδὲ αὐτὸν ᾠμην Λυσίαν οἴεσθαι ἱκανὸν εἶναι. καὶ a. δὴ οὖν μοι ἔδοξεν, ὦ Φαῖδρε, (εἰ μή τι σὺ ἄλλο λέγεις) δὶς

dum, o amice, ita ut obſtupuerim. atque ita, o Phaedre, propter te affectus ſum, dum te reſpicerem, quia mihi videbare in legenda oratione geſtire. putans ergo, te talia magis quam me cognoſcere, te ſecutus, o divinum caput, ipſe quoque tecum una bacchatus ſum. *Phae.* Siccine tibi videtur iocandum? *So.* Ego tibi iocari videor? an non ſerio loqui? *Phae.* Nullo modo, o Socrates. ſed verum dic, per eum, qui amicis praeeſt, Iovem, putaſne quemquam Graecorum hac ipſa de re plura atque maiora dicere poſſe? *So.* Quid vero? laudandum ſcriptorem eo ſolum cenſemus, quia ea dixerit, quae oportuerit? ac non eo ſolum, quia dilucide, & rotunde, & eleganter ſingula verba poſuerit? ſi enim vis, tui gratia concedendum eſt. nam me quidem ob ignaviam meam & imperitiam latuit. eloquentiae enim dicentis ſolum intendi: ad id vero nec Lyſiam quidem ipſum ſufficere ſe exiſtimare putabam. Profecto mihi viſus eſt, o Phaedre, niſi tu aliud dicas, bis & ter eadem repetiſſe, quaſi deeſſet

καὶ τρὶς τὰ αὐτὰ εἰρηκέναι, ὡς οὐ πάνυ εὐπορῶν τοῦ πολλὰ λέγειν περὶ τοῦ αὐτοῦ· ἴσως οὐδὲν αὐτῷ μέλον τοῦ τοιούτου· καὶ ἐφαινετο δή μοι νεανιεύεσθαι, ἐπιδεικνύμενος ὡς οἷόστε ἂν ταῦτα ἑτέρως τε καὶ ἑτέρως λέγων, ἀμφοτέρως εἰπεῖν
b. ἄριστα. ΦΑΙ. Οὐδὲν λέγεις, ὦ Σώκρατες. αὐτὸ μὲν γὰρ τοῦτο καὶ μάλιστα ὁ λόγος ἔχει. τῶν γὰρ ἐνόντων ἀξίως ῥηθῆναι ἐν τῷ πράγματι οὐδὲν παραλέλοιπεν. ὥστε παρὰ τα ἐκείνῳ εἰρημένα μηδέν' ἄν ποτε δύνασθαι εἰπεῖν ἄλλα πλείω καὶ πλείονος ἄξια. ΣΩ. Τοῦτο ἐγώ σοι οὐκέτι οἷόστε ἔσομαι παίθεσθαι. παλαιοὶ γὰρ καὶ σοφοὶ ἄνδρες τε καὶ γυναῖκες περὶ αὐτῶν εἰρηκότες καὶ γεγραφότες ἐξελέγξουσί με, ἐάν σοι
c. χαριζόμενος συγχωρῶ. ΦΑΙ. Τίνες οὗτοι; καὶ ποῦ σὺ βέλτιω τούτων ἀκήκοας; ΣΩ. Νῦν μὲν οὕτως οὐκ ἔχω εἰπεῖν· δῆλον δὲ ὅτι τινῶν ἀκήκοα, ἢ που Σαπφοῦς τῆς καλῆς, ἢ Ἀνακρέοντος τοῦ σοφοῦ, ἢ καὶ συγγραφέων τινῶν. πόθεν δὴ τεκμαιρόμενος λέγω; πλῆρές περ, ὦ δαιμόνιε, τὸ στῆθος ἔχων, αἰσθάνομαι παρὰ ταῦτα ἂν ἔχειν εἰπεῖν ἕτερα μὴ χείρω. ὅτι μὲν οὖν παρά τε ἐμαυτοῦ οὐδὲν αὐτῶν ἐννενόηκα,

illi copia eadem de re multa dicendi, vel quasi nulla sibi de hoc cura esset. ac mihi visus est sese ostentare, quod posset eandem rem aliter & aliter dicendo utroque modo luculenter dicere. *Phae.* Nihil ais, o Socrates. hoc enim maxime oratio habuit. nam quae erant in re, de quibus commode dici posset, eorum nihil praetermissum est, ut praeter illa, quae ab hoc dicta sunt, nemo eadem de re plura aut probabiliora dicere possit. *So.* Id ego non iam amplius confiteri possum. prisci enim sapientesque viri & mulieres, qui de his dixerunt scripseruntque, redarguent me, si tui gratia concessero. *Phae.* Quidnam isti? & ubi tu meliora audisti? *So.* In praesentia quidem non satis memini: sed profecto alicubi audivi, vel Sapphus pulchrae, vel sapientis Anacreontis, vel scriptorum aliorum. Unde vero hoc ipse coniecto? quia plenum, o beate, mihi sentio pectus aliorum, & non deteriorum, quae dici possunt. quod vero ex me ipso

εὖ οἶδα, συνειδὼς ἐμαυτῷ ἀμαθίαν. λείπεται δή, οἶμαι, ἐξ ἀλλοτρίων ποθὲν ναμάτων διὰ τῆς ἀκοῆς πεπληρῶσθαί με, δίκην ἀγγείου· ὑπὸ δὲ κωθείας αὖ καὶ αὐτὸ τοῦτο ἐπιλέ- d.
λησμαι ὅπως τε καὶ ὧντινων ἤκουσα. ΦΑΙ. Ἀλλ', ὦ γενναιότατε, κάλλιστα εἴρηκας. σὺ γὰρ ἐμοὶ ὧντινων μὲν καὶ ὅπως ἤκουσας, μηδ' ἂν κελεύω εἴπῃς. τοῦτο δὲ αὐτὸ ὃ λέγεις, ποίησον· τῶν ἐν τῷ βιβλίῳ βελτίω τε καὶ μὴ ἐλάττω ἕτερα ὑποσχέσθαι εἰπεῖν, τούτων ἀπεχόμενος. καί σοι ἐγὼ, ὥσπερ οἱ ἔννέα ἄρχοντες, ὑπισχνοῦμαι χρυσῆν εἰκόνα ἰσο- e.
μέτρητον εἰς Δελφοὺς ἀναθήσειν, οὐ μόνον ἐμαυτοῦ, ἀλλὰ καὶ σήν. ΣΩ. Φιλτατος εἶ, καὶ ὡς ἀληθῶς χρυσοῦς, ὦ Φαῖδρε, εἴ με οἴει λέγειν ὡς Λυσίας τοῦ παντὸς ἡμάρτηκε, καὶ οἷόν τε δὴ παρὰ ταῦτα πάντα ἄλλα εἰπεῖν. τοῦτο δὲ οἶμαι οὐδ' ἂν τὸν φαυλότατον ποθεῖν συγγραφέα. αὐτίκα, περὶ οὗ ὁ λόγος, τί οἴει λέγοντα ὡς χρὴ μὴ ἐρῶντι μᾶλλον ἢ ἐρῶντι χαρίζεσθαι, παρέντα τοῦ μὲν τὸ φρόνιμον ἐγκωμιά-

nihil tale cognoverim, intelligo, meae inſcitiae conſcius. Reſtat igitur, me inſtar vaſis haec ex aliorum fontibus hauſiſſe, ſed iterum ob ruditatem meam, & quomodo, & a quibus perceperim, oblitum eſſe. *Phae.* Optime, o generoſe, dixiſti. a quibus enim acceperis, & quomodo, neque etiam ſi iuſſero, dicas. At illud dicas, quod profiteris, rurſus habere te plura & praeſtantiora his, quae a Lyſia ſcripta ſunt. Quod ſi feceris, ab iſtis abſtinens, auream tibi promitto in Delphis ſtatuam aequilibrem, quod novem illi principes ſolent, non meam ſolum, ſed tuam etiam, ponere. *So.* Amiciſſimus es, & revera aureus, o Phaedre, ſi me dicere putas Lyſiam omnino aberraviſſe, ac poſſe praeter haec omnia meliora alia dici. hoc enim ne deterrimo quidem ſcriptori arbitror evenire. Principio, quantum attinet ad id, de quo ſermo habetur, putaſne aliquem, probare volentem, non amanti magis, quam amanti, gratificandum eſſe, niſi probaverit, non amantem prudentem eſſe, amantem vero inſanum, & illum quidem laudaverit, hunc vituperaverit, quae ſane

p. ζειν, τοῦ δὲ τὸ ἄφρον ψέγειν, ἀναγκαῖα γοῦν ὄντα, εἶτ' ἄλλ'
236 ἄττα ἔξειν λέγειν; ἀλλ' οἶμαι, τὰ μέντοι τοιαῦτα ἐατέα
a. καὶ συγγνωστέα λέγοντι· καὶ τῶν μὲν τοιούτων οὐ τὴν εὕρεσιν
ἀλλὰ τὴν διάθεσιν ἐπαινετέον· τῶν δὲ μὴ ἀναγκαίων τε καὶ
χαλεπῶν εὑρεῖν πρὸς τῇ διαθέσει καὶ τὴν εὕρεσιν. ΦΑΙ. Συγ-
χωρῶ ὃ λέγεις. μετρίως γάρ μοι δοκεῖς εἰρηκέναι. ποιήσω οὖν
καὶ ἐγὼ οὕτω· τὸ μὲν τὸν ἐρῶντα τοῦ μὴ ἐρῶντος μᾶλλον
b. νοσεῖν, δώσω τοι ὑποτίθεσθαι· τῶν δὲ λοιπῶν ἕτερα πλείω καὶ
πλείονος ἄξια εἰπὼν τῶν Λυσίου, παρὰ τὸ Κυψελιδῶν ἀνά-
θημα σφυρήλατος ἐν Ὀλυμπίᾳ στῆθι. ΣΩ. Ἐσπούδακας,
ὦ Φαῖδρε, ὅτι σοῦ τῶν παιδικῶν ἐπελαβόμην ἐρεσχελῶν σε·
καὶ εἶει δή με ὡς ἀληθῶς ἐπιχειρήσειν εἰπεῖν παρὰ τὴν ἐκεί-
νου σοφίαν ἕτερόν τι ποικιλώτερον. ΦΑΙ. Περὶ μὲν τούτου,
ὦ φίλε, εἰς τὰς ὁμοίας λαβὰς ἐλήλυθας. ῥητέον μὲν γάρ σοι
c. παντὸς μᾶλλον οὕτως ὅπως οἷός τε εἶ· ἵνα δὲ μὴ τὸ τῶν κω-
μῳδῶν Φορτικὸν πρᾶγμα ἀναγκαζώμεθα ποιεῖν, ἀνταποδι-
δόντες ἀλλήλοις, εὐλαβήθητι, καὶ μὴ βούλου με ἀναγκά-

neceſſaria ſunt, alia deinde quae dicat habiturum? Sed exiſtimo, haec talia ſinenda, & ſcriptoribus ignoſcenda eſſe; nec inventionem horum, ſed diſpoſitionem, eſſe laudandam. at illorum, quae non ſunt neceſſaria, & difficulter reperiuntur, non diſpoſitionem ſolum, ſed inventionem etiam, laudandam puto. *Phae.* Concedo, quod ais. tolerabiliter enim dixiſſe videris. faciam igitur & hoc ipſe modo. amantem enim, quam non amantem, magis aegrotare, praeſupponere tibi permittam. in aliis autem ſi plura & praeſtantiora, quam Lyſias, dixeris, iuxta Cypſelidas in Olympia affabre factus ſtabis. *So.* Serio id accipis, o Phaedre, quod virum tibi dilectiſſimum reprehendi. ego vero tecum iocabar: ac me putas revera hoc aggreſſurum eſſe, ut aliud quiddam praeter illius ſapientiam ornatius & copioſius dicam. *Phae.* Hac de re, o amice, in eaſdem anſas perveniſti. dicendum tibi omnino eſt, utcunque poteris. Ac, ut ne moleſtam illam rem comoedorum facpius invicem reſpondere compel-

σαι λέγειν ἐκεῖνο, τὸ, εἰ ἐγὼ, ὦ Σώκρατες, Σωκράτην ἀγνοῶ, καὶ ἐμαυτοῦ ἐπιλέλησμαι· καὶ ὅτι ἐπεθύμει μὲν λέγειν, ἐθρύπτετο δέ. ἀλλὰ διανοήθητι ὅτι ἐντεῦθεν οὐκ ἀπιμεν, πρὶν ἂν σὺ εἴπῃς ἃ ἔφησθα ἐν τῷ στήθει ἔχειν. ἐσμὲν δὲ μόνω μὲν ἐν ἐρημίᾳ, ἰσχυρότερος δὲ ἐγὼ καὶ νεώτερος. ἐκ δ' ἁπάντων τούτων ξύνες ὅ σοι λέγω· καὶ μηδαμῶς πρὸς βίαν βουληθῇς μᾶλλον ἢ ἑκὼν λέγειν. ΣΩ. Ἀλλ', ὦ μακάριε Φαῖδρε, γελοῖος ἔσομαι παρ' ἀνδρὸς ποιητὴν ἰδιώτης αὐτοσχεδιάζων περὶ τῶν αὐτῶν. ΦΑΙ. Οἶσθ' ὡς ἔχει; παῦσαι πρός με καλλωπιζόμενος. σχεδὸν γὰρ ἔχω ὃ εἰπὼν ἀναγκάσω σε λέγειν. ΣΩ. Μηδαμῶς τοίνυν εἴπῃς. ΦΑΙ. Οὔκ; ἀλλὰ καὶ δὴ λέγω. ὁ δέ μοι λόγος, ὅρκος ἔσαι. ὄμνυμι γάρ σοι τινὰ μέντοι τινὰ θεῶν, εἰ βούλει, τὴν πλάτανον ταυτηνί, ἢ μὴν, ἐάν μοι μὴ εἴπῃς τὸν λόγον ἐναντίον αὐτῆς ταύτης, μηδέποτε σοὶ ἕτερον λόγον μηδένα μηδενὸς μήτε ἐπιδείξειν, μήτ' ἐξαγγελεῖν. ΣΩ. Βαβαὶ, ὦ μιαρὲ, ὡς εὖ ἀνεῦρες τὴν ἀνάγκην

lamur, Cave, neve illud me dicere cogas: Si ego, o Socrates, Socratem ignoro, mei quoque ipsius oblitus sum: & Cupiebat quidem, sed simulabat gravari. Demum ita cogita, non esse nos prius abituros hinc, quam tu dixeris, quae habere aiebas in pectore meliora. Sumus enim soli, & quidem in solitudine. ego autem iunior, & robustior. Ex his omnibus intellige, quid dicam: nec velis coactus potius, quam sponte, loqui. *So.* At enim, o beate Phaedre, ridiculus ero, si ipse rudis cum optimo illo scriptore contendero, ac de rebus eisdem ex tempore disputavero. *Phae.* Scis, ut se res habet? desine apud me gloriari. ferme enim inveni, per quae te compellam. *So.* Ne dicas, obsecro. *Phae.* Ne dicam? immo vero iam dico. Ad iusiurandum me vertam. Iuro tibi per aliquem Deum, vel, si vis, per hanc platanum, nisi tu dicas in eius conspectu, me nunquam posthac cuiusquam orationem tibi ostensurum esse, vel nuntiaturum. *So.* Papae, o invenuste, quam pulchre reperisti, qua arte virum collocutionum studiosum & cupidum, ad quidvis agendum compel-

ἀνδρὶ Φιλολόγῳ ποιεῖν ὃ ἂν κελεύῃς. ΦΑΙ. Τί δῆτα ἔχων
ἐρέφῃ; ΣΩ. Οὐδεν ἔτι, ἐπειδὴ σύ γε ταῦτα ὀμώμοκας. πῶς
p. γὰρ ἂν οἷόστ' εἴην τοιαύτης ζοίνης ἀπέχεσθαι; ΦΑΙ. Λέγε
237 δή. ΣΩ. Οἶσθ' οὖν ὡς ποιήσω; ΦΑΙ. Τοῦ πέρι; ΣΩ. Ἐγκα-
a. λυψάμενος ἐρῶ, ἵνα ὅτι τάχιστα διαδράμω τὸν λόγον, καὶ
μὴ, βλέπων πρός σε, ὑπ' αἰσχύνης διαπορῶμαι. ΦΑΙ. Λέ-
γε μόνον· τὰ δ' ἄλλα ὅπως βούλει ποίει. ΣΩ. Ἄγετε δή, ὦ
Μοῦσαι, εἴτε δι' ᾠδῆς εἶδος λίγειαι, εἴτε διὰ γένος μουσικὸν τὸ
Λιγύων, ταύτην ἔσχετ' ἐπωνυμίαν, ξύμμοι λαβέσθε τοῦ
μύθου, ὃν με ἀναγκάζει ὁ βέλτιστος οὑτοσὶ λέγειν· ἵνα ὁ
b. ἑταῖρος αὐτοῦ καὶ πρότερον δοκῶν τούτῳ σοφὸς εἶναι, νῦν
ἔτι μᾶλλον δόξῃ. Ἦν οὕτω δὴ παῖς, μᾶλλον δὲ μειρακίσκος
ἁπαλὸς, μάλα καλός· τούτῳ δὲ ἦσαν ἐρασταὶ πάνυ πολλοί·
εἷς δέ τις αὐτῶν αἱμύλος ἦν· ὃς οὐδενὸς ἧττον ἐρῶν, ἐπεπεί-
κει τὸν παῖδα ὡς οὐκ ἐρῴη· καί ποτε αὐτὸν αἰτῶν, ἔπειθε
τοῦτ' αὐτὸ, ὡς μὴ ἐρῶντι πρὸ τοῦ ἐρῶντος δέοι χαρίζεσθαι.
ἔλεγέ τε ὧδε· Περὶ παντὸς, ὦ παῖ, μία ἀρχὴ τοῖς μέλλουσι

leres! *Phae.* Quid ergo, cum talis ſis, tergiverſaris? *So.* Minime amplius, quandoquidem tu ita iuraſti. qui enim quirem ab his epulis abeſſe? *Phae.* Dic igitur. *So.* Scis, quid agam? *Phae.* Qua de re dicis? *So.* Obvolutus dicam, ut celerius tranſcurram ſermonem, nec, ad te reſpiciens, ob pudorem impediar. *Phae.* Dicas modo: cetera, ut vis, ſic facito. *So.* Iam agite, o Muſae dulces, ſive propter cantus ſpeciem, ſive propter muſicum genus illud ſuavium & ſtridularum cognomen habetis, meum adiuvate ſermonem, quem me dicere optimus iſte compellit: ut eius ſodalis, qui primo huic ſapiens videbatur, nunc magis etiam videatur. Erat puer quidam, immo vero adoleſcentulus, egregia indole praeditus: huic autem erant amatores complurimi: quorum unus, vir ſane verſutus, cum nihilo quam ceteri minus eum amaret, perſuaſit puero, ſe non amare. cumque flagitaret aliquando ipſum illud ipſum, non amanti potius, quam amanti, gratificandum eſſe perſuaſit, atque ita inquit: In omnibus,

καλῶς βουλεύεσθαι· εἰδέναι δεῖ περὶ οὗ ἂν ᾖ ἡ βουλή, ἢ ἅπαν-
τος ἁμαρτάνειν ἀνάγκη. τοὺς δὲ πολλοὺς λέληθεν ὅτι οὐκ c.
ἴσασι τὴν οὐσίαν ἑκάστου. ὡς οὖν εἰδότες, οὐ διομολογοῦνται
ἐν ἀρχῇ τῆς σκέψεως, προελθόντες δὲ τὸ εἰκὸς ἀποδιδόασιν·
οὔτε γὰρ ἑαυτοῖς οὔτε ἄλλοις ὁμολογοῦσιν. ἐγὼ οὖν καὶ σὺ
μὴ πάθωμεν ὃ ἄλλοις ἐπιτιμῶμεν· ἀλλ' ἐπειδή σοι καὶ ἐμοὶ
ὁ λόγος πρόκειται, πότερα ἐρῶντι, ἢ μὴ, μᾶλλον εἰς φιλίαν
ἰτέον περὶ ἔρωτος, οἷόν τέ ἐστι, καὶ ἣν ἔχει δύναμιν, ὁμολο-
γιᾳ θέμενοι ὁρον, εἰς τοῦτο ἀποβλέποντες καὶ ἀναφέροντες, d.
τὴν σκέψιν ποιώμεθα, εἴτε ὠφέλειαν εἴτε βλάβην παρέχει.
ὅτι μὲν οὖν δὴ ἐπιθυμία τις ὁ ἔρως, ἅπαντι δῆλον· ὅτι δ' οὗ
καὶ μὴ ἐρῶντες ἐπιθυμοῦσι τῶν καλῶν, ἴσμεν. τῷ δὴ τὸν
ἐρῶντά τε καὶ μὴ, κρινοῦμεν, δεῖ αὖ νοῆσαι. ὅτι ἡμῶν ἐν
ἑκάστῳ δύω τινὲ ἐσὸν ἰδέα ἄρχοντε καὶ ἄγοντε, οἷν ἑπόμεθα
ᾗ ἂν ἄγητον· ἡ μὲν, ἔμφυτος οὖσα ἐπιθυμία ἡδονῶν· ἄλλη
δὲ, ἐπίκτητος δόξα, ἐφιεμένη τοῦ ἀρίστου. τούτω δὲ ἐν ἡμῖν

o puer, unicum principium iis, qui bene conſulere volunt, eſt intelligere, quid illud ſit, de quo conſulant, vel omnino aberrare neceſſe. pleroſque vero latet, quod neſciant rei ſubſtantiam. tanquam igitur ſcientes, in diſquiſitionis principio non declarant: procedentes vero, quod par eſt, conſequuntur, ut nec ſibi, nec aliis conſentanea loquantur. Tibi igitur & mihi ne accidat, quod in aliis damnamus, poſtquam nobis diſcrepatio eſt, utrum cum amante potius, quam non amante amicitia ſit ineunda: quid amor ipſe ſit, & quam vim habeat, definitione ex conſenſu poſita cognoſcamus; atque ad id reſpicientes referenteſque conſideremus, emolumentumne, an detrimentum afferat. Quod igitur cupiditas quaedam ſit amor, omnibus manifeſtum: quod vero etiam qui non amant, pulchra ſeu bona cupiunt, non ignoramus. Ut igitur quo amans a non amante diſcernitur, intelligamus, ſcire oportet, duas in unoquoque noſtrúm ideas eſſe dominantes atque ducentes, quas ſequimur, quocunque ducunt. Altera quidem eſt innata nobis voluptatum cupiditas: altera vero,

c. τοτὲ μὲν ὁμονοεῖτον, ἔτι δὲ ὅτε στασιάζετον· καὶ τοτὲ μὲν ἡ
ἑτέρα, ἄλλοτε δὲ ἡ ἑτέρα κρατεῖ. δόξης μὲν οὖν ἐπὶ τὸ ἄρι-
στον λόγῳ ἀγούσης, καὶ κρατούσης τῷ κράτει, σωφροσύνη
p. ὄνομα. ἐπιθυμίας δὲ ἀλόγως ἐλκούσης ἐπὶ ἡδονὰς, καὶ ἀρξά-
238 σης ἐν ἡμῖν, τῇ ἀρχῇ ὕβρις ἐπωνομάσθη. ὕβρις δὲ δὴ πολυώνυ-
a. μον· πολυμερὲς γὰρ καὶ πολυειδές. καὶ τούτων τῶν ἰδεῶν ἐκ-
πρεπὴς ἡ ἂν τύχῃ γενομένη, τὴν αὑτῆς ἐπωνυμίαν ὀνομαζό-
μενον τὸν ἔχοντα παρέχεται, οὔτε τινὰ καλὴν, οὔτε ἐπαξίαν
κεκλῆσθαι. περὶ μὲν γὰρ ἡδωδὴν κρατοῦσα τοῦ λόγου τε τοῦ
ἀρίστου καὶ τῶν ἄλλων ἐπιθυμιῶν, ἐπιθυμία, γαστριμαργία
b. τε, καὶ τὸν ἔχοντα, ταυτὸν τοῦτο κεκλημένον παρέξεται.
περὶ δὲ αὖ μέθας τυραννεύσασα, τὸν κεκτημένον ταύτῃ
ἄγουσα, δῆλον οὗ τευξεται προσρήματος· καὶ τἄλλα δὴ τὰ
τούτων ἀδελφὰ καὶ ἀδελφῶν ἐπιθυμιῶν ὀνόματα, τῆς ἀεὶ
δυναζευούσης, ᾗ προσήκει καλεῖσθαι πρόδηλον. ἧς δ' ἕνεκα

acquisita opinio, optimi affectatrix. Hae autem in nobis quandoque consentiunt, quandoque in seditione & discordia sunt: & modo haec, modo altera pervincit. Quando igitur opinio ad id, quod optimum est, ratione ducit ac superat, haec ipsa vivendi potestas temperantia nominatur. Quando vero cupiditas absque ratione ad voluptates trahit, nobisque imperat, imperium hoc libido vocatur. libido autem cum multiformis sit multarumque partium, multas utique appellationes habet: & harum formarum quae maxime in aliquo exuberat, sua illum appellatione nominatum reddit, nec ullum suis decorum aut dignum tribuit cognomentum. circa cibos enim superatrix rationis, & aequi bonique, praeterea aliarum cupiditatum cupiditas, ingluvies appellatur: & eum, qui hanc habet, hac ipsa appellatione nuncupatum reddit. Rursus quae circa ebrietatem tyrannidem exercet, ac eum, quem possidet, hac ducit, patet quod habebit cognomen. atque alia horum germana, & germanarum cupiditatum nomina, ubi aliqua maxime dominatur, quomodo ponenda sint, manifestum est. Cuius autem gratia

πάντα τὰ πρόσθεν εἰρηται, σχεδὸν μὲν ἤδη φανερόν· λεχθὲν δὲ ἢ μὴ λεχθὲν πᾶν πως σαφέστερον. ἡ γὰρ ἄνευ λόγου, δόξης ἐπὶ τὸ ὀρθὸν ὁρμώσης κρατήσασα ἐπιθυμία, πρὸς ἡδονὴν c.
ἀχθεῖσα καλλους, καὶ ὑπὸ αὖ τῶν ἑαυτῆς συγγενῶν ἐπιθυμιῶν ἐπὶ σωμάτων κάλλος, ἐρρωμένως ῥωσθεῖσα, νικήσασα ἀγωγὴ, ἀπ' αὐτῆς τῆς ῥώμης ἐπωνυμίαν λαβοῦσα, ἔρως ἐκλήθη. ἀτὰρ, ὦ φίλε Φαῖδρε, δοκῶ τι σοὶ, ὥσπερ ἐμαυτῷ, παθος πεπονθέναι; ΦΑΙ. Πάνυ μὲν οὖν, ὦ Σώκρατες, παρὰ τὸ εἰωθὸς εὔροιά τις σὲ εἴληφε. ΣΩ. Σιγῇ τοίνυν μου ἄκουε. τῷ ὄντι γὰρ θεῖος ἔοικεν ὁ τόπος εἶναι. ὥστε ἐὰν ἄρα πολ- d.
λάκις νυμφόληπτος προϊόντος τοῦ λόγου γένωμαι, μὴ θαυμάσῃς. τὰ νῦν γὰρ οὐκέτι πόρρω διθυράμβων ἐσέγγομαι. ΦΑΙ. Ἀληθέστατα λέγεις. ΣΩ. Τούτων μέντοι σὺ αἴτιος. ἀλλὰ τὰ λοιπὰ ἄκουε. ἴσως γὰρ ἂν ἀποτράποιτο τὸ ἐπιόν. ταῦτα μὲν οὖν θεῷ μελήσει· ἡμῖν δὲ πρὸς τὸν παῖδα πάλιν τῷ λόγῳ ἰτέον. εἶεν, ὦ φέριστε. ὃ μὲν δὴ τυγχάνει ὂν περὶ οὗ

ſuperiora omnia diximus, fere iam patet: ſive tamen dicatur, ſive non, magis, quam ſi praetermiſſum ſit, patebit. Nam cupiditas abſque ratione, quae ſuperat opinionem ad recta tendentem, rapitque ad voluptatem formae, & a cognatis cupiditatibus circa corporis formam vehementer corroborata, pervincit & ſuperat, ἀπ' αὐτῆς τῆς ῥώμης, id eſt, robore & vehementia, ἔρως, id eſt, amor, appellata eſt. Num tibi, o amice Phaedre, quemadmodum mihi, videor divinum quiddam paſſus fuiſſe? *Phae.* Profecto quidem, o Socrates, praeter ſolitum profluens quaedam amplitudo te cepit. *So.* Silentio igitur me audi. nam revera divinus hic videtur locus. quare ſi ſaepius Nymphis procedente ſermone corripior, ne mireris. ea certe, quae modo canebam, a dithyrambis non multum diſtant. *Phae.* Veriſſima narras. *So.* Horum equidem tu cauſa es. ſed audi cetera, ne abeat id, quod ſupervenit. Haec vero Deo curae erunt. nos diſputando ad puerum revertamur. Age igitur, o optime, quid ſit id, de quo conſulitur, dictum & definitum eſt. reſpi-

βουλευτέον, εἴρηταί τε καὶ ἄριστα. βλέποντες δὲ δὴ πρὸς αὐ-
c. τὸ, τὰ λοιπὰ λέγωμεν, τίς ἀφέλεια ἢ βλάβη ἀπό τε ἐρῶν-
τος καὶ μὴ, τῷ χαριζομένῳ, ἐξ εἰκότος συμβήσεται. τῷ μὲν
δὴ ὑπὸ ἐπιθυμίας ἀρχομένῳ, ἢ δουλευοντί τε ἡδονῇ, ἀνάγκη
που τὸ ἐρώμενον ὡς ἥδιστον ἑαυτῷ παρασκευάζειν. νοσοῦντι δὲ
πᾶν ἡδὺ τὸ μὴ ἀντιτεῖνον, κρεῖττον δὲ καὶ ἴσον, ἐχθρόν.
p. οὔτε δὴ κρείττω οὔτε ἰσούμενον ἑκὼν ἐρασὴς παιδικὰ ἀνέξε-
239 ται, ἥττω δὲ καὶ ὑποδεέστερον ἀεὶ ἀπεργάσεται. ἥττων δὲ
a. ἀμαθὴς, σοφοῦ· δειλὸς, ἀνδρείου· ἀδύνατος εἰπεῖν, ῥητορικοῦ·
βραδὺς, ἀγχίνου. τοσούτων κακῶν καὶ ἔτι πλειόνων κατὰ
τὴν διάνοιαν τοῦ ἐρασθέντος, τῷ ἐρωμένῳ ἀνάγκη γιγνομένων
τε καὶ φύσει ἐνόντων, τῶν μὲν ἥδεσθαι, τὰ δὲ παρασκευάζειν·
ἢ σφόδρα ἥδεσθαι τοῦ παραυτίκα ἡδέος. φθονερὸν δὴ ἀνάγκη εἶναι,
b. καὶ πολλῶν μὲν ἄλλων συνουσιῶν ἀπείργοντα καὶ ὠφελίμων,
ὅθεν ἂν μάλιστα ἀνὴρ γίγνοιτο, μεγάλης αἰτίαν εἶναι βλά-
βης, μεγίστης δὲ, τῆς ὅθεν ἂν φρονιμώτατος εἴη. τοῦτο δὲ ἡ
θεία φιλοσοφία τυγχάνει ὄν· ἧς ἐρασὴν παιδικὰ ἀνάγκη πόρ-

cientes ergo ad hoc, quod reliquum eſt, videamus, quid emolumenti, vel damni ab amante, & non amante, ei, qui obſequitur, ſit merito proventurum. Hominem libidini mancipatum, & voluptatibus ſervientem, neceſſe eſt amatum ſuum pro viribus ſibi quam iucundiſſimum reddere. Aegrotanti vero quidquid non repugnat, iucundum: quod vero melius, aut aequale, moleſtum. Quare neque praeſtantiorem, neque parem amator amatum ſponte unquam patietur eſſe: inferiorem autem indigentioremque, quoad poterit, ſemper efficiet. Deterior ignorans ſapiente, forti timidus, ineptus ad dicendum rhetorico, hebes acuto. Haec & plura inſuper animi mala cum natura inſunt vel fiunt amato, gaudet amator, atque alia inſuper inferre conatur: alioquin voluptate privatur. Invideat ergo neceſſe eſt amator amato, atque eum ab omni conſuetudine ſtudioque, unde excellens evadere poſſit, amovens, vehementer officiat. maxime tamen ex privatione illius obeſt, quod prudentiſſimum efficit. Pruden-

ῥᾳδίως εἴργειν, περίφοβον ὄντα τοῦ καταφρονηθῆναι· τά τε ἄλλα μηχανᾶσθαι ὅπως ἂν ᾖ πάντα ἀγνοῶν, καὶ πάντα ἀποβλέπων εἰς τὸν ἐραστήν, οἷος ὢν, τῷ μὲν ἡδίστος, ἑαυτῷ δὲ βλαβερώτατος εἴη. τὰ μὲν οὖν κατὰ διάνοιαν, ἐπιτροπός τε καὶ κοινωνὸς οὐδαμῇ λυσιτελὴς ἀνὴρ ἔχων ἔρωτα. τὴν δὲ c.
τοῦ σώματος ἕξιν τε καὶ θεραπείαν οἵαν τε καὶ ὡς θεραπεύσει οὗ ἂν ᾖ ἐνηται κύριος, ὃς ἡδὺ πρὸ ἀγαθοῦ ἠνάγκασται διώκειν, δεῖ μετὰ ταῦτα ἰδεῖν. ὀφθήσεται δέ τινα μαλθακὸν καὶ οὐ ξερεὸν δικῶν, οὐδ' ἐν ἡλίῳ καθαρῷ τεθραμμένον, ἀλλὰ ὑπὸ συμμιγεῖ σκιᾷ· πόνων μὲν ἀνδρείων καὶ ἱδρώτων ξηρῶν ἄπειρον, ἔμπειρον δὲ ἁπαλῆς καὶ ἀνάνδρου διαίτης, ἀλλοτρίοις τε χρώμασι καὶ κόσμοις, χήτει οἰκείων, κοσμούμενον· d.
ὅσά τε ἄλλα τούτοις ἕπεται, πάντα ἐπιτηδεύοντα. ἃ δῆλα· καὶ οὐκ ἄξιον περαιτέρω προβαίνειν, ἀλλὰ ἓν κεφάλαιον ὁρισαμένους, ἐπ' ἄλλο ἰέναι. τὸ γὰρ τοιοῦτον σῶμα ἐν πολέμῳ τε καὶ ἄλλαις χρείαις ὅσαι μεγάλαι, οἱ μὲν ἐχθροὶ

tiſſimum vero divina facit philoſophia, a qua amator procul abducere amatum compellitur, metuens, ne ab eo, ſi ſiat ſapientior, contemnatur. denique omnia efficit, quibus ille omnium ignarus evadat, admireturque amantem. qualis cum fuerit, amatori quidem iucundiſſimus erit, ſibi autem ipſi perniciosiſſimus. Atque ita in his, quae ad intelligentiam pertinent, noxia eſt cum amatore conſuetudo. Poſthac videndum, quo pacto is, qui bono dulce anteponere cogitur, corpus illius, quem amat, ſi commiſſum ſibi fuerit, ſit curaturus. Optabit profecto corpus non ſolidum, ſed molle & delicatum, non ſub ſole, ſed umbra nutritum: quod procul a periculis & laboribus ſicciſque ſudoribus, muliebri & delicato victu fuerit educatum, coloribus alienis extraneiſque ornamentis ex propriorum defectu ornatum, ceteriſque horum ſimilibus conſuetum. quae omnia cum prolixius recenſere indignum ſit, ſummatim in praeſentia concludemus, ut reliqua proſequamur. Talem ſane corporis habitum in proeliis & quavis alia ingenti neceſſitate hoſtes quidem auda-

θαρροῦσιν, οἱ δὲ φίλοι καὶ αὐτοὶ οἱ ἐρασταὶ φοβοῦνται. τοῦτο
μὲν οὖν, ὡς δῆλον, ἐατέον· τὸ δὲ ἐφεξῆς ῥητέον, τίνα ἡμῖν
e. ὠφέλειαν ἢ τίνα βλάβην περὶ τὴν κτῆσιν ἡ τοῦ ἐρῶντος ὁμι-
λία τε καὶ ἐπιτροπία παρέξεται. σαφὲς δὴ τοῦτό γε παντὶ
μὲν, μάλιστα δὲ τῷ ἐραστῇ, ὅτι τῶν φιλτάτων τε καὶ εὐνου-
στάτων καὶ θειοτάτων κτημάτων ὀρφανὸν πρὸ παντὸς εὔξαιτ'
ἂν εἶναι τὸν ἐρώμενον. πατρὸς γὰρ καὶ μητρὸς καὶ ξυγγενῶν
καὶ φίλων στέρεσθαι ἂν αὐτὸν δέξαιτο, διακωλυτὰς καὶ ἐπι-
p. τιμητὰς ἡγούμενος τῆς ἡδίστης πρὸς αὐτὸν ὁμιλίας. ἀλλὰ
240 μὴν οὐσίαν γε ἔχοντα χρυσοῦ, ἢ τινος ἄλλης κτήσεως, οὔτε
a. εὐάλωτον ὁμοίως, οὔτε ἁλόντα εὐμεταχείριστον ἡγήσεται. ἐξ
ὧν πᾶσα ἀνάγκη ἐρασὴν παιδικοῖς φθονεῖν μὲν οὐσίαν κεκτη-
μένοις, ἀπολλυμένοις δὲ χαίρειν. ἔτι τοίνυν ἄγαμον, ἄπαι-
δα, ἄοικον ὅτι πλεῖστον χρόνον παιδικὰ ἐρασὴς εὔξαιτο ἂν
γενέσθαι, τὸ αὐτοῦ γλυκὺ ὡς πλεῖστον χρόνον καρποῦσθαι
ἐπιθυμῶν. ἔστι μὲν δὴ καὶ ἄλλα κακά· ἀλλά τις ἔμιξε δαί-
b. μων τοῖς πλείστοις ἐν τῷ παραυτίκα ἡδονήν· οἷον κόλακι, δεινῷ

ſter invadunt, amici autem ipſique amatores huic maxime metuunt. Sed hoc iam, tanquam manifeſtum, dimittendum eſt: deinceps vero dicendum, quid nobis emolumenti, vel damni in rebus externis, amantis familiaritas & cuſtodia praebeat. Atqui hoc omnibus, amatori praeſertim, eſt manifeſtum, quod amiciſſima cariſſimaque & diviniſſima poſſeſſione orbum fieri amatum deſiderat. parentibus enim, neceſſariis, amicis privari eum exoptat, exiſtimans, eos dulciſſimae ipſius cum amato conſuetudini impedimento fore. Puerum praeterea, vel auri, vel cuiuſvis poſſeſſionis, ditiſſimum, neque facile capi poſſe putat; neque, ſi captus fuerit, detineri. quamobrem neceſſe eſt amatorem, tanquam invidum, amati proſperitate dolere, adverſitate gaudere. Quin etiam ſine uxore, ſine filiis, ſine domo diu exoptat vivere adoleſcentem, cupiens plurimum tempus propria dulcedine perfrui. Sunt alia quoque mala: ſed horum plurimis in ipſo ſtatim principio daemon aliquis voluptatem immiſcuit: ve-

ἀμφὶ καὶ βλάβη μεγάλη, ὅμως ἐπέμιξεν ἡ Φύσις ἡδονήν τινα οὐκ ἄμουσον. καί τις ἑταίραν ὡς βλαβερὸν ψέξειεν ἄν, καὶ ἄλλα πολλὰ τῶν τοιουτοτρόπων ἀρεμμάτων τε καὶ ἐπιτηδευμάτων, οἷς τόγε καθ' ἡμέραν ἡδίστοισιν εἶναι ὑπάρχει· παιδικοῖς δὲ ἐρασὴς πρὸς τῷ βλαβερῷ καὶ εἰς τὸ συννημερεύειν πάντων ἀηδέστατον. ἥλικα γὰρ καὶ ὁ παλαιὸς λόγος τέρπειν τὸν ἥλικα. ἡ γάρ, οἶμαι, χρόνων ἰσότης ἐπὶ ἴσας ἡδονὰς ἄγουσα, c. δι' ὁμοιότητα φιλίαν παρέχεται· ἀλλ' ὅμως κόρον γε καὶ ἡ τούτων συνουσία ἔχει. καὶ μὴν τόγε ἀναγκαῖον αὖ βαρὺ παντὶ περὶ παῦν λέγεται· ὃ δὴ πρὸς τῇ ἀνομοιότητι μάλιστα ἐρασὴς πρὸς παιδικὰ ἔχει. νεωτέρῳ γὰρ πρεσβύτερος συνὼν, οὐδ' ἡμέρας οὔτε νυκτὸς ἀπολείπεται ἑκών, ἀλλ' ὑπ' ἀνάγκης τε καὶ οἴστρου ἐλαύνεται, ὃς ἐκείνῳ μὲν ἡδονὰς ἀεὶ διδοὺς ἄγει, ὁρῶντι, ἀκούοντι, ἅπτομένῳ, καὶ πᾶσαν αἴσθησιν d. αἰσθανομένῳ τοῦ ἐρωμένου, ὥστε μεθ' ἡδονῆς ἀραρότως αὐτῷ ὑπηρετεῖν· τῷ δὲ δὴ ἐρωμένῳ ποῖον παραμύθιον ἢ τίνας ἡδονὰς διδοὺς, ποιήσει τὸν ἴσον χρόνον συνόντι μὴ οὐχὶ ἐπ'

luti adulatori, graviſſimae beſtiae, maximaeque calamitati, inſeruit natura oblectamentum aliquod non inconcinnum. vituperabit quoque ſcortum aliquis, utpote noxium, & alia huiuſmodi animalia atque ſtudia, quae nos quotidie delectare conſueverunt. Amans vero, praeter quod noxius eſt, etiam ſua conſuetudine omnium eſt moleſtiſſimus. pares enim cum paribus veteri proverbio iucundiſſime congregantur. nam aequalitas temporis, cum ad aequales voluptates propter ſimilitudinem trahat, amicitiam parit. verumtamen his etiam nimiam ſatietatem affert. Proinde neceſſitas omnibus in rebus cuique gravis eſt: quae quidem ſimul cum diſſimilitudine in amante ad amatum eſt maxime. iuniori enim ſenior adhaerens, neque die ulla, neque nocte ab eo ſponte recedit, ſed neceſſitate & furore rapitur, qui illum quidem voluptatum illecebris trahit videntem, audientem, tangentem, & omnino amatum ſenſu quolibet attingentem, ita ut ingenti cum voluptate illi aſſidue obſequatur. Amatum vero

ἔσχατον ἐλθεῖν ἀηδίας; ὁρῶντι μὲν ὄψιν πρεσβυτέραν καὶ
οὐκ ἐν ὥρᾳ, ἑπομένων δὲ τῶν ἄλλων ταύτῃ, ἃ καὶ λόγῳ ἔστιν
ἀκουειν οὐκ ἐπιτερπές, μὴ ὅτι δὴ ἔργῳ, ἀνάγκης ἀεὶ προσ-
e. κειμένης μεταχειρίζεσθαι· φύλακάς τε δὴ καχυπόπτους φυ-
λαττομένῳ διὰ παντὸς καὶ πρὸς ἅπαντας, ἀκαίρους τε
ἐπαίνους καὶ ὑπερβάλλοντας ἀκούοντι· ὡς δ' αὖτως ψόγους,
νήφοντος μὲν οὐκ ἀνεκτούς· εἰς δὲ μέθην ἰόντος, πρὸς τῷ μὴ
ἀνεκτῷ, ἐπ' αἴσχει, παῤῥησίᾳ κατακορεῖ καὶ ἀναπεπταμένῃ
χρωμένου. καὶ ἐρῶν μὲν, βλαβερός τε καὶ ἀηδής· λήξας δὲ
τοῦ ἔρωτος, εἰς τὸν ἔπειτα χρόνον ἄπιστος· εἰς ὃν πολλὰ καὶ
μετὰ πολλῶν ὅρκων τε καὶ δεήσεων ὑπισχνούμενος, μόγις
p. κατεῖχε τήν γ' ἐν τῷ τότε ξυνουσίαν ἐπίπονον οὖσαν φέρειν
241 δι' ἐλπίδα ἀγαθῶν. τότε δὴ δέον ἐκτίνειν, μεταβαλὼν ἄλλον
a. ἄρχοντα καὶ προστάτην ἐν ἑαυτῷ, νοῦν καὶ σωφροσύνην ἀντ'
ἔρωτος καὶ μανίας, ἄλλος γεγονὼς λέληθε τὰ παιδικά. καὶ
ὁ μὲν αὐτὸν χάριν ἀπαιτεῖ τῶν τότε, ὑπομιμνήσκων τὰ

qua voluptate, quove ſolatio aequale tempus adeo detinebit, ut extrema moleſtia non vexetur? cum faciem ſenilem deformemque aſpiciat, ceteraque ſimiliter, quae non factu ſolum, verum etiam auditu, moleſta ſunt, neceſſitate quadam ad ipſum captandum ſemper propoſita, dum male ſuſpicioſis cuſtodiis ſemper & ubique obſervatur, auditque importunas immoderataſque tum laudes, tum vituperationes, quibus amans ipſum proſequitur: quae in ſobrietate quidem intolerabiles ſunt, in ebrietate vero non intolerabiles ſolum, verum etiam ob nimiam aperte & ad ſatietatem loquendi licentiam turpiſſimae. Praeterea, dum amat, pernicioſus & importunus eſt: cum vero amare deſierit, in poſterum infidus adverſus illum, quem multis iuramentis, precibus, atque promiſſis vix tandem induxerat, ut praemiorum ſpe infeſtam eius conſuetudinem ſuſtineret. Demum, cum pendere deceat, principem alium in ſe ac praeſidem accipit, mentem temperantiamque pro amore atque inſania: factuſque iam alius, amatum fallit. tunc amatus, eorum, quae dicta

πραχθέντα καὶ λεχθέντα, ὡς τῷ αὐτῷ διαλεγόμενος· ὁ δὲ ὑπὸ αἰσχύνης οὔτε εἰπεῖν τολμᾷ ὅτι ἄλλος γέγονεν, οὔτ' ὅπως τὰ τῆς προτέρας ἀνοήτου ἀρχῆς ὁρκωμόσιά τε καὶ ὑποσχέσεις ἐμπεδώσει ἔχει, νοῦν ἤδη ἐσχηκὼς καὶ σεσωφρονηκώς· ἵνα μὴ πράττων ταυτὰ τῷ πρόσθεν, ὅμοιός τε ἐκείνῳ καὶ ὁ αὐτὸς πάλιν γένηται. Φυγὰς δὴ γίγνεται ἐκ τούτων, καὶ ἀπεξερηκὼς ὑπ' ἀνάγκης ὁ πρὶν ἐραστὴς, ὀφλήκου μεταπεσόντος, ἴεται Φυγῇ μεταβαλών· ὁ δὲ ἀναγκάζεται διώκειν, ἀγανακτῶν καὶ ἐπιθεάζων, ἠγνοηκὼς τὸ ἅπαν ἐξ ἀρχῆς, ὅτι οὐκ ἄρα ἐδει ποτὲ ἐρῶντι καὶ ὑπ' ἀνάγκης ἀνοήτῳ χαρίζεσθαι, ἀλλὰ πολὺ μᾶλλον μὴ ἐρῶντι καὶ νοῦν ἔχοντι. εἰ δὲ μὴ, ἀναγκαῖον εἴη ἐνδοῦναι ἑαυτὸν ἀπίστῳ, δυσκόλῳ, Φθονερῷ, ἀηδεῖ· βλαβερῷ μὲν πρὸς οὐσίαν, βλαβερῷ δὲ πρὸς τὴν σώματος ἕξιν· πολὺ δὲ βλαβερωτάτῳ πρὸς τὴν τῆς ψυχῆς παίδευσιν, ἧς οὔτε ἀνθρώποις οὔτε θεοῖς τῇ ἀληθείᾳ τιμιώτερον οὔτε ἔστιν, οὔτε ποτὲ ἔσται. ταῦτά τε οὖν χρὴ, ὦ παῖ, b. c.

quondam & facta ſunt, memor, beneficiorum gratiam exigit, putans cum eodem verba ſe facere: ſed alter ob verecundiam neque audet mutatum eſſe ſe confiteri, neque invenit, qua ratione prioris illius principatus inſani iuramenta & promiſſa perſolvat, mentis iam & temperantiae compos effectus, ne, ſi eadem, quae & antea, fecerit, ſimilis idemque, ac fuerat ante, rurſus evadat. Hinc efficitur, ut qui ante amaverat, iam aufugiat, mutatuſque abeat, quaſi teſta in adverſum cadente: alter vero perſequi cogatur, graviter ferens, ad imprecationeſque converſus. qui ſane ab initio deceptus eſt, cum ignoraverit, non decuiſſe, amanti neceſſario amenti gratificari, immo homini multo magis ab amore libero mentemque habenti: alioquin neceſſarium fore, ſe ipſum committere homini infido, moroſo, invido, moleſto, pernicioſo ad rerum poſſeſſionem, pernicioſo ad corporis habitum, longe vero ad animi diſciplinam pernicioſiſſimo, qua nihil apud Deos & homines revera aut eſt, aut erit unquam venerabilius. Haec, o puer, conſideranda ſunt,

ξυννοεῖν, καὶ εἰδέναι τὴν ἐραστοῦ φιλίαν, ὅτι οὐ μετ' εὐνοίας
d. γίγνεται, ἀλλὰ, σιτίου τρόπον, χάριν πλησμονῆς. Ὡς λύκοι ἄρνα φιλοῦσ', ὡς παῖδα φιλοῦσιν ἐρασταί. Τοῦτ' ἐκεῖνο, ὦ Φαῖδρε, οὐκέτ' ἂν πέρα ἀκούσαις ἐμοῦ λέγοντος· ἀλλὰ δή σοι πέρας ἐχέτω ὁ λόγος. ΦΑΙ. Καὶ τοιγε ἡμῖν γε μεσοῦν αὐτόν· καὶ ἐρεῖν τὰ ἴσα περὶ τοῦ μὴ ἐρῶντος, ὡς δεῖ ἐκείνῳ χαρίζεσθαι μᾶλλον, λέγων αὖ ὅσα ἔχει ἀγαθά. νῦν δὲ δή, ὦ Σώκρατες, τί ἀποπαύῃ; ΣΩ. Οὐκ ἤσθου, ὦ μακάριε, ὅτι
e. ἤδη ἐπὶ φδέγγομαι, ἀλλ' οὐκέτι διθυράμβους, καὶ ταῦτα, ψέγων; ἐὰν δ' ἐπαινεῖν τὸν ἕτερον ἄρξωμαι, τί με οἴει ποιήσειν; ἆρ' οἶσθ' ὅτι ὑπὸ τῶν Νυμφῶν, αἷς με σὺ προὔβαλες, ἐκ προνοίας σαφῶς ἐνθουσιάσω; λέγω οὖν ἐνὶ λόγῳ, ὅτι ὅσα τὸν ἕτερον λελοιδορήκαμεν, τῷ ἑτέρῳ τἀναντία τούτων ἀγαθὰ πρόσεσι. καὶ τί δεῖ μακροῦ λόγου; περὶ γὰρ ἀμφοῖν ἱκανῶς εἴρηται. καὶ οὕτω δὴ ὁ μῦθος ὅ, τι πάσχειν προσήκει αὐτῷ,
p. τοῦτο πείσεται· καὶ ἐγὼ τὸν ποταμὸν τοῦτον διαβὰς ἀπέρχο-
242
d.

atque illud insuper animadvertendum, amatoris amicitiam non benevolentia ulla, sed aviditate quadam expletionis, quasi fame, constare. *Ut lupus ipse agnum, puerum sic ardet amator.* Hoc illud est, quod praedixeram, o Phaedre: nec dicentem me ulterius audies, sed iam finem habeat sermo. *Phae.* Atqui putabam, dimidium disputationis transactum esse, ac restare tantundem de non amante dicendum, quod illi potius indulgere deceat, ad idque quot illi bona insint enumeranda. nunc autem cur desistis, o Socrates? *So.* Animadvertisti, Phaedre, carmina me iam, non dithyrambos amplius canere, quamvis in vituperando mea versetur oratio? quod si laudare alterum pergam, quid facturum me putas? An non sentis, Nymphis, tum opera tua, tum divina providentia, me manifesto afflari? Quare summatim dico, tot bona inesse alteri, quot mala in altero numeravimus. Sed quid multis opus est verbis? de utrisque enim sufficienter dictum: atque ita, quod decet, fabula patietur. Ego iam transmisso flumine abeo, priusquam ad maius aliquid abs

μαι, πρὶν ὑπὸ σοῦ τι μεῖζον ἀνάγκασθῆναι. ΦΑΙ. Μήπω γε, ὦ Σώκρατες, πρὶν ἂν τὸ καῦμα παρελθῇ. ἢ οὐχ ὁρᾷς ὡς σχεδὸν ἤδη μεσημβρία ἵσταται ἡ δὴ καλουμένη σταθερά; ἀλλὰ περιμείναντες, καὶ ἅμα περὶ τῶν εἰρημένων διαλεχθέντες, τάχα ἐπειδὰν ἀποψυχῇ ἴωμεν. ΣΩ. Θεῖός γ' εἶ περὶ τοὺς λόγους, ὦ Φαῖδρε, καὶ ἀτεχνῶς θαυμάσιος. οἶμαι γὰρ ἐγὼ τῶν ἐπὶ τοῦ σοῦ βίου γεγενημένων λόγων μηδένα πλείους ἢ σὲ πεποιηκέναι γεγενῆσθαι, ἤτοι αὐτὸν λέγοντα, ἢ ἄλ- b.
λους ἑνί γε τρόπῳ προσαναγκάζοντα. Σιμμίαν Θηβαῖον ἐξαιρῶ λόγου· τῶν δὲ ἄλλων παμπολὺ κρατεῖς· καὶ νῦν αὖ δοκεῖς αἴτιός μοι γεγενῆσθαι λόγῳ τινὶ ῥηθῆναι, οὐ πόλεμόν γε ἀγγέλλεις. ΦΑΙ. Ἀλλὰ πῶς δὴ καὶ τίνι τούτῳ; ΣΩ. Ἡνίκ' ἐμελλον, ὦ γαθὲ, τὸν ποταμὸν διαβαίνειν, τὸ δαιμονιόν τε καὶ τὸ εἰωθὸς σημεῖόν μοι γίγνεσθαι, ἐγένετο (ἀεὶ δέ με ἐπίσχει, ὃ ἂν μέλλω πράττειν) καί τινα φωνὴν ἐδοξα c.
αὐτόθεν ἀκοῦσαι· ἣ με οὐκ ἐᾷ ἀπιέναι πρὶν ἂν ἀφοσιώσωμαι, ὥς τι ἡμαρτηκότα εἰς τὸ θεῖον. εἰμὶ δὴ οὖν μάντις μὲν,

te compellar. *Phae.* Nondum, o Socrates, priuſquam aeſtus abſcedat. an non vides, ut iam plane meridies ſit, quae appellatur conſtans & ſtabilis? ſed interim morantes, ac de his, quae diximus, colloquentes, cum primum refrixerit, tunc abeamus. *So.* Divinus es circa ſermones, o Phaedre, ac vere mirabilis. arbitror equidem, orationum, quae his temporibus habitae ſunt, neminem pluribus auctorem cauſamque fuiſſe, quam te, ſive ultro dicendo, ſive quoquo modo alios compellendo. Simmiam Thebanum excipio: alios vero longe antecellis. & nunc videris in cauſa fuiſſe, ut aliqua a me oratio habeatur. *Phae.* Non tu bellum ſane denuntias. ſed quonam modo, & quae oratio? *So.* Cum flumen tranſiturus eſſem, daemonium, & ſolitum mihi fieri ſignum, factum eſt: quod ſane quoties accidit, quod facturus eram, agere prohibet. hinc vocem audire viſus ſum, quae abire me vetat, antequam expiaverim, quaſi aliquid deliquerim erga Deum. Sum igitur vates quidem,

οὐ πάνυ δὲ σπουδαῖος· ἀλλ' ὥσπερ οἱ τὰ γράμματα φαῦλοι, ὅσον ἐμαυτῷ μόνον ἱκανός. σαφῶς οὖν ἤδη μοι καὶ τὸ ἁμάρτημα. ὡς δή τι, ὦ ἑταῖρε, μαντικόν γέ τι καὶ ἡ ἀρχή. ἐμὲ γὰρ ἔθραξε μέν τι καὶ πάλαι λέγοντα τὸν λόγον καί πως ἐδυσωπούμην, κατ' Ἴβυκον, μή τι παρὰ θεοῖς ἀμπλα-
d. κὼν, τιμὰν πρὸς ἀνθρώπων ἀμείψω· νῦν δ' ἥσθημαι τὸ ἁμάρτημα. ΦΑΙ. Λέγεις δὲ δὴ τι; ΣΩ. Δεινὸν, ὦ Φαῖδρε, δεινὸν λόγον αὐτός τε ἐκόμισας, ἐμέ τε ἠνάγκασας εἰπεῖν. ΦΑΙ. Πῶς δή; ΣΩ. Εὐήθη, καὶ ὑπό τι ἀσεβῆ· οὗ τίς ἂν εἴη δεινότερος; ΦΑΙ. Οὐδείς, εἴ γε σὺ ἀληθῆ λέγεις. ΣΩ. Τί οὖν; τὸν Ἔρωτα οὐκ Ἀφροδίτης, καὶ θεὸν τινὰ ἡγῇ; ΦΑΙ. Λέγεταί γε δή. ΣΩ. Οὔτι ὑπό γε Λυσίου, οὐδὲ ὑπὸ τοῦ σοῦ
e. λόγου, ὡς διὰ τοῦ ἐμοῦ στόματος καταφαρμακευθέντος ὑπὸ σοῦ ἐλέχθη. εἰ δ' ἔστιν, ὥσπερ οὖν ἐστι, θεὸς ἤ τι θεῖον ὁ Ἔρως, οὐδὲν ἂν κακὸν εἴη· τὼ δὴ λόγω τὼ νῦν δὴ περὶ αὐτοῦ εἰπέτην ὡς τοιούτου ὄντος. ταυτῃ τε οὖν ἡμαρτανέτην περὶ τὸν

at nequaquam bonus, ſed quemadmodum qui male ſciunt literas, quantum ad me ipſum ſufficiens. clare itaque iam intelligo delictum meum. ſiquidem, o amice, praeſagii quiddam etiam eſt in animo. me enim commovit & antea, dum loquebar. unde quodammodo verebar, ne, cum forte ſecundum Ibycum apud Deos deliquerim, apud homines gloriam conſequar. Nunc ſentio, in quo deliquerim. *Phae.* Quid eſt? *So.* Gravem, o Phaedre, gravem, inquam, ſermonem & tu attuliſti, & me dicere compuliſti. *Phae.* Quonam pacto? *So.* Stultum, & quodammodo impium: quo quis gravior eſſe poteſt? *Phae.* Nullus, ſi tu vera narras. *So.* Quid enim? Amorem nonne Veneris filium, & Deum aliquem putas? *Phae.* Dicitur quidem. *So.* Non tamen a Lyſia, neque ex ſermone tuo, qui per os meum abs te, quaſi quadam incantatione deductus, prolatus eſt. Si autem eſt, ut certe eſt, Deus aut divinum quiddam Amor, malum utique non eſſet. at ſermones de illo, quaſi malum eſſet, habiti ſunt. in hoc ergo adverſus Amorem deliquimus. atqui val-

Ἔρωτα· ἔτι τε ἡ εὐήθεια αὐτοῖν πάνυ ἀρχεῖα, τὸ, μηδὲν ὑγιὲς λέγοντε, μηδὲ ἀληθὲς, σεμνύνεσθαι ὡς τι ὄντε· εἰ ἄρα ἀνθρωπίσκους τινὰς ἐξαπατήσαντε εὐδοκιμήσετον ἐν αὐτοῖς. P. 243
ἐμοὶ μὲν οὖν, ὦ φίλε, καθήρασθαι ἀνάγκη. ἔστι δὲ τοῖς ἁμαρ- a.
τάνουσι περὶ μυθολογίαν καθαρμὸς ἀρχαῖος· ὃν Ὅμηρος μὲν οὐκ ἔγνω, Στησίχορος δέ. τῶν γὰρ ὀμμάτων στερηθεὶς διὰ τὴν Ἑλένης κακηγορίαν, οὐκ ἠγνόησεν, ὥσπερ Ὅμηρος· ἀλλ', ἅτε μουσικὸς ὤν, ἔγνω τὴν αἰτίαν· καὶ ποιεῖ εὐθύς,
Οὐκ ἔστ' ἔτυμος ὁ λόγος οὗτος· οὐδ' ἔβας ἐν νηυσὶν εὐσέλμοις, b.
οὐδ' ἵκες Πέργαμα Τροίης. Ποιήσας δὴ πᾶσαν τὴν καλουμένην παλινῳδίαν, παραχρῆμα ἀνέβλεψεν. ἐγὼ οὖν σοφώτερος ἐκείνων γενήσομαι κατ' αὐτό γε τοῦτο. πρὶν γάρ τι παθεῖν διὰ τὴν τοῦ Ἔρωτος κακηγορίαν, πειράσομαι αὐτῷ ἀποδοῦναι τὴν παλινῳδίαν γυμνῇ τῇ κεφαλῇ, καὶ οὐχ ὥσπερ τότε, ὑπ' αἰσχύνης ἐγκεκαλυμμένος. ΦΑΙ. Τουτωνὶ, ὦ Σώκρατες, οὐκ ἔστιν ἀττ' ἂν ἐμοὶ εἴπῃς ἡδίω. ΣΩ. Καὶ γὰρ, ὦ γαθὲ Φαῖδρε, ἐννοεῖς ὡς ἀναιδῶς εἰρήσθην τὼ λόγω, οὗτός c.

de ineptae diſputationes hae noſtrae videntur, quamvis urbanae: quae cum nihil ſincerum verumque contineant, gloriantur tamen, tanquam plurimum valeant, ſi homunculis nonnullis deceptis approbentur. mihi igitur, o amice, expiari neceſſe eſt. Eſt autem his, qui confabulando peccant, expiatio quaedam vetus, quam Homerus non novit, ſed Steſichorus. oculis enim privatus ob Helenae vituperationem, non ignoravit caecitatis cauſam, ut Homerus, ſed utpote muſicus eam agnovit. itaque ſtatim illa fecit carmina, *Non verus ſermo ille fuit: nec navibus altis Exiſti fugiens, nec adiſti Pergama Troiae.* atque ita edito poëmate, quam παλινῳδίαν, id eſt, recantationem, vocant, confeſtim viſum recuperavit amiſſum. Ego autem in hoc ero utriſque ſapientior, quod, antequam accidat mihi quidquam mali ob Amoris vituperationem, conabor illi palinodiam reddere, & quidem aperto capite, non, ut ſupra, ob verecundiam velato. *Phae.* His vero, o Socrates, nihil mihi gratius efficere poſſes. *So.*

τε καὶ ὁ ἐκ τοῦ βιβλίου ῥηθείς. εἰ γὰρ ἀκούων τὶς τύχοι ἡμῶν γεννάδας καὶ πρᾷος τὸ ἦθος, ἑτέρου δὲ τοιούτου ἐρῶν, ἢ καὶ πρότερόν ποτε ἐρασθείς, λεγόντων ὡς διὰ σμικρὰ μεγάλας ἔχθρας οἱ ἐρασταὶ ἀναιροῦνται, καὶ ἔχουσι πρὸς τὰ παιδικὰ φθονερῶς τε καὶ βλαβερῶς, πῶς οὐκ ἂν οἴει αὐτὸν ἡγεῖσθαι ἀκούειν ἐν ναύταις που τεθραμμένων, καὶ οὐδένα ἐλεύθερον ἔρωτα ἑωρακότων; πολλοῦ δ' ἂν δεῖν ἡμῖν ὁμολο-
d. γεῖν ἃ ψέγομεν τὸν Ἔρωτα; ΦΑΙ. Ἴσως νὴ Δί', ὦ Σώκρατες. ΣΩ. Τοῦτόν γε τοίνυν ἐγωγε αἰσχυνόμενος, καὶ αὐτὸν τὸν Ἔρωτα δεδιὼς, ἐπιθυμῶ ποτίμῳ λόγῳ οἷον ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι. συμβουλεύω δὲ καὶ Λυσίᾳ ὅτι τάχιστα γράψαι ὡς χρὴ ἐρασθῆναι μᾶλλον ἢ μὴ ἐρῶντι ἐκ τῶν ὁμοίων χαρίζεσθαι. ΦΑΙ. Ἀλλ' εὖ ἴσθι ὅτι ἔξει τοῦθ' οὕτως· σοῦ γὰρ εἰπόντος τὸν τοῦ ἐραστοῦ ἔπαινον, πᾶσα ἀνάγκη Λυσίαν ὑπ'
e. ἐμοῦ ἀναγκασθῆναι γράψαι αὖ περὶ τοῦ αὐτοῦ λόγου. ΣΩ. Τοῦτο μὲν πιστεύω, ἕωσπερ ἂν ᾖς ὃς εἶ. ΦΑΙ. Λέγε τοίνυν

Etenim meministi, o Phaedre, quam impudenter ex libro lectum est, & a me ipso quoque de amatore dictum. Quod si generosus aliquis vir & modestus, qui similem sibi alium amet amaveritve, nos audiat, cum dicimus, amantes ob minimas saepe causas maximas inimicitias suscitare, & invidos amatis pernicioso sque esse homines: audire se arbitrabitur in navibus educatos, qui liberalem aliquem amorem nunquam inspexerint, neque ullo modo nobis concedet, quae in Amoris vituperationem adducimus. *Phae.* Forte per Iovem, o Socrates. *So.* Hunc ego hominem veritus, & Amorem ipsum metuens, cupio veluti potabili oratione salsum illum auribusque nostris noxium sermonem diluere. Consulo quin etiam Lysiae, ut quam primum scribat, amanti potius, quam non amanti, ex similibus indulgendum. *Phae.* Ita futurum certo scito. nam postquam tu amatorem laudaveris, necesse erit, Lysiam, ut eadem scribat, a me compelli. *So.* Istud equidem credo, quamdiu tu, qui nunc es, fueris. *Phae.* Dic age forti animo. *So.* Eia: ubi mihi puer ille adest, ad

θαρρῶν. ΣΩ. Ποῦ δή μοι ὁ παῖς πρὸς ὃν ἔλεγον; ἵνα καὶ τούτου ἀκούσῃ· καὶ μὴ, ἀνήκοος ὤν, ταχὺ χαρισάμενος τῷ μὴ ἐρῶντι. ΦΑΙ. Οὗτος παρά σοι μάλα πλησίον ἀεὶ πάρεξιν, ὅταν καὶ σὺ βουλῇ. ΣΩ. Οὕτωσὶ τοίνυν, ὦ παῖ καλὲ, ἐννόησον, ὡς ὁ μὲν πρότερος ἦν λόγος Φαίδρου τοῦ Πυθοκλέους, Μυρρινουσίου ἀνδρός· ὃν δὲ μέλλω λέγειν, Στησιχόρου, τοῦ Εὐφήμου, Ἱμεραίου. λεκτέος δὲ ὧδε, ὅτι Οὐκ ἐξ' ἔτυμος ὁ λόγος ὃς ἂν παρόντος ἐραστοῦ τῷ μὴ ἐρῶντι μᾶλλον χαρίζεσθαι, διότι δὴ ὁ μὲν μαίνεται, ὁ δὲ σωφρονεῖ. εἰ μὲν γὰρ ἦν ἁπλοῦν τὸ μανίαν κακὸν εἶναι, καλῶς ἂν ἐλέγετο· νῦν δὲ τὰ μέγιστα τῶν ἀγαθῶν ἡμῖν γίγνεται διὰ μανίας, θείᾳ μέντοι δόσει διδομένης. ἥ τε γὰρ δὴ ἐν Δελφοῖς προφῆτις, αἵ τ' ἐν Δωδώνῃ ἱέρειαι, μανεῖσαι μὲν πολλὰ δὴ καὶ καλὰ ἰδίᾳ τε καὶ δημοσίᾳ τὴν Ἑλλάδα εἰργάσαντο· σωφρονοῦσαι δὲ, βραχέα, ἢ οὐδέν. καὶ ἐὰν δὴ λέγωμεν Σιβύλλαν τε, καὶ ἄλλους ὅσοι μαντικῇ χρώμενοι ἐνθέῳ, πολλὰ δὴ πολλοῖς προὔλεγον εἰς τὸ μέλλον ὀρθῶς, μηκύνοιμεν ἂν, δῆ-

p. 244 a.

b.

quem ſuperiorem ſermonem habui, ut hunc etiam audiat? ne, ſi minus commode audierit, temere non amanti obtemperet. *Phae.* Is tibi proximus ſemper adhaeret, quoad cupis. *So.* Sic ergo, o egregie puer, cogita, priorem ſermonem Phaedri Pythocle geniti Myrrhinuſii fuiſſe: ſequentem vero Steſichori Euphemi filii, viri amabilis, fore. huius hoc erit exordium: Non verus ſermo ille eſt, qui praeſente amatore non amanti magis iubet gratificari; quia amans furit, non amans vero ſanus eſt. ſi enim ſimpliciter verum eſſet, furorem eſſe malum, recte a nobis dictum fuiſſet: nunc autem maxima bonorum nobis fiunt per furorem divino quodam munere conceſſum. nam & quae in Delphis futura praedixit vates, & quae in Dodona ſacerdotes, furentes quidem multa ac magna commoda privatim & publice Graecis hominibus attulerunt: ſanae vero dum ſunt, exigua, aut nulla. Quod ſi referamus Sibyllam, & alios, quicunque divino uſi ſunt vaticinio, quam multa praedicentes in futurum

λα παντὶ λέγοντες. τόδε μὴν ἄξιον ἐπιμαρτύρασθαι, ὅτι καὶ
τῶν παλαιῶν οἱ τὰ ὀνόματα τιθέμενοι, οὐκ αἰσχρὸν ἡγοῦν-
c. του οὐδὲ ὀνειδος μανίαν. οὐ γὰρ ἂν τῇ καλλίστῃ τέχνῃ, ᾗ τὸ
μέλλον κρίνεται, αὐτὸ ταῦτο τοὔνομα ἐμπλέκοντες, μανι-
κὴν ἐκάλεσαν· ἀλλ' ὡς καλοῦ ὄντος, ὅταν θείᾳ μοίρᾳ γίγνη-
ται, οὕτω νομίσαντες ἔθεντο. οἱ δὲ νῦν ἀπειροκάλως τὸ τα
ἐπεμβαλόντες, μαντικὴν ἐκάλεσαν. ἐπεὶ καὶ τήν γε τῶν
ἐμφρόνων ζήτησιν τοῦ μέλλοντος διά τε ὀρνίθων ποιου-
μένων καὶ τῶν ἄλλων σημείων, ἄτ' ἐκ διανοίας ποριζομένων
ἀνθρωπίνῃ νοήσει νοῦν τε καὶ ἱστορίαν οἰωνοϊστικὴν ἐπωνόμα-
d. σαν· ἣν νῦν οἰωνιστικὴν τῷ ω σεμνύνοντες οἱ νέοι καλοῦσιν. ὅσῳ
δὴ οὖν τελεώτερον καὶ ἐντιμότερον μαντικὴ οἰωνιστικῆς, τό,
τε ὄνομα τοῦ ὀνόματος, ἔργόν τε ἔργου· τόσῳ κάλλιον μαρ-
τυροῦσιν οἱ παλαιοὶ μανίαν σωφροσύνης τὴν ἐκ θεοῦ τῆς παρ'
ἀνθρώπων γιγνομένης. ἀλλὰ μὴν νόσων γε καὶ πόνων τῶν
μεγίστων δι' ἁμαρτήματα ἐκ μηνιμάτων που θεῶν ἔν τισι

profuerint, prolixum nimis extenderemus ſermonem, & rem manifeſtam omnibus proferremus. Illud tamen dignum eſt teſtificari, quod veteres, qui nomina rebus impoſuerunt, non turpe quiddam, neque ignominioſum putaverunt furorem. non enim praeclariſſimae arti, qua futurum diſcernitur, hoc nomen annectentes, eam *μανικὴν*, id eſt, furorem nominaſſent; ſed tanquam bonum quiddam ſit furor, quando divina ſorte provenit, honeſtae arti nomen huiuſmodi indiderunt. at nunc iuniores, iſti interiecta *τ* litera, imperite nimium *μαντικὴν* dixerunt. Sane inveſtigationes futuri ſanorum hominum per aves & alia oſtenta, utpote a coniectura humanae intelligentiae procedentes, mentem hiſtoriamque auguralem cognominarunt. quam deinde poſteriores, *ο* parvum in magnum vertentes, honeſtiori vocabulo exornant. Quanto igitur perfectius praeſtantiuſque vaticinium augurali coniectione, & nomen nomine, opuſque opere: tanto teſtificantur antiqui furorem ex Deo profectum, quam humanam prudentiam, praeclarius eſſe. Atqui adverſus morbos &

γενομένων, ἡ μανία ἐγγενομένη, καὶ προφητεύσασα οἷς ἔδει,
ἀπαλλαγὴν εὕρετο, καταφυγοῦσα πρὸς θεῶν εὐχάς τε καὶ e.
λατρείας· ὅθεν δὴ καθαρμῶν τε καὶ τελετῶν τυχοῦσα ἐξάντη
ἐποίησε τὸν αὐτὴν ἔχοντα πρός τε τὸν παρόντα καὶ τὸν ἐπει-
τα χρόνον, λύσιν τῷ ὀρθῶς μανέντι τε καὶ κατασχομένῳ
τῶν παρόντων κακῶν εὑρομένη. τριτη δὲ ἀπὸ Μουσῶν κατ- p.
οχή τε καὶ μανία, λαβοῦσα ἁπαλὴν καὶ ἄβατον ψυχὴν, 245
ἐγείρουσα καὶ ἐκβακχεύουσα κατά τε ᾠδὰς καὶ κατὰ τὴν a.
ἄλλην ποίησιν, μυρια τῶν παλαιῶν ἔργα κοσμοῦσα τοὺς
ἐπιγιγνομένους παιδευει. ὃς δ' ἂν ἄνευ μανίας Μουσῶν ἐπὶ
ποιητικὰς θύρας ἀφίκηται, πεισθεὶς ὡς ἄρα ἐκ τέχνης ἱκανῶς
ποιητὴς ἐσόμενος, ἀτελὴς αὐτός τε καὶ ἡ ποίησις ὑπὸ τῆς
τῶν μαινομένων ἡ τοῦ σωφρονοῦντος ἠφανίσθη. τοσαῦτα μέν
σοι καὶ ἔτι πλείω ἔχω μανίας γιγνομένης ἀπὸ θεῶν λέγειν b.
καλὰ ἔργα. ὥστε τοῦτό γε αὐτὸ μὴ φοβώμεθα· μηδέ τις
ἡμᾶς λόγος θορυβείτω, δεδιττόμενος ὡς πρὸ τοῦ κεκινη-

labores maximos, ob antiqua delicta quandoque divina indignatione mortalibus imminentes, gentibus quibusdam alicunde furor adveniens, ac praedicens, quibus opus erat, remedia adinvenit, confugiens ad vota cultusque Deorum: unde expiationes propitiationesque consecutus, incolumem reddidit possidentem & in praesens tempus, & in futurum, absolutionem praesentium malorum recte furenti occupatoque adeptus. Tertia vero a Musis occupatio & furor, susceipiens teneram intactamque animam, suscitat illam atque afflat: unde per cantus aliamque poësin infinita antiquorum gesta exornans, posteros instruit. qui autem absque furore Musarum poëticas ad fores accedit, confidens, arte quadam poëtam se bonum evasurum, inanis ipse quidem, atque eius poësis, prae illa, quae ex furore procedit: qua quidem haec, quae ex prudentia fit, evanescit. Tot equidem, ac etiam plura, divini furoris praeclara opera referre possum. Quare hoc ipsum ne formidemus: neve ulla nos ratio absterreat, ostendens, prudentem & sanum potius, quam concitatum, amicum esse de-

μένου τὸν σώφρονα δεῖ προαιρεῖσθαι φίλον· ἀλλὰ τόδε πρὸς
ἐκείνῳ δείξας φερέσθω τὰ νικητήρια, ὡς οὐκ ἐπ' ὠφελείᾳ ὁ
ἔρως τῷ ἐρῶντι καὶ τῷ ἐρωμένῳ ἐκ θεῶν ἐπιπέμπεται. ἡμῖν
δὲ ἀποδεικτέον αὖ τοὐναντίον, ὡς ἐπ' εὐτυχίᾳ τῇ μεγίστῃ
c. παρὰ θεῶν ἡ τοιαύτη μανία δίδοται. ἡ δὲ δὴ ἀπόδειξις ἔσται
δεινοῖς μὲν ἄπιστος, σοφοῖς δὲ πιστή. δεῖ οὖν πρῶτον ψυχῆς
φύσεως πέρι θείας τε καὶ ἀνθρωπίνης, ἰδόντα πάθη τε καὶ
ἔργα, τἀληθὲς νοῆσαι. ἀρχὴ δὲ ἀποδείξεως ἥδε· Πᾶσα ψυ-
χὴ, ἀθάνατος. τὸ γὰρ ἀεικίνητον, ἀθάνατον· τὸ δ' ἄλλο κι-
νοῦν, καὶ ὑπ' ἄλλου κινούμενον, παῦλαν ἔχον κινήσεως, παῦ-
λαν ἔχει ζωῆς. μόνον δὴ τὸ αὐτὸ κινοῦν, ἅτε οὐκ ἀπολεῖ-
πον ἑαυτὸ, οὔποτε λήγει κινούμενον, ἀλλὰ καὶ τοῖς ἄλλοις
d. ὅσα κινεῖται, τοῦτο πηγὴ καὶ ἀρχὴ κινήσεως. ἀρχὴ δὲ, ἀγένη-
τον. ἐξ ἀρχῆς γὰρ ἀνάγκη πᾶν τὸ γιγνόμενον γίγνεσθαι,
αὐτὴν δὲ μηδ' ἐξ ἑνός. εἰ γὰρ ἔκ του ἀρχὴ γίγνοιτο, οὐκ
ἂν ἐξ ἀρχῆς γίγνοιτο. ἐπειδὴ δὲ ἀγένητόν ἐστι, καὶ ἀδιά-

ligendum. at ille insuper ostendat, si potest, ac victoriam reportet, non pro utilitate amantis & amati amorem a Diis esse concessum. Nobis vero nunc ostendendum est contra, pro felicitate maxima huiusmodi furorem a Diis hominibus esse datum. demonstratio autem erit contentiosis quidem incredibilis, sapientibus vero contra. Oportet autem nos prius de natura animae divinae & humanae, affectus & opera intuentes, vera noviſſe. Hoc vero demonstrationis huius principium sit: Anima omnis immortalis. quod enim semper movetur, id aeternum est. quod autem motum affert alicui, quodque ipsum agitatur aliunde, quando finem habet motus, vivendi finem habeat necesse est. Solum igitur quod se ipsum movet, quia nunquam deseritur a se, nunquam ne moveri quidem desinit: quin etiam ceteris, quae moventur, hic fons, hoc principium est movendi. Principii autem nulla est origo. nam ex principio oriuntur omnia: ipsum autem nulla ex re nasci potest. nec enim esset id principium, quod gigneretur aliunde. Quod si nunquam oritur, ne occidit qui-

φθορὰν αὐτὸ ἀνάγκη εἶναι. ἀρχῆς γὰρ δὴ ἀπολομένης, οὔτε αὐτή ποτε ἔκ του, οὔτε ἄλλο ἐξ ἐκείνης γενήσεται· εἴπερ ἐξ ἀρχῆς δεῖ τὰ πάντα γίγνεσθαι. οὕτω δὴ κινήσεως μὲν ἀρχὴ, τὸ αὐτὸ κινοῦν. τοῦτο δὲ οὔτ' ἀπόλλυσθαι οὔτε γίγνεσθαι δυνατόν· ἢ πάντα τε οὐρανὸν, πᾶσάν τε γῆν συμ- e.
πεσοῦσαν στῆναι, καὶ μήποτε αὖθις ἔχειν στῆναι ὅθεν κινηθέντα γενήσεται. ἀθανάτου δὲ πεφασμένου τοῦ ὑφ' ἑαυτοῦ κινουμένου, ψυχῆς οὐσίαν τε καὶ λόγον τοῦτο αὐτό τις λέγων οὐκ αἰσχυνεῖται. πᾶν γὰρ σῶμα ᾧ μὲν ἔξωθεν τὸ κινεῖσθαι, ἄψυχον· ᾧ δὲ ἔνδοθεν αὐτὸ ἐξ αὐτοῦ, ἔμψυχον· ὡς ταύτης οὔσης φύσεως ψυχῆς. εἰ δ' ἔστι τοῦτο οὕτως ἔχον, μὴ ἄλλό τι εἶναι τὸ αὐτὸ αὑτὸ κινοῦν, ἢ ψυχήν· ἐξ ἀνάγκης ἀγένητόν P. 246
τε καὶ ἀθάνατον ψυχὴ ἂν εἴη. περὶ μὲν οὖν ἀθανασίας αὐ- a.
τῆς ἱκανῶς. περὶ δὲ τῆς ἰδέας αὐτῆς ὧδε λεκτέον· οἷον μέν ἐστι, πάντη πάντως θείας εἶναι καὶ μακρᾶς διηγήσεως· ᾧ δὲ ἔοικεν, ἀνθρωπίνης τε καὶ ἐλάττονος. ταύτῃ οὖν λέγωμεν. ἔοικε

dem unquam. nam principium exſtinctum nec ipſum ab alio renaſcetur, nec a ſe aliud creabit: ſiquidem neceſſe eſt, a principio oriri omnia. Ita fit, ut motus principium ex eo ſit, quod ipſum a ſe movetur. id autem nec naſci poteſt, nec mori: vel concidat omne coelum, omniſque natura conſiſtat neceſſe eſt, nec vim ullam nanciſcatur, qua primo impulſu moveatur. Cum igitur appareat, immortale eſſe, quod ſe ipſum movet, animae ſubſtantiam & rationem hanc ipſam qui dixerit, non erubeſcet. omne enim corpus, cui motus extrinſecus incidit, inanime eſt: cui vero intus ex ſe ipſo id ineſt, animatum, tanquam haec animae natura ſit. quod ſi ita eſt, ut non ſit aliud quidquam, quod ſe ipſum moveat, praeter animam, neceſſario ingenita & immortalis eſt anima. De immortalitate animae ſatis eſt dictum. De idea vero ipſius in hunc modum eſt dicendum. Quale id omnino ſit, divinae penitus prolixaeque narrationis foret: ſimilitudinem vero eius quandam deſcribere, humanae & brevioris. hoc igitur modo dicamus. Similis eſto cognatae potentiae ſubalati cur-

δὴ τῇ ξυμφύτῳ δυνάμει ὑποπτέρου ζεύγους τε καὶ ἡνιόχου.
θεῶν μὲν οὖν ἵπποι τε καὶ ἡνίοχοι πάντες, αὐτοί τε ἀγαθοὶ
b. καὶ ἐξ ἀγαθῶν· τὸ δὲ τῶν ἄλλων μέμικται. καὶ πρῶτον μὲν
ἡμῶν ὁ ἄρχων συνωρίδος ἡνιοχεῖ, εἶτα τῶν ἵππων ὁ μὲν αὐ-
τῷ καλός τε καὶ ἀγαθὸς, καὶ ἐκ τοιούτων· ὁ δὲ, ἐξ ἐναντίων
τε καὶ ἐναντίος. χαλεπὴ δὴ καὶ δύσκολος ἐξ ἀνάγκης ἡ περὶ
ἡμᾶς ἡνιόχησις. πῇ δὴ οὖν θνητόν τε καὶ ἀθάνατον ζῶον
ἐκλήθη, πειρατέον εἰπεῖν. ἡ ψυχὴ πᾶσα παντὸς ἐπιμελεῖται
τοῦ ἀψύχου· πάντα δὲ οὐρανὸν περιπολεῖ, ἄλλοτε ἐν ἄλλοις
c. εἴδεσι γιγνομένη. τελέα μὲν οὖν οὖσα καὶ ἐπτερωμένη μετεω-
ροπολεῖ τε καὶ ἅπαντα τὸν κόσμον διοικεῖ· ἡ δὲ, πτεροῤῥυή-
σασα φέρεται, ἕως ἂν στερεοῦ τινος ἀντιλάβηται· οὗ κατοικι-
σθεῖσα, σῶμα γήϊνον λαβοῦσα, αὐτὸ αὐτὸ δοκοῦν κινεῖν διὰ
τὴν ἐκείνης δύναμιν, ζῶον τὸ ξύμπαν ἐκλήθη, ψυχὴ καὶ σῶ-
μα σχόν· θνητόν τ' ἔσχεν ἐπωνυμίαν· ἀθάνατον δὲ, οὐδ' ἐξ
ἑνὸς λόγου λελογισμένου, ἀλλὰ πλαττομένου, οὔτε ἰδόντες,
οὔτε ἱκανῶς νοήσαντες θεὸν, ἀθάνατον τι ζῶον, ἔχον μὲν

rus & aurigae. Deorum equi & aurigae omnes boni ſunt, atque ex bonis: aliorum vero, permixti. Principio quidem noſtri princeps bigas habenis moderatur: deinde equorum alter bonus & pulcher, & ex talibus; alter contrarius, & ex contrariis. quo fit, ut dura & difficilis neceſſario ſit vectura noſtra. Qua vero ratione mortale & immortale animal appellatum ſit, conandum eſt dicere. Omnis anima totius inanimati curam habet, totumque percurrit coelum, alias videlicet alias ſortita ſpecies. Perfecta quidem dum eſt & alata, ſublimis incedit, ac totum gubernat mundum: cui vero alae defluxerint, fertur, quoad ſolidum aliquid apprehenderit: ubi habitaculum ſortita, corpus terrenum ſuſcipit, ſeſe movere apparens propter illius potentiam: animalque totum vocatur, anima ſimul corpuſque compactum, & mortale animal cognominatur. Immortale autem ex nulla ratione diſcurſu percepta, ſed quae fingitur: quippe cum neque viderimus, neque ſatis intellexerimus Deum, immortale quod-

ψυχὴν, ἔχον δὲ σῶμα· τὸν ἀεὶ δὲ χρόνον ταῦτα ξυμπεφυ- d.
κότα. ἀλλὰ ταῦτα μὲν δὴ ὅπη τῷ θεῷ φίλον, ταύτῃ ἐχέτω
τε καὶ λεγέσθω. τὴν δ' αἰτίαν τῆς τῶν πτερῶν ἀποβολῆς, δι'
ἣν ψυχῆς ἀπορρεῖ, λάβωμεν. ἔστι δέ τις τοιάδε. πέφυκεν ἡ
πτεροῦ δυναμις τὸ ἐμβριθὲς ἄγειν ἄνω μετεωρίζουσα, ᾗ τὸ
τῶν θεῶν γένος οἰκεῖ. κεκοινωνηκε δὲ πη μάλιστα τῶν περὶ τὸ
σῶμα τοῦ θείου ψυχή. τὸ δὲ θεῖον, καλὸν, σοφὸν, ἀγαθὸν,
καὶ πᾶν ὅ, τι τοιοῦτο. τούτοις δὴ τρέφεταί τε καὶ αὔξεται e.
μάλιστα τὸ τῆς ψυχῆς πτέρωμα, αἰσχρῷ δὲ καὶ κακῷ καὶ
τοῖς ἐναντίοις ὀθνεῖ τε καὶ διόλλυται. ὁ μὲν δὴ μέγας ἡγε-
μὼν ἐν οὐρανῷ Ζεὺς, πτηνὸν ἅρμα ἐλαύνων, πρῶτος πορεύε-
ται, διακοσμῶν πάντα καὶ ἐπιμελούμενος· τῷ δ' ἕπεται στρα-
τιὰ θεῶν τε καὶ δαιμόνων, κατὰ ἑνδεκα μέρη κεκοσμημένη.
μένει γὰρ Ἑστία ἐν θεῶν οἴκῳ μόνη· τῶν δὲ ἄλλων ὅσοι ἐν τῷ P.
τῶν δώδεκα ἀριθμῷ τεταγμένοι θεοὶ ἄρχοντες, ἡγοῦνται 247
κατὰ τάξιν ἣν ἑκαστος ἐτάχθη. πολλαὶ μὲν οὖν καὶ μακάρι- a.
αι θέαι τε καὶ ὁδοὶ ἐντὸς οὐρανοῦ, ἃς θεῶν γένος εὐδαι-

dam animal, habens quidem animam, habens etiam corpus, naturaliter omne tempus coniuncta. Sed haec iam, uti Deo placet, ita ſe habeant & dicantur. Per quam vero cauſam alae abiiciantur, decidantque ab anima, nunc dicamus. eſt autem talis quaedam. Naturalis alarum vis eſt, grave in ſublime attollere, ubi Deorum inhabitat genus. Omnium vero, quae ſunt circa corpus, maxime particeps divini eſt animus. Divinum autem pulchrum, ſapiens, bonum, & quidquid tale dici poteſt. His utique alitur maxime augeturque ipſa alatio animi: turpi autem, & malo, contrariiſque huiuſmodi deficit atque interit. Magnus utique dux in coelo Iuppiter, citans alatum currum, primus incedit, exornans cuncta, provideque diſponens. Hunc ſequitur Deorum Daemonumque exercitus, per undecim partes ordinatus. Permanet autem Veſta in Deorum aede ſola. aliorum vero Deorum, quicunque in duodecim numero cenſentur, ſuae quiſque functioni praeeſt, ut quiſque eſt ordinatus. Permulta igitur beataque ſpectacula

μόνων ἐπισρέφεται, πράττων ἕκαστος αὐτῶν τὸ αὑτοῦ. ἕπεται δὲ ὁ ἀεὶ θέλων τε καὶ δυνάμενος. φθόνος γὰρ ἔξω χοροῦ θείου ἵσταται. ὅταν δὲ δὴ πρὸς δαῖτά τε καὶ ἐπι θοίνην ἴωσιν,
b. ἄκραν ἐπι τὴν οὐράνιον ἀψίδα πορεύονται πρὸς ἄνωντες ἠδη. τὰ μὲν θεῶν ὀχήματα ἰσορρόπως εὐήνια ὄντα, ῥαδίως πορεύεται· τὰ δὲ ἄλλα πορεύονται μόγις. βρίθει γὰρ ὁ τῆς κάκης ἵππος μετέχων, ἐπὶ γῆν ῥέπων τε καὶ βαρύνων, ἢν μὴ καλῶς ᾖ τεθραμμένος ὑπὸ τῶν ἡνιόχων. ἔνθα δὴ πόνος τε καὶ ἀγὼν ἔσχατος ψυχῇ πρόκειται. αἱ μὲν γὰρ ἀθάνατοι καλούμεναι, ἡνίκα ἂν πρὸς ἄκρῳ γένωνται, ἔξω πορευθεῖσαι
c. ἔσησαν ἐπὶ τῷ τοῦ οὐρανοῦ νώτῳ. ἑσάσας δὲ αὐτὰς περιάγει ἡ περιφορά· αἱ δὲ θεωροῦσι τὰ ἔξω τοῦ οὐρανοῦ. τὸν δὲ ὑπερουράνιον τόπον οὔτέ τις ὕμνησέ πω τῶν τῇδε ποιητὴς, οὔτε ποθ' ὑμνήσει κατ' ἀξίαν. ἔχει δὲ ὧδε. τολμητέον γὰρ οὖν τόγε ἀληθὲς εἰπεῖν, ἄλλως τε καὶ περὶ ἀληθείας λέγοντα. ἡ γὰρ ἀχρώματός τε καὶ ἀσχημάτιστος καὶ ἀναφὴς οὐ-

discurſuſque intra coelum exſiſtunt, quibus Deorum genus beatorum intendit, ſuum quiſque officium peragens. ſequitur autem ſemper volens & potens. livor enim a divino choro procul abeſt. Cum vero ad convivium ac dapes vadunt, in ſummum coeli faſtigium ſublimes eunt. Deorum quidem vehicula, apta habenis, aequaliterque librata, facile gradiuntur: aliorum vero aegre. gravatur enim pravitatis particeps equus, ad terram vergens atque trahens, cuicunque aurigarum equus non bonus nutritus fuerit: ubi iam labor & certamen extremum animae proponitur. quae enim immortales vocantur, cum ad ſummum pervenerint, extra progreſſae in coeli dorſo conſiſtunt. ibi conſtitutas circumferentia ipſa circumfert, atque illae intuentur, quae ſunt extra coelum. locum vero ſupercoeleſtem neque quiſquam noſtrorum laudavit adhuc poëtarum, neque unquam pro dignitate laudabit. habet ſe vero in hunc modum. audendum eſt enim verum dicere, praeſertim de veritate loquenti. Sine colore, ſine figura, ſine tactu, ſine eſſentia vere exſiſtens, animae guber-

σία ὄντως οὖσα ψυχῆς κυβερνήτη, μόνῳ θεατῇ νῷ χρῆται· περὶ ἣν τὸ τῆς ἀληθοῦς ἐπιστήμης γένος τοῦτον ἔχει τὸν τόπον. ἆρ' οὖν θεοῦ διάνοια νῷ τε καὶ ἐπιστήμῃ ἀκηράτῳ τρεφο- d.
μένη, καὶ ἁπάσης ψυχῆς, ὅσην ἂν μέλλῃ τὸ προσῆκον δέξεσθαι, ἰδοῦσα διὰ χρόνου τὸ ὄν, ἀγαπᾷ τε καὶ θεωροῦσα τἀληθῆ τρέφεται καὶ εὐπαθεῖ, ἕως ἂν κυκλῳ ἡ περιφορὰ εἰς ταυτὸν περιενέγκῃ. ἐν δὲ τῇ περιόδῳ καθορᾷ μὲν αὐτὴν δικαιοσύνην, καθορᾷ δὲ σωφροσύνην, καθορᾷ δὲ ἐπιστήμην, οὐχ ἥ γένεσις πρόσεστιν· οὐδ' ἡ ἐφ' ου ἑτέρα ἐν ἑτέρῳ οὖσα, ὧν ἡμεῖς νῦν ὄντων καλοῦμεν· ἀλλὰ τὴν ἐν τῷ ὁ ἐστιν ὂν ὄντως ἐπιστή- e.
μην οὖσαν, καὶ τἄλλα ὡσαύτως τὰ ὄντα ὄντα θεασαμένη, καὶ ἐμπλησθεῖσα, δῦσα πάλιν εἰς τὸ εἴσω τοῦ οὐρανοῦ, οἴκαδε ἦλθεν. ἐλθούσης δὲ αὐτῆς ὁ ἡνίοχος πρὸς τὴν φάτνην τοὺς ἵππους στήσας, παρέβαλεν ἀμβροσίαν τε καὶ ἐπ' αὐτῇ νέκταρ ἐπότισε. καὶ οὗτος μὲν θεῶν βίος. αἱ δὲ ἄλλαι ψυχαί, ἡ μὲν ἄριστα θεῶν ἑπομένη καὶ εἰκασμένη ὑπερῆρεν εἰς τὸν ἔξω τό- p.
πον τὴν τοῦ ἡνιόχου κεφαλὴν, καὶ συμπεριηνέχθη τὴν περι- 248 a.

natore ſolo intellectu contemplante utitur, circa quam verae ſcientiae genus hunc habet locum. Utpote igitur Dei cogitatio intellectu & ſcientia immaculata ſe vertens, cogitatio quoque omnis animae, quaecunque convenientem ſibi conditionem ſuſceptura eſt, intuita per tempus id quod eſt, contenta veritatis contemplatione, nutritur & gaudet, donec circulo in idem circumferentia referat. In hoc autem circuitu conſpicit ipſam iuſtitiam, conſpicit temperantiam, conſpicit ſcientiam: non qua adſit generatio, nec qua alia alicubi ſit in alio, quales videlicet ſunt eorum, quae nos entia nunc appellamus; ſed illam, quae in eo, quod eſt ens vere, ſcientia eſt: & alia eodem modo, quae vere ſunt, ſpeculata, atque his enutrita, ſubiens rurſus intra coelum, domum revertitur. Cum autem redierit, auriga, ad praeſepe ſiſtens equos, obiicit illis ambroſiam, & poſt ipſam nectar potandum. Atque haec Deorum eſt vita. Ceterarum vero animarum alia, optime Deum ſecuta, ſimiliſque effecta, extulit in ſupercoele-

φορὰν, θορυβουμένη ὑπὸ τῶν ἵππων, καὶ μόγις καθορῶσα τὰ ὄντα. ἡ δὲ τοτὲ μὲν ἦρε, τοτὲ δὲ καὶ εἰσὶ βιαζομένων δὲ τῶν ἵππων, τὰ μὲν εἶδε, τὰ δ' οὔ. αἱ δὲ δὴ ἄλλαι, ὀλιχόμεναι μὲν ἅπασαι τοῦ ἄνω, ἕπονται, ἀδυνατοῦσαι δὲ; ὑποβρύχιαι συμπεριφέρονται, πατοῦσαι ἀλλήλαις καὶ ἐμβάλλουσαι, ἑτέρα πρὸ τῆς ἑτέρας πειρωμένη γενέσθαι. θόρυβος οὖν καὶ ἅμιλλα καὶ ἱδρὼς ἔσχατος γίγνεται. οὗ δὴ, κακίᾳ ἡνιόχων, πολλαὶ μὲν χωλεύονται, πολλαὶ δὲ πολλὰ πτερὰ θραυσνται· πᾶσαι δὲ, πολὺν ἔχουσαι πόνον, ἀτελεῖς τῆς τοῦ ὄντος θέας ἀπέρχονται· καὶ ἀπελθοῦσαι τροφῇ δοξαστῇ χρῶνται. οὗ δὴ ἕνεκ' ἡ πολλὴ σπουδὴ, τὸ ἀληθείας ἰδεῖν πεδίον οὗ ἔστιν. ἥ τε δὴ προσήκουσα ψυχῆς τῷ ἀρίστῳ νομῇ, ἐκ τοῦ ἐκεῖσε λειμῶνος τυγχάνει οὖσα· ἥ τε τοῦ πτεροῦ φύσις, ᾧ ψυχὴ κουφίζεται, τούτῳ τρέφεται. θεσμός τε Ἀδραστείας ὅδε, ἥτις ἂν ψυχὴ θεῷ ξυνοπαδὸς γενομένη, κατιδὼ τι τῶν ἀληθῶν, μέχρι τε τῆς ἑτέρας περιόδου εἶναι ἀπήμονα· κἂν

ſtem locum aurigae caput, & cum ipſa circumferentia ſimul delata eſt, ſed perturbata ab equis, & vix ea, quae vere ſunt, intuita. Alia vero modo caput extulit, modo ſubmiſit: at ob violentiam equorum, partim vidit quidem, partim vero non vidit. Aliae autem animae, affectantes quidem omnes ſuperiorem locum, ſequuntur: cum vero nequeant, ſubmerſae circumferuntur, calcantes ſeſe invicem atque incumbentes, alia aliam praeire contendens. Tumultus igitur, & certamen, & ſudor ſit extremus: ubi quidem aurigarum vitio multae claudicant, multae multas pennas confringunt, omnes vero, magno implicatae labore, expertes eius, quod vere eſt, intuendi, diſcedunt: poſt diſceſſum vero alimento utuntur opinabili. cuius quidem gratia multus ineſt conatus, veritatis campus ubinam ſit, intueri. nam ex huiuſmodi prato optima vis animae convenientem accipit alimoniam, & alarum natura, qua anima elevatur, hoc alitur. Regulaque Adraſtiae Deae, id eſt, inevitabilis numinis, haec eſt, ut, quaecunque anima Deum comitata aliquid verorum inſpexerit, ea uſque

ἀεὶ τοῦτο δύνηται ποιεῖν, αἰεὶ ἀβλαβῆ εἶναι· ὅταν δὲ ἀδυνατήσασα ἐπισπέσθαι, μὴ ἴδῃ, καί τινι συντυχίᾳ χρησαμένη, λήθης τε καὶ κακίας πλησθεῖσα βαρυνθῇ, βαρυνθεῖσα δὲ πτεροῤῥυήσῃ τε καὶ ἐπὶ τὴν γῆν πέσῃ, τότε νόμος ταύτην μὴ φυτεῦσαι εἰς μηδεμίαν θήρειον φύσιν ἐν τῇ πρώτῃ γενέσει· d.
ἀλλὰ τὴν μὲν πλεῖστα ἰδοῦσαν, εἰς γονὴν ἀνδρὸς γενησομένου φιλοσόφου, ἢ φιλοκάλου, ἢ μουσικοῦ τινος καὶ ἐρωτικοῦ· τὴν δὲ δευτέραν, εἰς βασιλέως ἔννομου, ἢ πολεμικοῦ καὶ ἀρχικοῦ· τρίτην, εἰς πολιτικοῦ, ἢ τινος οἰκονομικοῦ, ἢ χρηματιστικοῦ· τετάρτην, εἰς φιλοπόνου γυμναστικοῦ, ἢ περὶ σώματος ἴασιν τινὰ ἐσομένου· πέμπτην, μαντικὸν βίον, ἢ τινα τελεστικὴν ἔξουσαν· ἕκτην, ποιητικόν· ἑβδόμην, γεωμετρικὸς, ἢ δη- e.
μιουργικός· ὀγδόην, σοφιστικὸς, ἢ δημοκοπικός· ἐνάτην, τυραννικός. ἐν δὲ τούτοις ἅπασιν ὃς μὲν ἂν δικαίως διάγῃ, ἀμείνονος μοίρας μεταλαμβάνει· ὃς δ' ἂν ἀδίκως, χείρονος. εἰς μὲν

ad circuitum alium ſit indemnis: & ſi ſemper hoc facere queat, ſit ſemper illaeſa. ſi vero imporens aſſequendi non inſpexerit, & caſu aliquo uſa, repletaque oblivione & pravitate gravetur, gravata autem pennas confregerit, in terramque reciderit: tunc prohibet lex hanc in prima generatione in aliquam brutalem ire naturam; ſed iubet eam, quae plurima viderit, in genituram viri philoſophi, aut pulchritudinis cupidi, aut muſici, atque amatorii; eam vero, quae ſecundo loco, in regem legitimum, aut bellicoſum virum & imperatorium deſcendere: tertio, in gubernatorem reipublicae, aut rei familiaris diſpenſatorem, vel quaeſtuarium: quarto, in laborioſum gymnaſticum, aut circa medelam curamque corporis verſaturum: quinto, in eos, qui vates futuri ſunt, & circa myſteria quaedam: ſexto, in poëtam, vel alium quemvis eorum, qui apte in imitatione verſantur: ſeptimo, in artificem vel agricolam: octavo, in ſophiſtam & popularem: nono, in tyrannidem. In his autem omnibus quicunque iuſte vitam egerit, ſortem poſtea nanciſcitur meliorem: qui vero iniuſte, deteriorem. In idem enim, unde profecta eſt cuiuſ-

γὰρ τὸ αὐτοῦ ἦθος ἔκει ἡ ψυχὴ ἑκάστη, οὐ καθικνεῖται ἐτῶν μυρίων, (οὐ γὰρ πτεροῦται πρὸ τοσούτου χρόνου) πλὴν ἡ τοῦ
P. φιλοσοφήσαντος ἀδόλως, ἢ παιδεραστήσαντος μετὰ φιλοσο-
249 a. φίας. αὗται δὲ τρίτῃ περιόδῳ τῇ χιλιετεῖ, ἐὰν [illegible]ωνται τρὶς ἐφεξῆς τὸν βίον τοῦτον, οὕτω πτερωθεῖσαι, τρισχιλιοστῷ ἔτει ἀπέρχονται. αἱ δὲ ἄλλαι, ὅταν τὸν πρῶτον βίον τελευτήσωσι, κρίσεως ἔτυχον. κριθεῖσαι δὲ, αἱ μὲν εἰς τὰ ὑπὸ γῆς δικαιωτήρια ἐλθοῦσαι, δίκην ἐκτίνουσιν· αἱ δ' εἰς τοῦ οὐρανοῦ τινα τόπον ὑπὸ τῆς δίκης κουφισθεῖσαι, διάγουσιν ἀξίως οὗ
b. ἐν ἀνθρώπου εἴδει ἐβίωσαν βίου. τῷ δὲ χιλιοστῷ ἀμφότεραι ἀφικνούμεναι ἐπὶ κλήρωσίν τε καὶ αἵρεσιν τοῦ δευτέρου βίου, αἱροῦνται ὃν ἂν ἐθέλῃ ἑκάστη. ἔνθα καὶ εἰς θηρίου βίον ἀνθρωπίνη ψυχὴ ἀφικνεῖται, καὶ ἐκ θηρίου, ὅς ποτε ἄνθρωπος ἦν, πάλιν εἰς ἄνθρωπον. οὐ γὰρ ἥγε μήποτε ἰδοῦσα τὴν ἀλήθειαν εἰς τόδε ἥξει τὸ σχῆμα. δεῖ γὰρ ἄνθρωπον ξυνιέναι κατ' εἶδος λεγόμενον, ἐκ πολλῶν ἰὸν αἰσθήσεων εἰς ἓν λογισμῷ ξυναι-

que anima, annis decem millibus non revertitur. nam alas ante hoc ſpatium non recuperat: praeter illius animam, qui philoſophatus eſt ſine dolo, vel una cum ſapientiae ſtudio pueros amavit. Hae quidem tertio ambitu mille annorum, ſi ter hanc ipſam deinceps elegerint vitam, ſic recuperatis alis, poſt tria millia annorum evolant abeuntes. Aliae vero animae, primae vitae finem conſecutae, iudicantur. iudicatae autem, aliae ſub terra in iudicii locum euntes, meritas illic poenas ſuſtinent: aliae in coeli quendam locum per iudicium elevatae, ita degunt, ut dignum eſt ea vita, quam in hominis figura vixerunt. Milleſimo anno ambae redeuntes, ſortem & electionem ſecundae vitae ſuſcipiunt, & deligit unaquaeque eam vitam, quam velit. Hic & in beſtiae vitam humana anima tranſit, & ex beſtia rurſus in hominem, ſi modo anima quandoque prius fuerit hominis. Nam quae nunquam veritatem inſpexerit, in hanc figuram venire non poterit. oportet vero hominem intelligere ſecundum ſpeciem, ex multis procedentem ſenſibus in unum ratiocinatione conceptum. Haec

ρούμενον. τοῦτο δέ ἐστιν ἀνάμνησις ἐκείνων ἃ ποτ' εἶδεν ἡμῶν c.
ἡ ψυχὴ, συμπορευθεῖσα θεῷ, καὶ ὑπεριδοῦσα ἃ νῦν εἶναι
φαμὲν, καὶ ἀνακύψασα εἰς τὸ ὄντως ὄν. διὸ δὴ δικαίως μόνη
πτεροῦται ἡ τοῦ φιλοσόφου διάνοια. πρὸς γὰρ ἐκείνοις ἀεί
ἐστι μνήμη κατὰ δύναμιν, πρὸς οἷσπερ ὁ θεὸς ὢν, θεῖός ἐστι.
τοῖς δὲ δὴ τοιούτοις ἀνὴρ ὑπομνήμασιν ὀρθῶς χρώμενος, τε-
λέους ἀεὶ τελετὰς τελούμενος, τέλεος ὄντως μόνος γίγνεται.
ἐξιστάμενος δὲ τῶν ἀνθρωπίνων σπουδασμάτων, καὶ πρὸς τῷ d.
θείῳ γιγνόμενος, νουθετεῖται μὲν ὑπὸ τῶν πολλῶν, ὡς παρα-
κινῶν, ἐνθουσιάζων δὲ λέληθε τοὺς πολλούς. ἔστι δὴ οὖν δεῦρο
ὁ πᾶς ἥκων λόγος περὶ τῆς τετάρτης μανίας, ἵν' ὅταν τὸ τῇ-
δε τις ὁρῶν κάλλος, τοῦ ἀληθοῦς ἀναμιμνησκόμενος, ἀναπτε-
ρῶταί τε καὶ ἀναπτερούμενος προθυμῆται ἀναπτέσθαι· ἀδυ-
νατῶν δὲ, ὄρνιθος δίκην βλέπων ἄνω, τῶν κάτω δὲ ἀμελῶν,
αἰτίαν ἔχει ὡς μανικῶς διακείμενος. ὡς ἄρα αὕτη πασῶν e.
τῶν ἐνθουσιάσεων ἀρίστη τε καὶ ἐξ ἀρίστων τῷ τε ἔχοντι καὶ
τῷ κοινωνοῦντι αὐτῆς γίγνεται· καὶ ὅτι ταύτης μετέχων τῆς

autem eſt recordatio illorum, quae olim vidit anima noſtra cum Deo profecta, & illa deſpiciens, quae nunc eſſe dicimus, & ad id, quod vere eſt, ſurſum reflexa. quapropter ſola philoſophi cogitatio merito recuperat alas. nam illis ſemper, quantum fieri poteſt, memoria inhaeret, quibus Deus inhaerens divinus eſt. talibus autem commentationibus qui recte utitur, perfectiſque myſteriis ſemper imbuitur, perfectus revera ſolus evadit. ab humanis autem ſtudiis ſegregatus, divinoque inhaerens, carpitur a multitudine, quaſi extra ſe poſitus: ſed ipſe Deo plenus multitudinem latet. Tendit igitur huc totus ſermo, qui eſt circa quartum furorem, quo quando quis, viſa hic pulchritudine aliqua, verae illius reminiſcens, alas recipit, receptiſque evolare nititur: cum vero id facere nequeat, tanquam avis ſuperna ſuſpiciens, & inferiora contemnens, crimen reportat, quaſi furore correptus. Haec itaque divina alienatio omnium alienationum optima, atque ex optimis fit, & habenti, & partici-

μανίας ὁ ἐρῶν τῶν καλῶν, ἐραστὴς καλεῖται. καθάπερ γὰρ
εἴρηται, πᾶσα μὲν ἀνθρώπου ψυχὴ φύσει τεθέαται τὰ ὄντα·
p. (ἢ οὐκ ἂν ἦλθεν εἰς τόδε τὸ ζῷον) ἀναμιμνήσκεσθαι δ' ἐκ
a. τῶνδε ἐκεῖνα, οὐ ῥᾴδιον ἁπάσῃ, οὔτε ὅσαι βραχέως εἶδον τότε τὰκεῖ, οὔθ' αἱ δεῦρο πεσοῦσαι ἐδυστύχησαν· οὔτε ὑπὸ τινῶν ὁμιλιῶν ἐπὶ τὸ ἄδικον τραπόμεναι, λήθην ὧν τότε εἶδον ἱερῶν ἔσχον. ὀλίγαι δὴ λείπονται αἷς τὸ τῆς μνήμης ἱκανῶς πάρεξιν. αὗται δὲ, ὁπόταν τί τῶν ἐκεῖ ὁμοίωμα ἴδωσιν, ἐκπλήττονται, καὶ οὐκέθ' αὑτῶν γίγνονται. ὃ δ' ἐστὶ τὸ πάθος ἀγνοοῦσι, διὰ τὸ μὴ ἱκανῶς διαισθάνεσθαι. δικαιοσύνης μὲν
b. οὖν καὶ σωφροσύνης, καὶ ὅσα ἄλλα τίμια ψυχαῖς, οὐκ ἔνεστι φέγγος οὐδὲν ἐν τοῖς τῇδε ὁμοιώμασιν· ἀλλὰ δι' ἀμυδρῶν ὀργάνων μόγις αὐτῶν καὶ ὀλίγοι ἐπὶ τὰς εἰκόνας ἰόντες, θεῶνται τὸ τοῦ εἰκασθέντος γένος. κάλλος δὲ τότε ἦν ἰδεῖν λαμπρὸν, ὅτε σὺν εὐδαίμονι χορῷ μακαριαν ὄψιν τε καὶ

panti: & qui hoc tenetur furore, cum amet pulchra, amator vocatur. Ut enim dictum eſt, omnis anima hominis ea, quae vere ſunt, intuita eſt, alioquin in hoc animal non veniſſet. recordari vero ex his illorum, quae hic ſunt, non facile eſt omnibus, nec quot ex illis breve tempus illuc inſpexerunt, neque quot huc deſcendentes infortunatae fuerunt, ita ut quibuſdam conſuetudinibus depravatae, ſacrorum, quae aliquando inſpexerant, oblivionem ſuſceperint. Quamobrem paucae reſtant, quibus ſatis memoriae ſuperſit. Hae vero, quando hic ſimilitudinem aliquam eorum, quae illic inſpexerant, intuentur, obſtupeſcunt, & quaſi extra ſe ponuntur: quae tamen ſit haec affectio, ignorant, quia non ſatis omnino perſentiunt. Iuſtitiae quidem, & temperantiae, & aliorum, quaecunque in animis pretioſa ſunt, ſplendorem nullum in his imaginibus cernimus: ſed per obſcura quaedam inſtrumenta vix & perpauci in eorum imagines accedentes, eius, quod repraeſentatur, genus aſpiciunt. At pulchritudinem tunc licebat videre clariſſimam, quando cum beato illo choro felicem viſionem contemplationemque ſecuti, cum Iove qui-

θέαν ἑπόμενοι μετὰ μὲν Διὸς ἡμεῖς, ἄλλοι δὲ μετ' ἄλλου θεῶν, εἶδόν τε καὶ ἐτελοῦντο τελετῶν ἣν θέμις λέγειν μακαριωτάτην· ἣν ἐργιάζομεν ὁλόκληροι μὲν αὐτοὶ ὄντες, καὶ c.
ἀπαθεῖς κακῶν ὅσα ἡμᾶς ἐν ὑστέρῳ χρόνῳ ὑπέμενεν· ὁλόκληρα δὲ καὶ ἁπλᾶ καὶ ἀτρεμῆ καὶ εὐδαίμονα φάσματα μυούμενοί τε καὶ ἐποπτεύοντες ἐν αὐγῇ καθαρᾷ καθαροὶ ὄντες καὶ ἀσήμαντοι τούτου ὃ νῦν δὴ σῶμα περιφέροντες ὀνομάζομεν ὀστρέου τρόπον δεδεσμευμένοι. ταῦτα μὲν οὖν μνήμῃ κεχαρίσθω, δι' ἣν πόθῳ τῶν τότε νῦν μακρότερα εἴρηται. περὶ δὲ κάλλους, ὥσπερ εἴπομεν, μετ' ἐκείνων δὲ ἔλαμπεν ἰόν. δεῦρό τε ἐλθόντες κατειλήφαμεν αὐτὸ διὰ τῆς ἐναργεστάτης αἰσθήσεως τῶν ἡμετέρων σιλβον ἐναργέστατα. ὄψις γὰρ ἡμῖν ὀξυτάτη τῶν διὰ τοῦ σώματος ἔρχεται αἰσθήσεων, ᾗ φρόνησις οὐχ ὁρᾶται. δεινοὺς γὰρ ἂν παρεῖχεν ἔρωτας, εἴτι τοιοῦτον ἐαυτῆς ἐναργὲς εἴδωλον παρείχετο εἰς ὄψιν ἰόν, καὶ τἄλλα ὅσα ἐραστά. νῦν δὲ κάλλος μόνον ταύτην ἔσχε μοῖραν, ὥστ' ἐκφανέστατον εἶναι καὶ ἐρασμιώτατον. ὁ μὲν οὖν μὴ νεοτελὴς, ἢ e.

dem nos, alii vero cum alio quodam Deorum viderunt, & initiati ſunt ſacris, quae fas eſt dicere ſacrorum omnium beatiſſima: quae operamur integri quidem nos, & malorum expertes, quot in poſterum manebant, integra quoque & ſimplicia, immobiliaque, & beata ſpectacula initiati inſpectantes pura in luce puri & immaculati, ſolutique ab hoc, quod nunc circumferentes, corpus vocamus, in modum oſtreae huic alligati. Haec autem memoriae ſunt accepta ferenda, propter quam deſiderio illorum, quae quondam vidimus, nunc ſermonem extendimus. Pulchritudo autem, quemadmodum diximus, & cum illis progrediens effulgebat tunc, & huc profecti percepimus eam per ſenſum noſtrorum perſpicaciſſimum clariſſime refulgentem. oculorum enim eſt in nobis ſenſus acerrimus, quibus ſapientiam non cernimus. Quam illa ardentes amores excitaret ſui, ſi videretur? Eadem eſt de ceteris, quae ſunt amabilia, ratio. At vero pulchritudo ſola hanc habuit ſortem, ut maxime omnium & perſpicua

διεφθαρμένος, οὐκ ὀξέως ἐνθένδε ἐκεῖσε φέρεται πρὸς αὐτὸ
τὸ κάλλος, θεώμενος αὐτοῦ τὴν τῇδε ἐπωνυμίαν. ὥστε οὐ
σέβεται προσορῶν, ἀλλ' ἡδονῇ παραδοὺς, τετράποδος νόμῳ
βαίνειν ἐπιχειρεῖ, καὶ παιδοσπορεῖν· καὶ ὕβρει προσομιλῶν, οὐ
p. δέδοικεν, οὐδ' αἰσχύνεται παρὰ φύσιν ἡδονὴν διώκων. ὁ δὲ
251 ἀρτιτελὴς, ὁ τῶν τότε πολυθεάμων, ὅταν θεοειδὲς πρόσωπον
a. ἰδῃ, κάλλος εὖ μεμιμημένον, ἢ τινα ἀσώματον ἰδέαν, πρῶ-
τον μὲν ἔφριξε, καί τι τῶν τότε ὑπῆλθεν αὐτὸν δειμάτων·
εἶτα προσορῶν, ὡς θεὸν σέβεται· καὶ, εἰ μὴ δεδίει τὴν τῆς
σφόδρα μανίας δόξαν, θύοι ἄν, ὡς ἀγάλματι καὶ θεῷ, τοῖς
παιδικοῖς. ἰδόντα δὲ αὐτὸν, οἷον ἐκ τῆς φρίκης μεταβολή τε
b. καὶ ἱδρὼς καὶ θερμότης ἀήθης λαμβάνει. δεξάμενος γὰρ τοῦ
κάλλους τὴν ἀπορροὴν διὰ τῶν ὀμμάτων, ἐθερμάνθη ᾗ ἡ
τοῦ πτεροῦ φύσις ἄρδεται. θερμανθέντος δὲ ἐτάκη τὰ περὶ
τὴν ἔκφυσιν, ἃ πάλαι ὑπὸ σκληρότητος συμμεμυκότα εἶργε

fit, & amabilis. Qui ergo non eſt myſteriis nuper initiatus, aut potius eſt depravatus, haud celeriter hinc illuc ad ipſam pulchritudinem excitatur, ſimilitudinem hic quandam, quae ab illa denominatur, aſpiciens. quapropter non veneratur, dum aſpicit, ſed quadrupedis ritu deditus voluptati, aggredi & concumbere nititur: petulanterque congrediens, nec timet, nec erubeſcit voluptatem praeter naturam ſectari. Sed qui nuper expiatus eſt ſacris, quive aliquando eſt plurima contemplatus, quando vultum divina forma decorum videt, apte ipſam pulchritudinem imitatum, vel aliquam incorpoream ſpeciem, primo quidem horret, metuſque vetus aliquis in eum revolvitur: deinde inſpiciens, tanquam Deum colit: ac, niſi vereretur vehementis inſaniae crimen, ſacra amatis non aliter, quam Dei ſtatuae, faceret. intuentem vero ipſum velut ex horrore, permutatio, ſudor, & ardor inſolitus occupat. quando enim pulchritudinis influxum per oculos accipit, calefit, quo pennarum natura irrigatur: poſtquam vero incaluit, liqueſcunt quae ad pullulandum ſpectant, quaeque diu prae duritie compacta, exitum germinis cohibebant.

μὴ βλαξάνειν. ἐπιῤῥυείσης δὲ τῆς τροφῆς, ᾠδησέ τε καὶ ὥρμησε φύεσθαι ἀπὸ τῆς ῥίζης ὁ τοῦ πτεροῦ καυλὸς ὑπὸ πᾶν τὸ τῆς ψυχῆς εἶδος. πᾶσα γὰρ ἦν τοπάλαι πτερωτή. ζεῖ οὖν ἐν τούτῳ ὅλη καὶ ἀνακηκίει. καὶ ὅπερ τὸ τῶν ὀδοντοφυούντων c.
πάθος περὶ τοὺς ὀδόντας γίγνεται ὅταν ἄρτι φύωσι, κνῆσίς τε καὶ ἀγανάκτησις περὶ τὰ οὖλα, ταυτὸν δὴ πέπονθεν ἡ τοῦ πτεροφυεῖν ἀρχομένου ψυχή· ζεῖ τε καὶ ἀγανακτεῖ καὶ γαργαλίζεται φύουσα τὰ πτερά. ὅταν μὲν οὖν βλέπουσα πρὸς τὸ τοῦ παιδὸς κάλλος, ἐκεῖθεν μέρη ἐπιόντα δή που καὶ ῥέοντα, ἃ δὴ διὰ ταῦτα ἵμερος καλεῖται, δεχομένη τὸν ἵμερον ἀρδηταί τε καὶ θερμαίνηται, λωφᾷ τε τῆς ὀδύνης καὶ γέγη- d.
θεν· ὅταν δὲ χωρὶς γένηται καὶ αὐχμήσῃ, τὰ τῶν διεξόδων στόματα ἅμα τὸ πτερὸν ὁρμᾷ συναυαινόμενα, μύσαντα ἀποκλείει τὴν βλάστην τοῦ πτεροῦ. ἡ δ' ἐντὸς μετὰ τοῦ ἱμέρου ἀποκεκλεισμένη, πηδῶσα οἷον τὰ σφύζοντα, τῇ διεξόδῳ ἐγχρίει ἑκάστῃ τῇ καθ' αὑτήν. ὥστε πᾶσα κεντουμένη κύκλῳ ἡ ψυχὴ οἰστρᾷ καὶ ὀδυνᾶται· μνήμην δ' αὖ ἔχουσα τοῦ καλοῦ γέγηθεν. ἐκ δ' ἀμφοτέρων μεμιγμένων ἀδημονεῖ τε τῇ ἀτο-

Ubi autem influxerit alimonia, pennarum germina, iam ab ipſis radicibus tumeſcentia, impetu quodam per animae ſpeciem totam nituntur erumpere. tota enim erat olim pennis ſuffulta. fervet itaque tunc omnis & profilit: atque ut infantes, cum dentes emittunt, pruritu & dolore gingivarum vexantur: ita & pennas emittentis anima fervet, & titillatione moleſtiaque afficitur. Itaque cum pueri pulchritudinem intuetur, cupidinemque inde effluentem imbibens irrigatur caleſcitque, dolere iam deſinit, atque laetatur. Cum vero procul abfuerit, exaruerintque meatus, qua parte ſcaturire nititur ala, aridi & conſtricti, pennarum germen cohibent. Hoc intus una cum cupidineo illo influxu occluſum, tumeſcentiumque more reſiliens, ipſum ſibimet ſuos meatus undique obſtruit pungitque. Tota igitur anima undique faucia ſtimulo concitatur & angitur, rurſuſque memor pulchritudinis delectatur. Ex utriſque vero permixtis paſſionis huiuſmodi vehe-

e. πίᾳ τοῦ πάθους, καὶ ἀποροῦσα λυττᾷ· καὶ ἐμμανὴς οὖσα,
οὔτε νυκτὸς δύναται καθεύδειν, οὔτε μεθ' ἡμέραν οὗ ἂν ᾖ
μένειν. ἀεὶ δὲ ποθοῦσα ὅτου ἂν οἴηται ὄψεσθαι τὸν ἔχοντα
τὸ κάλλος. ἰδοῦσα δὲ καὶ ἐποχετευσαμένη ἵμερον, ἐλυσε μὲν
τὰ τότε συμπεφραγμένα, ἀναπνοὴν δὲ λαβοῦσα, κέντρων
τε καὶ ὠδίνων ἔληξεν. ἡδονὴν δ' αὖ ταύτην γλυκυτάτην ἐν
P. τῷ παρόντι καρποῦται. ὅθεν δὴ ἑκοῦσα εἶναι οὐκ ἀπολείπεται,
252 a. οὐδέ τινα τοῦ καλοῦ περὶ πλείονος ποιεῖται· ἀλλὰ μητέρων τε
καὶ ἀδελφῶν καὶ ἑτέρων πάντων λέλησται, καὶ οὐσίας δι'
ἀμέλειαν ἀπολλυμένης, παρ' οὐδὲν τίθεται· νομίμων δὲ καὶ
εὐσχημόνων, οἷς πρότερον ἐκαλλωπίζετο, πάντων καταφρονή-
σασα, δουλεύειν ἑτοίμη καὶ κοιμᾶσθαι ὅπου ἂν ἐᾷ τις ἐγ-
γύτατα τοῦ πόθου. πρὸς γὰρ τὸ σέβεσθαι τὸν τὸ κάλλος
ἔχοντα, ἰατρὸν εὕρηκε μόνον τῶν μεγίστων πόνων. τοῦτο δὴ
b. τὸ πάθος, ὦ παῖ καλὲ, πρὸς ὃν δή μοι ὁ λόγος, ἄνθρω-
ποι μὲν Ἔρωτα ὀνομάζουσι· θεοὶ δὲ ὁ καλοῦσιν ἀκούσας,

mentia & novitate vexatur, & anxia furit, atque insanit. Sic affecta, prae furore neque nocte dormire potest, neque die usquam consistere, sed passim discurrit desiderio pulchri videndi perculsa. Videns autem, & influxum illum cupidineum hauriens, abstrusa prius & concluſa, iam aperit & resolvit: cum vero iam respiraverit, stimulis doloribusque liberatur. Hac utique suavissima voluptate in praesenti usque adeo delinitur, ut nunquam ab eius illecebris sponte discedat: neque quemquam pluris facit, quam amatum; sed parentes, fratres, amicosque omnes oblivioni tradit, ac dissipato per incuriam patrimonio minime commovetur, patrias quoque consuetudines & dignitates, quibus gloriari solebat, penitus aspernatur, & servire & iacere parata, ubicunque permittitur, modo proxime suum desiderium. non enim colit solummodo & veneratur formosum, sed medicum etiam hunc graviſſimorum morborum sibi solum invenit. Hunc itaque affectum, o ingenue adolescens, ad quem meus est sermo, homines ἔρωτα, id est, amorem, appellant: quo au-

εἰκότως διὰ νεότητα γελάσεις. λέγουσι δὲ, οἶμαι, τινες Ὁμηρίδαι, ἐκ τῶν ἀποβέτων ἐπῶν δύο ἔπη εἰς τὸν Ἔρωτα· ὧν τὸ ἕτερον πάνυ ὑβριστικὸν, καὶ οὐ σφόδρα τοι ἐμμετρον. ὑμνοῦσι δὲ ὧδε, Τὸν δ' ἤτοι θνητοὶ μὲν Ἔρωτα καλέουσι πτηνὸν, Ἀθάνατοι δὲ Πτέρωτα, διὰ πτεροφοίτου ἀναγκην. τούτοις δὴ ἔξεσι μὲν πειθεσθαι, ἔξεσι δὲ μή. c.
ὁμῶς δὲ ἥγε αἰτία καὶ τὸ πάθος τῶν ἐρώντων τοῦτο ἐκεῖνο τυγχάνει ὄν. τῶν μὲν οὖν Διὸς ὀπαδῶν ὁ ληφθεὶς ἐμβριθέστερον φέρεται. φέρειν τὸ τοῦ πτερωνύμου ἄχθος· ὅσοι δὲ Ἄρεός τε θεράπευται, καὶ μετ' ἐκείνου περιεπόλουν, ὅταν ὑπ' Ἔρωτος ἁλῶσι, καί τι οἰηθῶσιν ἀδικεῖσθαι ὑπὸ τοῦ ἐρωμένου, ζοφεροὶ καὶ ἕτοιμοι καθιερεύειν αὐτούς τε καὶ τὰ παιδικά. καὶ οὕτω καθ' ἕκαστον θεὸν, οὗ ἕκαστος ἦν χορευτὴς, ἐκεῖνον τι- d.
μῶν τε καὶ μιμούμενος εἰς τὸ δυνατὸν ζῇ, ἕως ἂν ᾖ ἀδιάφθορος· καὶ τὴν τῇδε πρώτην γένεσιν βιοτεύῃ, καὶ τούτῳ τῷ τρόπῳ πρός γε τοὺς ἐρωμένους καὶ πρὸς τοὺς ἄλλους ὁμιλῇ

tem modo Dii nominant, ſi audieris, merito propter iuventutem ridebis. Tradunt Homerici quidam, ut arbitror, ex reconditis carminibus, in Amorem carmina duo: quorum alterum valde petulans, neque admodum concinnum. ſic autem aiunt: *Hunc quidem mortales* ἔρωτα, id eſt, Amorem, *vocant volatilem: immortales autem alatum, propter volandi neceſſitatem.* His partim licet credere, partim non licet. atqui cauſa affectioque amantium haec ipſa eſt. Quotcunque igitur ex Iovis ſectatoribus capti fuerint, gravius conſtantiuſque alati, illius onus ferre poſſunt: qui vero Martem coluerunt, cumque illo circumvagati ſunt, amore illaqueati, ſi quam ab amato ſibi inferri iniuriam putant, in caedem facile provolant, praecipiteſque tum ad ſe ipſos, tum ad amatos necandos feruntur. Atque ita ſecundum quemque Deorum, cum quo quilibet chorum egit, eundem honorat, imitaturque, quoad vivere poteſt, & quoad permanet incorruptus: & hoc pacto primam hic vitae generationem ducit, talemque ſe ipſum ad amatos & alios exhibet. Amorem ergo

τε καὶ προσφέρηται. τὸν τε οὖν Ἔρωτα τῶν καλῶν πρὸς τρόπου ἐκλέγεται ἕκαστος, καὶ ὡς θεὸν αὐτὸν ἐκεῖνον ὄντα ἑαυτῷ, οἷον ἄγαλμα τεκταίνεται καὶ κατακοσμεῖ, ὡς τιμήσων
e. τε καὶ ὀργιάσων. οἱ μὲν δὴ Διὸς, Διΐου τινα ζητοῦσι τὴν ψυχὴν τὸν ὑφ' αὑτῶν ἐρώμενον. σκοποῦσιν οὖν εἰ φιλόσοφός τε καὶ ἡγεμονικὸς τὴν φύσιν· καὶ ὅταν αὐτὸν εὑρόντες ἐρασθῶσι, πᾶν ποιοῦσιν ὅπως τοιοῦτος ἔσαι. ἐὰν οὖν μὴ πρότερον ἐμβεβῶσι τῷ ἐπιτηδεύματι, τότε ἐπιχειρήσαντες μανθάνουσί τε ὅθεν ἄν τι δύνωνται, καὶ αὐτοὶ μετέρχονται. ἰχνεύοντες δὲ παρ' ἑαυτῶν ἀνευρίσκειν τὴν τοῦ σφετέρου θεοῦ
p. φύσιν, εὑροῦσι, διὰ τὸ συντόνως ἠναγκάσθαι πρὸς τὸν θεὸν
253 βλέπειν· καὶ ἐφαπτόμενοι αὐτοῦ τῇ μνήμῃ, ἐνθουσιῶντες,
a. ἐξ ἐκείνου λαμβάνουσι τὰ ἤθη καὶ τὰ ἐπιτηδεύματα, καθόσον δυνατὸν θεοῦ ἀνθρώπῳ μετασχεῖν. καὶ τοῦτον δὴ τὸν ἐρώμενον αἰτιώμενοι, ἔτι τε μᾶλλον ἀγαπῶσι· κἂν ἐκ Διὸς ἀρύτωσιν, ὥσπερ αἱ βάκχαι, ἐπὶ τὴν τοῦ ἐρωμένου ψυχὴν

pulchrorum ex ſuo quiſque deligit more, &, tanquam Deus ſibi ille ſit, quaſi ſtatuam fabricat & exornat, utpote honoraturus atque ſacrificaturus. Iovis itaque cultores eum ſibi amandum quaerunt, cuius Iovialis ſit animus. quare conſiderant, utrum ad philoſophiam & imperium natura ſit aptus: & quando illum amant inventum, omni opere contendunt, quo ille talis evadat. Ac niſi prius, quod exoptant, ingreſſi fuerint ſtudio ſuo, tunc contendunt admodum, diſcuntque undecunque aliquid poſſunt, atque ipſi etiam ad hoc opus progrediuntur. Inveſtigantes ex ſe ipſis Dei ſui naturam, voti tandem compotes fiunt, ex eo quod ſumma quadam attentione mentis aciem in Deum erigere compellantur: deinde cum per memoriam illum attingant, divinitate afflantur, atque ex eo mores & ſtudia, quatenus homini licet Dei participem fieri, capiunt. quoniam vero horum omnium cauſas referunt in amatum, dilectione ardentius accenduntur. Ac ſi ab Iove hauriant, bacchantium ſacerdotum more, in amati animum transfundentes, proprio Deo, quoad poſſunt, ſimilli-

ἐπαντλοῦντες, ποιοῦσιν ὡς δυνατὸν ὁμοιότατον τῷ σφετέρῳ θεῷ. ὅσοι δ' αὖ μεθ' Ἥρας εἵποντο, βασιλικὸν ζητοῦσι· καὶ b.
εὑρόντες, περὶ τοῦτον πάντα δρῶσι τὰ αὐτά. οἱ δὲ Ἀπόλλωνός τε καὶ ἑκάστου τῶν θεῶν, οὕτω, κατὰ τὸν θεὸν ἰόντες, ζητοῦσι τὸν σφέτερον παῖδα πεφυκέναι· καὶ ὅταν κτήσωνται, μιμούμενοι αὐτοί τε καὶ τὰ παιδικὰ πείθοντες, καὶ ῥυθμίζοντες, εἰς τὸ ἐκείνου ἐπιτήδευμα καὶ ἰδέαν ἄγουσιν, ὅση ἑκάστῳ δύναμις· οὐ φθόνῳ οὐδ' ἀνελευθέρῳ δυσμενείᾳ χρώμενοι πρὸς τὰ παιδικὰ, ἀλλ' εἰς ὁμοιότητα αὐτοῖς καὶ τῷ θεῷ ὃν ἂν τι- c.
μῶσι, πᾶσαν πάντως ὅτι μάλιστα πειρώμενοι ἄγειν, οὕτω ποιοῦσι. προθυμία μὲν οὖν τῶν ὡς ἀληθῶς ἐρώντων καὶ τελετὴ, ἐάν γ' ἐνδιαπράξωνται ὃ προθυμοῦνται, ἣν λέγω. οὕτω καλή τε καὶ εὐδαιμονικὴ ὑπὸ τοῦ δι' ἔρωτα μανέντος φίλου τῷ φιληθέντι γίγνεται, ἐὰν αἱρεθῇ. ἁλίσκεται δὲ δὴ ὁ αἱρεθεὶς τοιῷδε τρόπῳ. καθάπερ ἐν ἀρχῇ τοῦδε τοῦ μυθου τριχῇ διειλόμην ψυχὴν ἑκάστην· ἱπομόρφω μὲν δύο τινὲ εἴδη, ἡνιοχικὸν δὲ εἶδος, τρίτον· καὶ νῦν ἔτι ἡμῖν ταυτὰ μενέτω. τῶν δὲ d.

mum reddunt. Quicunque vero Iunonem ſecuti ſunt, regium quaerunt: quo invento, ſimiliter affecti eadem erga illum omnia faciunt. Apollinis praeterea reliquorumve cultores Deorum ſinguli, Deos ſingulos imitantes, eodem modo affectum natura adoleſcentem quaerunt: eoque comparato, & ipſi imitantes, & adoleſcentibus perſuadentes moderanteſque, in numinis ipſius ſtudium & ideam pro viribus agunt: non invidia, non illiberali malevolentia in adoleſcentes ſuos utuntur, ſed omni ſtudio illos ad perfectam tum ſui, tum Dei, quem colunt, ſimilitudinem formare conantur. Cura igitur finiſque vere amantium, ſi modo, quod cupiunt, fuerint aſſecuti, talis eſt profecto, qualem deſcripſimus: & inſignis admodum felixque ab amico propter amorem furente, dilecto ſuo, ſi captus fuerit, provenit. comprehenditur autem, quiſquis capitur, hoc pacto. Quamlibet animam ab initio huius fabulae trifariam diviſimus: atque equorum quidem formas geminas, duas quaſdam ſpecies poſuimus; aurigam vero,

ὴ ἵππων ὁ μὲν, φαμὲν, ἀγαθὸς, ὁ δ' οὔ. ἀρετὴ δὲ τίς τοῦ ἀγαθοῦ, ἢ κακοῦ κακία, οὐ διείπομεν· νῦν δὲ λεκτέον. ὁ μὲν τοίνυν αὐτοῖν ἐν τῇ καλλίονι ζάσει ὤν, τό, τε εἶδος ὀρθὸς καὶ διηρθρωμένος, ὑψαύχην, ἐπίγρυπος, λευκὸς ἰδεῖν, μελανόμματος, τιμῆς ἔραστης μετὰ σωφροσύνης τε καὶ αἰδοῦς, καὶ ἀληθινῆς δόξης ἑταῖρος, ἄπληκτος, κελεύσματι μόνον καὶ
e. λόγῳ ἡνιοχεῖται· ὁ δ' αὖ, σκολιὸς, πολὺς, εἰκῇ συμπεφορημένος, κρατεραύχην, βραχυτράχηλος, σιμοπρόσωπος, μελάγχρως, γλαυκόμματος, ὕφαιμος, ὕβρεως καὶ ἀλαζονείας ἑταῖρος, περὶ ὦτα λάσιος, κωφὸς, μάστιγι μετὰ κέντρων μόγις ὑπείκων. ὅταν δ' οὖν ὁ ἡνίοχος, ἰδὼν τὸ ἐρωτικὸν ὄμμα, πᾶσαν αἰσθήσει διαθερμήνας τὴν ψυχὴν, ναργαλισμοῦ τε
p. καὶ πόθου κέντρων ὑποπλησθῇ, ὁ μὲν εὐπειθὴς τῷ ἡνιόχῳ
254 τῶν ἵππων, ἀεί τε καὶ τότε αἰδοῖ βιαζόμενος, ἑαυτὸν κατέχει,
a. μὴ ἐπιπηδᾶν τῷ ἐρωμένῳ· ὁ δὲ, οὔτε κέντρων ἡνιοχικῶν, οὔτε μάστιγος ἔτι ἐντρέπεται, σκιρτῶν δὲ βίᾳ φέρεται· καὶ

speciem tertiam: eademque nobis in praesentia maneant. Equorum autem alter bonus, alter non. Quae autem aut boni equi virtus, aut mali pravitas sit, nondum plane diximus: nunc vero dicendum. Bonus excellentiori habitu est, specie rectus, membris expressus, ardua cervice, naribus modice aquilinis, nitido colore, nigris oculis, honoris cupidus, temperantiae pudorisque particeps, ac verae opinionis amicus, nullis stimulis indigens, sed cohortatione sola rationeque regitur. Alter intortus & multiplex, temereque delatus, fususque, & confuse compositus, rigenti & dura cervice, atque demisso collo, simo vultu, fusco colore, oculis caesiis sanguineque suffusis, morosus & contumax, hirsutis auribus atque surdis, vix flagello stimulisque obtemperans. Quando igitur auriga, amatorium aspiciens vultum, totamque sensu inflammans animam titillationis & desiderii stimulis concitatur, tum qui aurigae obediens est equorum, ut consuevit, pudore cohibitus se ipsum continet, ne prosiliat in amatum. Alter neque stimulis, neque verberibus coërceri potest, sed exul-

πάντα πράγματα παρέχων τῷ σύζυγί τε καὶ ἡνιόχῳ, ἀναγκάζει ἰέναι τε πρὸς τὰ παιδικὰ, καὶ μνείαν ποιεῖσθαι τῆς τῶν ἀφροδισίων χάριτος. τὼ δὲ κατ' ἀρχὰς μὲν ἀντιτείνετον, ἀγανακτοῦντε ὡς δεινὰ καὶ παράνομα ἀναγκαζομένω· τελευτῶντε δὲ, ὅταν μηδὲν ᾖ πέρας κακοῦ, πορεύεσθον ἀγο- b.
μένω, εἴξαντε, καὶ ὁμολογήσαντε ποιήσειν τὸ κελευόμενον. καὶ πρὸς αὐτῷ τ' ἐγένεσθο, καὶ εἶδον τὴν ὄψιν τὴν τῶν παιδικῶν ἀστράπτουσαν. ἰδόντος δὲ τοῦ ἡνιόχου ἡ μνήμη πρὸς τὴν τοῦ κάλλους φύσιν ἠνέχθη, καὶ πάλιν εἶδεν αὐτὴν μετὰ σωφροσύνης ἐν ἁγνῷ βάθρῳ βεβῶσαν. ἰδοῦσα δὲ ἔδεισέ τε, καὶ σεφθεῖσα ἀνέπεσεν ὑπτία· καὶ ἅμα ἠναγκάσθη εἰς τοὐ- c.
πίσω ἀνελκυσαι τὰς ἡνίας, οὕτω σφόδρα ὥστε ἐπὶ τὰ ἰσχία ἄμφω καθίσαι τὼ ἵππω· τὸν μὲν, ἑκόντα, διὰ τὸ μὴ ἀντιτείνειν· τὸν δὲ ὑβριστὴν, μάλα ἄκοντα. ἀπελθόντε δὲ ἀπωτέρω, ὁ μὲν ὑπ' αἰσχύνης τε καὶ θάμβους ἱδρῶτι πᾶσαν ἔβρεξε τὴν ψυχήν· ὁ δὲ, λήξας τῆς ὀδύνης ἣν ὑπὸ τοῦ χαλινοῦ τε ἔσχε καὶ τοῦ πτώματος, μόγις ἐξαναπνεύσας ἐλοι-

tat, ac violentia delatus, coniunctum ſibi equum aurigamque perturbat, rapitque ad Veneris voluptatem. At illi ab initio adverſantur, indignati, quod ad gravia & iniqua trahantur: tandem, cum malum id minime ceſſet, compulſi feruntur, ceduntque iam, & conſentiunt, quod iuſſi ſunt facere. hinc enim haerent igniculo, aſpectumque illius coruſcum inſpiciunt. quem intuitus auriga, pulchritudinis ipſius naturam memoria repetit, rurſuſque illam cum temperantia cernit, in caſto fundamento firmiter collocatam. videns autem metuit, ac prae reverentia recidit ſupinus: ubi ſimulque cogitur uſque adeo habenas retrahere, ut equi ambo femoribus aut natibus humi reſideant; ſed alter quidem ſponte, quia minime reluctatur, procax autem equus alter prorſus invitus. Longius vero diſcedentes, alter quidem propter verecundiam admirationemque ſudore totam animam madefacit: alter vero, a dolore liberatus, quem & frenum & caſus incuſſerat, vix tandem reſpirat, atque reſipiſcens, indignatione motus auri-

δέρησεν ὀργῇ, πολλὰ κακίζων τόν τε ἡνίοχον καὶ τὸν ἑμόζυ-
d. γα, ὡς δειλίᾳ τε καὶ ἀναυδρίᾳ λιπόντε τὴν τάξιν καὶ ὁμο-
λογίαν. καὶ πάλιν οὐκ ἐθέλοντας προσιέναι ἀναγκάζων, μό-
γις συνεχώρησε, δεομένων εἰσαῦθις ὑπερβαλέσθαι. ἐλθόντος
δὲ τοῦ συντεθέντος χρόνου, οὗ ἀμνημονεῖν προσποιουμένω
ἀναμιμνήσκων, βιαζόμενος, χρεμετιζων, ἕλκων ἠνάγκασεν
αὖ προσελθεῖν τοῖς παιδικοῖς ἐπι τοὺς αὐτοὺς λόγους. καὶ
ἐπειδὴ ἐγγὺς ἦσαν, ἐγκύψας καὶ ἐκτείνας τὴν κέρκον, ἐν-
δακὼν τὸν χαλινὸν μετ' ἀναιδείας ἕλκει. ὁ δ' ἡνίοχος ἔτι
e. μᾶλλον ταυτὸ πάθος παθὼν, ὥσπερ ἀπὸ ὕσπληγος ἀπεσὼν ἔτι μᾶλλον τοῦ ὑβριστοῦ ἵππου ἐκ τῶν ὀδόντων βίᾳ ὀπί-
σω σπάσας τὸν χαλινὸν, τήν τε κακήγορον γλῶτταν καὶ τὰς
γνάθους καθήμαξε, καὶ τὰ σκέλη τε καὶ τὰ ἰσχία πρὸς τὴν
γῆν ἐρείσας, ὀδύναις ἔδωκεν. ὅταν δὲ ταυτὸν πολλάκις πά-
σχων ὁ πονηρὸς τῆς ὕβρεως λήξῃ, ταπεινωθεὶς ἕπεται ἤδη
τῇ τοῦ ἡνιόχου προνοίᾳ· καὶ ὅταν ἴδῃ τὸν καλὸν, φόβῳ διόλ-
λυται. ὥστε ξυμβαίνει ποτ' ἤδη τὴν τοῦ ἐραστοῦ ψυχὴν τοῖς

gam equumque coniunctum increpat, quod timiditate atque ignavia conſtitutum ordinem deſeruerint. Rurſuſque nolentes accedere cogens, vix tandem conceſſit illis, differri in poſterum exorantibus. accedente autem ſtatuto tempore, cuius eſſe immemores illi quidem ſimulant, hic vero illis commemorat, urgens, hinnienſque, & trahens, compellit iterum iiſdem verbis amatos affari. Poſtquam vero prope acceſſerunt, inflexus, extenſa cauda, frenum mordet, & impudentiſſime rapit. Sed auriga, multo magis eadem paſſus, & quaſi a carcere ſtatim humi decumbens, habenas longe vehementius trahit, & dentes equi flagitioſi reprimit, atque impuram linguam, maxillaſque cruentans, crura nateſque humi defigit, ac poenas dare compellit. Quod cum ſaepe iam pravus equus ille perpeſſus eſt, laſcivire deſtitit, manſuefactus iam aurigae obtemperat providentiae, atque etiam, cum videt pulchrum, formidine contremiſcit, adeo ut quandoque contingat amatoris animam iam cum reverentia quadam & metu

παιδικοῖς αἰδουμένην τε καὶ δεδοικυῖαν ἅπεσθαι. ἅτε οὖν πᾶσαν θεραπείαν, ὡς ἰσόθεος, θεραπευόμενος, οὐχ ὑπὸ σχηματιζομένου τοῦ ἐρῶντος, ἀλλὰ ἀληθῶς τοῦτο πεπονθότος· καὶ αὐτὸς ὢν φύσει φίλος, εἰς ταυτὸν ἄγει τὴν φιλίαν τῷ θεραπεύοντι. ἐὰν ἄρα καὶ ἐν τῷ πρόσθεν ὑπὸ ξυμφοιτητῶν ἢ τινῶν ἄλλων διαβεβλημένος ᾖ, λεγόντων ὡς αἰσχρὸν ἐρῶντι πλησιάζειν, καὶ διὰ τοῦτο ἀπωθεῖτο τὸν ἐρῶντα· προϊόντος δὲ ἤδη τοῦ χρόνου, ἥ τε ἡλικία καὶ τὸ χρεὼν ἤγαγεν εἰς τὸ προέσθαι αὐτὸν εἰς ὁμιλίαν. οὐ γὰρ δή ποτε εἵμαρται κακὸν κακῷ φίλον, οὐδ' ἀγαθὸν μὴ φίλον ἀγαθῷ εἶναι. προσεμένου δὲ, καὶ λόγου τε καὶ ὁμιλίαν δεξαμένου ἐγγύθεν, ἡ εὔνοια γιγνομένη τοῦ ἐρῶντος ἐκπλήττει τὸν ἐρώμενον, διαισθανόμενον ὅτι οὐδ' οἱ ξύμπαντες ἄλλοι φίλοι τε καὶ οἰκεῖοι μοῖραν φιλίας εὐδαιμίαν παρέχονται πρὸς τὸν ἔνθεον φίλον. ὅταν δὲ χρονίζῃ τοῦτο δρῶν, καὶ πλησιάζῃ, μετὰ τοῦ ἅπτεσθαι ἔν τε γυμνασίοις καὶ ἐν ταῖς ἄλλαις ὁμιλίαις, τότ' ἤδη ἡ τοῦ ῥεύ- p. 255 a. b. c.

adoleſcentum veſtigia ſequi. utpote igitur omni cultu, tanquam Deo aequalis adoleſcens, obſervatus ab amatore, haud quidem ſimulante, ſed revera ſic affecto, praeſertim cum & ipſe honoratus natura colentis ſit amicus, in idem poſtremo cum amatore conſpirat: ac etiamſi antea a familiaribus ſuis condiſcipuliſque & aliis per calumniam deceptus fuerit, dicentibus, turpe eſſe amanti haerere, ideoque amantem reiecerit; tandem vero procedente tempore aetas, & naturae debitus ordo eum in conſuetudinem amantis inducunt. nunquam enim fato decretum eſt, vel malum amicum malo, vel bonum bono non amicum eſſe. Ergo cum adoleſcens colloquio & conſuetudine receperit amatorem, tunc amantis illius benevolentia iam facta propinquior, amatum ipſum admirari compellit, animadvertentem, neceſſariorum amicorumque omnium aliorum benevolentiam, ſi cum amico divinitus afflato conferatur, nullius fore momenti. ac ſi ſenior illa diu ſic pergat, haereatque, & in gymnaſiis ceteriſve ſimilibus tangat, tunc iam fluxus liquoriſque illius fons,

ματος ἐκείνου πηγὴ, ὃν ἵμερον Ζεὺς, Γανυμήδους ἐρῶν, ὠνόμασε, πολλὴ φερομένη πρὸς τὸν ἐρασθὴν, ἡ μὲν εἰς αὐτὸν ἔδυ, ἡ δ' ἀπομεξουμένου, ἔξω ἀποῤῥεῖ. καὶ οἷον πνεῦμα, ἤ τις ἠχὼ ἀπὸ λείων τε καὶ στερεῶν ἀλωμένη, πάλιν ὅθεν ὡρμήθη φέρεται· οὕτω τὸ τοῦ κάλλους ῥεῦμα, πάλιν εἰς τὸν καλὸν διὰ τῶν ὀμμάτων ἰὸν, ᾗ πέφυκεν ἐπὶ τὴν ψυχὴν ἰέναι ἀφικόμενον, καὶ ἀναπτερῶσαν τὰς διόδους τῶν πτερῶν, ἄρδει
d. τε καὶ ὥρμησε πτεροφυεῖν τε, καὶ τὴν τοῦ ἐρωμένου αὖ ψυχὴν ἔρωτος ἐνέπλησεν. ἐρᾷ μὲν οὖν· ὅτου δὲ, ἀπορεῖ· καὶ οὐδ' ὅ, τι πέπονθεν οἶδεν, οὐδ' ἔχει φράσαι· ἀλλ' οἷον ἀπ' ἄλλου ὀφθαλμίας ἀπολελαυκὼς, πρόφασιν εἰπεῖν οὐκ ἔχει· ὥσπερ δὲ ἐν κατόπτρῳ ἐν τῷ ἐρῶντι ἑαυτὸν ὁρῶν λέληθε. καὶ ὅταν μὲν ἐκεῖνος παρῇ, λήγει κατὰ ταυτὰ ἐκείνῳ τῆς ὀδύνης· ὅταν δὲ ἀπῇ, κατὰ ταυτὰ αὖ ποθεῖ καὶ ποθεῖται, εἴδωλον ἔρωτος
e. ἀντ' ἔρωτος ἔχων. καλεῖ δὲ αὐτὸν καὶ οἴεται οὐκ ἔρωτα ἀλλὰ φιλίαν εἶναι· ἐπιθυμεῖ δὲ ἐκείνῳ παραπλησίως μὲν, ἀσθενε-

quem ἵμερον, id eſt, cupidinem influxum, Iuppiter Ganymedis amore captus vocavit, qui in amantem uberrimus influxit, partim in ipſum infuſus eſt, partim foris effluit, cum exuberavit. ac veluti aër & Echo a levibus ſolidiſque repulſa corporibus, eodem, unde venerunt, iterum reflectuntur: ita pulchritudinis ille fluxus, rurſus in pulchrum per oculos refluens, qua penetrare in animam conſuevit, adeo pennarum meatus irrigat, ut & poſſint iam & incipiant pullulare: atque ita amati animum mutuo implet amore. amat igitur: quid vero amet, ambigit: affectumque ſuum nec novit, nec eloqui poteſt: ſed perinde ac ſi lippi alicuius aſpectu oculos ſimiliter ſit infectus, praeſentis morbi aſſignare cauſam neſcit: nec animadvertit, quod ſe ipſum in amatore, tanquam in ſpeculo, reſpicit. itaque praeſente illo, dolere ut ille ſimiliter deſinit: abſente vero, deſiderat viciſſim deſideratus, mutuum amorem tanquam amoris ſimulacrum poſſidens; nec amorem ipſum, ſed amicitiam & vocat, & putat. Cupit ergo, ſerme ut ille, quamvis moderatius, videre,

ἔρως δὲ, ὁρᾷν, ἅπτεσθαι, φιλεῖν, συγκατακεῖσθαι· καὶ δὴ,
οἷον εἰκὸς, ποιεῖ τὸ μετὰ τοῦτο ταχὺ ταῦτα. ἐν οὖν τῇ συγ-
κοιμήσει, τοῦ μὲν ἐραστοῦ ὁ ἀκόλαστος ἵππος ἔχει ὅ, τι λέγοι
πρὸς τὸν ἡνίοχον, καὶ ἀξιοῖ ἀντὶ πολλῶν πόνων σμικρὰ ἀπο-
λαῦσαι· ὁ δὲ τῶν παιδικῶν, ἔχει μὲν οὐδὲν εἰπεῖν, σπαργῶν· p.
δὲ καὶ ἀπορῶν περιβάλλει τὸν ἐραστὴν, καὶ φιλεῖ ὡς σφόδρα a.
εὔνουν ἀσπαζόμενος. ὅταν τε συγκατακέωνται, οἷός ἐστι μὴ
ἂν ἀπαρνηθῆναι τὸ αὑτοῦ μέρος χαρίσασθαι τῷ ἐρῶντι, εἰ
δεήσει τυχεῖν. ὁ δὲ ὁμίζυξ αὖ μετὰ τοῦ ἡνιόχου πρὸς ταῦτα
μετ' αἰδοῦς καὶ λόγου ἀντιτείνει. ἐὰν μὲν δὴ οὖν εἰς τεταγ-
μένην τε δίαιταν καὶ φιλοσοφίαν νικήσῃ τὰ βελτίω τῆς δια-
νοίας ἀγαγόντα, μακάριον μὲν καὶ ὁμονοητικὸν τὸν ἐνθάδε b.
βίον διάγουσιν, ἐγκρατεῖς αὑτῶν καὶ κόσμιοι ὄντες· δουλω-
σάμενοι μὲν ᾧ κακία ψυχῆς ἐνεγίνετο, ἐλευθερώσαντες δὲ,
ᾧ ἀρετή. τελευτήσαντες δὲ δὴ, ὑπόπτεροι καὶ ἐλαφροὶ γε-
γονότες, τῶν τριῶν παλαισμάτων τῶν ὡς ἀληθῶς Ὀλυμπια-
κῶν ἐν νενικήκασιν· οὗ μεῖζον ἀγαθὸν οὔτε σωφροσύνη ἀν-

tangere, amare, oſculari, conſidere: &, ut par eſt, poſthac protinus haec facit. In ipſa igitur conſuetudine, amatoris quidem intemperans equus aurigam compellans, brevem efflagitat pro multis laboribus voluptatem: adoleſcentis autem equus, eidem quid dicat, ignorat, ſed percitus anxiuſque amantem mutua proſequitur benevolentia, amantiſſimo ſuo congratulatus, atque in ipſa familiaritate paratus eſt pro viribus amatoris deſiderio obtemperare. Coniugatus autem equus ſimul & auriga, cum pudore & ratione his in rebus huic adverſantur. Quare ſi ſecundum rectam vitae inſtitutionem & philoſophiae ſtudia meliores cogitationis partes obtineant, beatam atque concordem praeſentem vitam agunt, ſui ipſorum domini atque modeſti, ea parte ſubiecta, cui animae vitium ineſt, ea contra liberata, ad quam probitas pertinet. In huius autem vitae fine, recuperatis alis, praepetes evolant, cum trium certaminum vere Olympicorum unum pervicerint: quo quidem nullum praeſtantius bonum, aut humana

θρωπίνη οὔτε θεία μανία δυνατὴ πορίσαι ἀνθρώπῳ. ἐὰν δὲ διαίτῃ φορτικωτέρᾳ τε καὶ ἀφιλοσόφῳ, φιλοτίμῳ δὲ χρή-
c. σωνται, τάχ' ἄν που ἐν μέθαις ἢ τινι ἄλλῃ ἀμελείᾳ τῷ ἀκολάστῳ αὐτοῖν ὑποζυγίῳ λαβόντε τὰς ψυχὰς ἀφρούρους, συναγαγόντε εἰς ταυτὸν τὴν ὑπὸ τῶν πολλῶν μακαριζὴν αἵρεσιν, εἱλέτην τε καὶ διεπράξαντο· καὶ διαπραξαμένω, τολοιπὸν ἤδη χρῶνται μὲν αὐτῇ, σπάνια δὲ, ἅτε οὐ πάσῃ δεδογμένα τῇ διανοίᾳ πράττοντες. φίλω μὲν οὖν καὶ τούτω,
ἧττον δὲ ἐκείνων ἀλλήλοιν διά τε τοῦ ἔρωτος καὶ ἕξω γενο-
d. μένω διάγουσι, πίστεις τὰς μεγίστας ἡγουμένω ἀλλήλοιν δεδωκέναι τε καὶ δεδέχθαι· ἃς οὐ θεμιτὸν εἶναι λύσαντας, εἰς ἔχθραν ποτὲ ἐλθεῖν. ἐν δὲ τῇ τελευτῇ ἄπτεροι μὲν, ὡρμηκότες δὲ πτεροῦσθαι, ἐκβαίνουσι τοῦ σώματος· ὥστε οὐ σμικρὸν ἆθλον τῆς ἐρωτικῆς μανίας φέρονται. εἰς γὰρ σκότον καὶ τὴν ὑπὸ γῆς πορείαν οὐ νόμος ἐστὶν ἔτι ἐλθεῖν τοῖς κατηργμένοις ἤδη τῆς ἐπουρανίου πορείας, ἀλλὰ φανὸν βιον

temperantia, aut divinus furor hominibus afferre poteſt. Quod ſi tetriorem quandam vitam, philoſophiae expertem, alioquin ambitioſam ſecuti ſint, forte in ebrietate aut alia quavis deſidioſa licentia intemperati illorum equi incautas animas invadunt, eaſque in idem illud oblectamenti genus, quod vulgo beatiſſimum iudicatur, conducentes, ſectari compellunt: inque eius deſiderii expletione iam deinde verſantur. hac tamen idcirco raro utuntur, quia non omnis in hoc conſentit animi cogitatio. Amici ergo & iſti, licet minus, quam illi ſuperiores, tum fervente amore, tum reſtincto, degunt, fidem ſibi invicem firmiſſimam & dediſſe, & accepiſſe putantes. nefas enim eſſe ducunt fidem frangere, & inimicos quandoque ex amicis evadere. demum, cum naturae conceſſerint, ſic affecti abeunt, ut alati quidem nondum ſint, ſed pennas emittere quodammodo coeperint: quamobrem praemium amatorii furoris non parvum reportant. nam in tenebras locumque ſub terram deſcendere illos, qui iam iter ſub coelis agere coeperant, lex prohibet: ſed claram vitam

διάγοντας, εὐδαιμονεῖν μετ' ἀλλήλων πορευομένους, καὶ c.
ὁμοπτέρους ἔρωτος χάριν, ὅταν γένηται, γενέσθαι. Ταῦτα
τοσαῦτα, ὦ παῖ, καὶ οὕτω θεῖα σοὶ δωρήσεται ἡ παρ' ἐρα-
στοῦ φιλία. ἡ δὲ ἀπὸ τοῦ μὴ ἐρῶντος οἰκειότης, σωφροσύνῃ
δνητῇ κεκραμένη, δνητά τε καὶ φειδωλὰ οἰκονομοῦσα,
ἀνελευθερίαν, ὑπὸ πλήθους ἐπαινουμένην ὡς ἀρετὴν, τῇ φίλῃ
ψυχῇ ἐντεκοῦσα, ἐννέα χιλιάδας ἐτῶν περὶ τὴν κυλινδου- p.
μένην αὐτὴν καὶ ὑπὸ γῆς ἄνουν παρέξει. αὕτη σοὶ, ὦ φίλε 257
Ἔρως, εἰς ἡμετέραν δύναμιν ὅτι καλλιστη καὶ ἀρίστη δέδο- a.
ται τε καὶ ἐκτέτισαι παλινῳδία, τά τε ἄλλα καὶ τοῖς ὀνό-
μασιν ἠναγκασμένη ποιητικοῖς τισι διὰ Φαίδρου εἰρῆσθαι.
ἀλλὰ τῶν προτέρων τε συγγνώμην καὶ τῶνδε χάριν ἔχων,
εὐμενὴς καὶ ἵλεως τήν μοι ἐρωτικὴν τέχνην ἣν δέδωκας, μήτ-
τε ἀφέλῃ, μήτε πηρώσῃς δι' ὀργήν. δίδου τ' ἔτι μᾶλλον ἢ
νῦν παρὰ τοῖς καλοῖς τίμιον εἶναι. ἐν τῷ πρόσθεν δ' εἴτι λό- b.
γῳ σοὶ ἀπηνὲς εἴπομεν Φαίδρός τε καὶ ἐγὼ, Λυσίαν τὸν τοῦ
λόγου πατέρα αἰτιώμενος, παῦε τῶν τοιούτων λόγων· ἐπὶ

agentes beatos fieri iubet, dum una pergunt, & simul alas emittunt. Atque haec amoris gratia fiunt. Tot igitur ac talia, o puer, tamque divina, amatoris tibi amicitia conferet. eius autem, qui non amat, familiaritas, temperantiae mortali coniuncta, mortalibusque & exilibus ministeriis dedita, illiberalitatem illam, quae vulgo virtus habetur, in sodalis sui animo generabit, efficietque, ut novem annorum millia super terram, & sub terra demens pererret. Hanc tibi, o dilecte Amor, quam pulcherrime optimeque valuimus, poëticis tum verbis, tum figuris, impulsu Phaedri palinodiam cecinimus. Quare & ante dictis ignoscens, & haec grata a nobis accipiens, benignus propitiusque mihi assistens, amatoriam artem, abs te concessam, neque auferas indignatione aliqua, neque etiam minuas. quin etiam da, ut magis, quam nunc, apud honestos in pretio sim. Tum si quid numine tuo indignum a Phaedro & a me dictum sit, Lysiam disputationis huius auctorem accusans, ab huiusmodi sermonibus desistere facias: &

φιλοσοφίαν δὲ, ὥσπερ ὁ ἀδελφὸς αὐτοῦ Πολέμαρχος τέτραπται, τρέψον· ἵνα καὶ ὁ ἐραστὴς ὅδε αὐτοῦ μηκέτι ἐπαμφοτερίζῃ, καθάπερ νῦν, ἀλλὰ ἁπλῶς πρὸς Ἔρωτα μετὰ φιλοσόφων λόγων τὸν βίον ποιῆται. ΦΑΙ. Συνεύχομαί σοι, ὦ Σώκρατες, εἴπερ ἄμεινον ταῦθ' ἡμῖν εἶναι, ταῦτα γίγνεσθαι. τὸν
c. λόγον δὲ σοῦ πάλαι θαυμάσας ἔχω, ὅσῳ καλλίω τοῦ πρότερου ἀπειργάσω. ὥστε ὀκνῶ μή μοι ὁ Λυσίας ταπεινὸς φανῇ, ἐὰν ἄρα καὶ ἐθελήσῃ πρὸς αὐτὸν ἄλλον ἀντιπαρατεῖναι. καὶ γάρ τις αὐτῶν, ὦ θαυμάσιε, ἔναγχος τῶν πολιτικῶν τοῦτ' αὐτὸ λοιδορῶν ὠνείδιζε, καὶ διὰ πάσης τῆς λοιδορίας ἐκάλει λογογράφον. τάχα οὖν ἂν ὑπὸ φιλοτιμίας ἐπίσχοι ἡμῖν ἂν τοῦ γράφειν. ΣΩ. Γελοῖόν γ', ὦ νεανία, τὸ δόγμα
d. λέγεις· καὶ τοῦ ἑταίρου συχνὸν διαμαρτάνεις, εἰ αὐτὸν οὕτω τινὰ ἡγῇ ψοφοδεᾶ· ἴσως δὲ καὶ τὸν λοιδορούμενον αὐτῷ οἴει νομίζοντα λέγειν ἃ ἔλεγεν. ΦΑΙ. Ἔφαίνετο γάρ, ὦ Σώκρατες· καὶ σύνοισθά που καὶ αὐτὸς ὅτι οἱ μέγιστον δυνάμενοί τε καὶ σεμνότατοι ἐν ταῖς πόλεσιν, αἰσχύνονται λόγους τε

ad philoſophiam, quemadmodum frater eius Polemarchus verſus eſt, ita illum converte, ut & hic eius amator Phaedrus haud amplius, ut nunc, modo huc modo illuc ſe transferat, ſed in amoris ſimul & ſapientiae ſtudio prorſus vitam agat. *Phae.* Haec ego quoque, ſi praeſtat ita fieri, o Socrates, Deum oro. tuum vero ſermonem iam pridem admiror, quod longe ſuperiorem antecellat: ut iam verear, ne Lyſias mihi humilis videatur, ſi ſe cum alio conferre ſtudeat. Atqui eum nuper quidam eorum, qui rempublicam adminiſtrant, o vir mirifice, hoc ipſo nomine vituperavit, tota accuſatione quendam orationum compoſitorem vocans. forte igitur vel ob ambitionem, a ſcribendo deinceps abſtinebit. *So.* Ridicula haec, o adoleſcens, ſententia eſt: & ab amici mente longe aberras, ſi eum uſque adeo meticuloſum putas. forte vero obtrectatorem eius exiſtimas recte dixiſſe, quae dixit. *Phae.* Ita profecto viſum eſt, o Socrates: neque te fugit, potentes in republica praeſtanteſque viros vereri oratio-

γράφειν, καὶ καταλείπειν συγγράμματα ἑαυτῶν, δόξαν ὀφ-
βούμενοι τοῦ ἔπειτα χρόνου, μὴ σοφισταὶ καλῶνται. ΣΩ.
Γλυκὺς ἀγκὼν, ὦ Φαῖδρε, λέληθέ σε ὅτι ἀπὸ τοῦ μακροῦ
ἀγκῶνος τοῦ κατὰ τὸν Νεῖλον ἐκλήθη· καὶ πρὸς τῷ ἀγκῶνι e.
λανθάνει σε ὅτι οἱ μέγιστον φρονοῦντες τῶν πολιτικῶν, μάλι-
στα ἐρῶσι λογογραφίας τε καὶ καταλείψεως συγγραμμάτων·
οἶγε καὶ ἐπειδάν τινα γράφωσι λόγον, οὕτως ἀγαπῶσι τοὺς
ἐπαινέτας, ὥστε προσπαραγράφουσι πρώτους οἳ ἂν ἐκαστα-
χοῦ ἐπαινῶσιν αὐτούς. ΦΑΙ. Πῶς τοῦτο λέγεις; οὐ γὰρ
μανθάνω. ΣΩ. Οὐ μανθάνεις ὅτι ἐν ἀρχῇ ἀνδρὸς πολιτικοῦ p.
συγγράμματος πρῶτος ὁ ἐπαινέτης γέγραπται; ΦΑΙ. Πῶς; 258
ΣΩ. Ἔδοξέ που (φησὶν αὐτὸ τὸ σύγγραμμα) τῇ βουλῇ, ἢ a.
τῷ δήμῳ, ἢ ἀμφοτέροις. καὶ ὃς εἶπεν, τὸν ἑαυτὸν δὴ λέγων
μάλα σεμνῶς καὶ ἐγκωμιάζων ὁ συγγραφεύς. ἔπειτα λέγει
δὴ μετὰ τοῦτο ἐπιδεικνύμενος τοῖς ἐπαινέταις τὴν ἑαυτοῦ
σοφίαν, ἐνίοτε πάνυ μακρὸν ποιησάμενος σύγγραμμα. ἤ σοι
ἄλλό τι φαίνεται τὸ τοιοῦτον ἢ λόγος συγγεγραμμένος;

nes componere, ſuaque ſcripta relinquere, ne Sophiſtae fuiſſe poſteris videantur. *So.* Proverbium illud, *Dulcis cubitus*, o Phaedre, te latuit, a longo cubito, qui prope Nilum eſt, ductum fuiſſe. neque id ſolum, ſed illud quoque te fugit, quod qui inter eos, qui rempublicam adminiſtrant, ſunt prudentiſſimi, in conſcribendis poſteritatique relinquendis orationibus ſummopere ſtudent: qui uſque adeo laudatores ſuorum operum diligunt, ut primos eos adſcribant, qui ſcripta ubique laudent. *Phae.* Quomodo id ais? non enim intelligo. *So.* Neſcis, quod in exordio libri, a politico viro compoſiti, primus eſt laudator adſcriptus? *Phae.* Quo pacto? *So. Probatum eſt*, inquit, *ſcriptum ſenatui*, *aut populo*, *aut utriſque*: & ille, qui dixit, ſe ipſum ambitioſe nominans, extollenſque ſententiae auctorem. deinde etiam dicit poſt haec, ſuam oſtentans laudatoribus ſapientiam: idque ſaepe poſtquam prolixam orationem habuerit. An aliud quidquam tibi iſtud videtur, quam ſcripta oratio? *Phae.* Non aliud certe.

b. ΦΑΙ. Οὐκ ἔμοιγε. ΣΩ. Οὐκοῦν ἐὰν μὲν οὗτος ἐμμένῃ, γεγηθὼς ἀπέρχεται ἐκ τοῦ θεάτρου ὁ ποιητής· ἐὰν δὲ ἐξαλειφθῇ, καὶ ἀμοιρος γένηται λογογραφίας τε καὶ τοῦ ἄξιος εἶναι συγγράφειν, πενθεῖ αὐτός τε καὶ οἱ ἑταῖροι. ΦΑΙ. Καὶ μάλα. ΣΩ. Δῆλόν γε ὅτι οὐχ ὡς ὑπερφρονοῦντες τοῦ ἐπιτηδεύματος, ἀλλ' ὡς τεθαυμακότες. ΦΑΙ. Πάνυ μὲν οὖν. ΣΩ. Τί δέ; ὅταν ἱκανὸς γένηται ῥήτωρ ἢ βασιλεὺς, ὥστε λαβων
c. τὴν Λυκούργου, ἢ Σόλωνος, ἢ Δαρείου δύναμιν, ἀθάνατος γενέσθαι λογογράφος ἐν πόλει, ἆρ' οὖν οὐκ ἰσόθεον ἡγεῖται αὐτός τε αὑτὸν ἔτι ζῶν, καὶ οἱ ἔπειτα γιγνόμενοι ταυτὰ ταῦτα περὶ αὐτοῦ νομίζουσι, θεώμενοι αὐτοῦ τὰ συγγράμματα; ΦΑΙ. Καὶ μάλα. ΣΩ. Οἴει οὖν τινα τῶν τοιούτων, ὅστις καὶ ὁπωστιοῦν δύσνους Λυσίᾳ, ὀνειδίζειν αὐτὸ τοῦτο ὅτι συγγράφει; ΦΑΙ. Οὔκουν εἰκός γε, ἐξ ὧν σὺ λέγεις. καὶ γὰρ ἂν τῇ αὐτοῦ ἐπιθυμίᾳ, ὡς ἔοικεν, ὀνειδίζοι. ΣΩ. Τοῦτο
d. μὲν ἄρα παντὶ δῆλον ὅτι οὐκ αἰσχρὸν αὐτό γε τὸ γράφειν λόγους. ΦΑΙ. Τί γάρ; ΣΩ. Ἀλλ' ἐκεῖνο οἶμαί γε αἰσχρὸν

So. Quod ſi approbetur, geſtiens ex theatro diſcedit, tanquam poëta. ſin autem reprobetur, excludaturque a ſcribenda ſententia, neque dignus, cuius ſententia mandetur literis, habeatur, moeret ipſe, eiuſque amici. *Phae.* Et maxime quidem. *So.* In hoc plane demonſtrant, ſe minime aſpernari ſtudium huiuſmodi, ſed multi facere. *Phae.* Summopere. *So.* Quid vero, ſi orator quiſpiam, aut rex eam nactus ſit facultatem, ut, quemadmodum Lycurgus, aut Solo, aut Darius, immortalis in civitate ſcriptor haberi poſſit, an non & ipſe aequalem ſe Deo, adhuc viventem exiſtimat? & poſteri, monumenta eius conſiderantes, de illo ſimiliter iudicant? *Phae.* Vehementer. *So.* An igitur cenſes, talium quempiam, vel quantumcunque malevolum Lyſiae, ſtudium eius hoc ſcribendi vituperaturum? *Phae.* Ex his, quae tu dicis, id conſentaneum non videtur. nam ſuum quoque ſtudium, ut videtur, vituperaret. *So.* Ergo ex hoc perſpicuum eſſe cuique poteſt, non ob hoc ipſum, quod ſcribat, quemquam eſſe vi-

ἤδη, τὸ μὴ καλῶς λέγειν τε καὶ γράφειν, ἀλλ' αἰσχρῶς τε καὶ κακῶς. ΦΑΙ. Δῆλον δή. τίς οὖν ὁ τρόπος τοῦ καλῶς τε καὶ μὴ γράφειν; ΣΩ. Δεόμεθά τοι, ὦ Φαῖδρε, Λυσίαν περὶ τούτων ἐξετάσαι, καὶ ἄλλον ὅστις πώποτε τὶ γέγραφεν ἢ γράψει, εἴτε πολιτικὸν σύγγραμμα, εἴτε ἰδιωτικὸν, ἐν μέτρῳ ὡς ποιητὴς, ἢ ἄνευ μέτρου, ὡς ἰδιώτης; ΦΑΙ. Ἐρωτᾷς εἰ δεόμεθα; τίνος μὲν οὖν ἕνεκ' ἄν τις, ὡς εἰπεῖν, ζώη, ἀλλ' e.
ἢ τῶν τοιούτων ἡδονῶν ἕνεκα; οὐ γάρ που ἐκείνων γε ὧν προλυπηθῆναι δεῖ, ἢ μηδὲ ἡσθῆναι. ὃ δὴ ὀλίγου πᾶσαι αἱ περὶ τὸ σῶμα ἡδοναὶ ἔχουσι. διὸ καὶ δικαίως ἀνδραποδώδεις κέκληνται. ΣΩ. Σχολὴ μὲν δή, ὡς ἔοικε· καὶ ἅμα μοὶ δοκοῦσιν ὡς ἐν τῷ πνίγει ὑπὲρ κεφαλῆς ἡμῖν οἱ τέττιγες ᾄδοντες, καὶ ἀλλήλοις διαλεγόμενοι, καθορᾶν καὶ ἡμᾶς. εἰ οὖν ἴδοιεν p.
καὶ νῷ, καθάπερ τοὺς πολλοὺς, ἐν μεσημβρίᾳ μὴ διαλεγο- 259
μένους, ἀλλὰ νυσάζοντας, καὶ κηλουμένους ὑφ' αὑτῶν δι' a.
ἀργίαν τῆς διανοίας, δικαίως ἂν καταγελῷεν, ἡγούμενοι

tuperandum. *Phae.* Quid enim? *So.* At illud eſt, ut arbitror, turpe, turpiter ac male & loqui, & ſcribere. *Phae.* Manifeſtum id quidem. Quaenam igitur & bene, & non bene ſcribendi ratio eſt? *So.* Numquid opus eſt nobis, o Phaedre, de his a Lyſia, vel ab alio ſciſcitari, qui vel quandoque ſcripſerit aliquid, vel ſit ſcripturus, ſeu civile publicum opus, ſive privatum, aut carmine, ut poëta, aut, tanquam privatus, oratione ſoluta? *Phae.* Rogas, an opus ſit? cuius enim gratia, ut ita dicam, vivat quiſpiam, niſi huiuſmodi voluptatum? non enim illarum gratia, quas dolor neceſſario antecedit: alioquin voluptas minime provenit, quod omnes paene voluptates corporis habent: quare ſerviles non iniuria ſunt appellatae. *So.* Otio utique abundamus: ac etiam mihi videntur, velut in aeſtu, ſuper caput noſtrum cicadae canentes, & invicem diſputantes nos contueri. Si ergo nos viderent, quemadmodum & alios multos, in meridie non diſputantes quidem, ſed dormitantes, ab ipſis ob mentis deſidiam delinitos, merito deriderent, exiſtimantes, man-

ἀνδράποδα ἄττα σφίσιν ἐλθόντα εἰς τὸ καταγώγιον, ὥσπερ προβάτια μεσημβριάζοντα περὶ τὴν κρήνην εὐδειν. ἐὰν δὲ ὁρῶσι διαλεγομένους, καὶ παραπλέοντας σφᾶς, ὥσπερ Σει-
b. ρῆνας, ἀκηλήτους, ὃ γέρας ἔχουσι παρα θεῶν ἀνθρώποις διδόναι, τάχ' ἂν δοῖεν, ἀγασθέντες. ΦΑΙ. Ἔχουσι δὲ δή τί τοῦτο; ἀνήκοος γὰρ, ὡς ἔοικε, τυγχάνω ὤν. ΣΩ. Οὐ μὲν δὴ πρέπει γε φιλόμουσον ἄνδρα τῶν τοιούτων ἀνήκοον εἶναι. λέγεται δ' ὡς ποτ' ἦσαν οὗτοι ἀνθρωποι τῶν πρὶν Μούσας γεγονέναι. γενομένων δὲ Μουσῶν, καὶ φανείσης ᾠδῆς, οὕτως ἄρα τινὲς τῶν τότε ἐξεπλάγησαν ὑφ' ἡδονῆς, ὥστε ᾄδοντες
c. ἠμέλησαν σίτων τε καὶ ποτῶν, καὶ ἔλαθον τελευτήσαντες αὐτούς. ἐξ ὧν τὸ τεττίγων γένος μετ' ἐκεῖνο φύεται, γέρας τοῦτο παρὰ Μουσῶν λαβὸν, μηδὲν τροφῆς δεῖσθαι γενόμενον, ἀλλ' ἄσιτόν τε καὶ ἄποτον εὐθὺς ᾄδειν, ἕως ἂν τελευτήσῃ· καὶ μετὰ ταῦτα ἐλθὸν παρὰ Μούσας ἀπαγγέλλειν τίς τίνα αὐτῶν τιμᾷ τῶν ἐνθάδε. Τερψιχόρᾳ μὲν οὖν τοὺς

cipia quaedam ad eas illuc divertiſſe, inque ipſo receſſu, tanquam pecudes ſub umbra, ſecus fontem meridiano ſomno teneri. ſin autem viderint differentes nos, minimeque ab illarum, quaſi Sirenum, illecebris captos, quo minus portum verſus enavigaremus, forte nobis libentiſſime praemium illud tribuerent, quod Deorum conceſſione traducere ad homines poſſunt. *Phae.* Quidnam muneris iſtud eſt, quod poſſident? nunquam enim audiſſe videor. *So.* Non tamen decet Muſarum ſtudioſum virum rerum huiuſmodi ignarum eſſe. Fertur autem, hos olim homines ante Muſas fuiſſe: natis deinde Muſis, cantuque monſtrato, illorum nonnullos voluptate cantus uſque adeo delinitos fuiſſe, ut canentes cibum potumque negligerent, imprudenterque perirent: ex quibus deinceps cicadarum genus ſit natum, munus hoc a Muſis nactum, ut alimonia non indigeat, ſed abſque cibo potuque, quamdiu vixerit, cantet, poſtea vero ad Muſas proficiſcatur, quam quis hominum Muſam hic colat renuntiaturum. Ergo Terpſichorae nuntiantes, qui praecipue illam in choris coeti-

ἐν τοῖς χοροῖς τετιμηκότας αὐτὴν ἀπαγγέλλοντες, ποιοῦσι προσφιλεστέρους· τῇ δὲ Ἐρατοῖ, τοὺς ἐν τοῖς ἐρωτικοῖς· καὶ d.
ταῖς ἄλλαις οὕτω, κατὰ τὸ εἶδος τιμῆς ἑκάστης. τῇ δὲ πρεσβυτάτῃ Καλλιόπῃ, καὶ τῇ μετὰ ταύτην Οὐρανίᾳ, τοὺς ἐν φιλοσοφίᾳ διάγοντάς τε καὶ τιμῶντας τὴν ἐκείνων μουσικὴν ἀγγέλλουσι· αἳ δὴ μάλιστα τῶν Μουσῶν περί τε οὐρανὸν καὶ λόγους οὔσαι θείους τε καὶ ἀνθρωπίνους, ἴασι καλλίστην φωνήν. πολλῶν οὖν δὴ ἕνεκεν λεκτέον τί, καὶ οὐ καθευτητέον, ἐν τῇ μεσημβρίᾳ. ΦΑΙ. Λεκτέον γὰρ οὖν. ΣΩ. Οὐκοῦν, e.
ὅπερ νῦν προὐθέμεθα, σκέψασθαι τὸν λόγον ὅπη καλῶς ἔχει λέγειν τε καὶ γράφειν, καὶ ὅπη μή, σκεπτέον. ΦΑΙ. Δῆλον. ΣΩ. Ἆρ' οὖν οὐχ ὑπάρχειν δεῖ τοῖς εὖ τε καὶ καλῶς ῥηθησομένοις τὴν τοῦ λέγοντος διάνοιαν, εἰδυῖαν τἀληθὲς ὧν ἂν ἐρεῖν πέρι μέλλῃ; ΦΑΙ. Οὕτωσὶ περὶ τούτων ἀκήκοα, ὦ φίλε Σώκρατες, οὐκ εἶναι ἀνάγκην τῷ μέλλοντι ῥήτορι ἔσε- p.
σθαι τὰ τῷ ὄντι δίκαια μανθάνειν, ἀλλὰ τὰ δόξαντα ἂν 260
πλήθει οἵπερ δικάσουσιν· οὐδὲ τὰ ὄντως ἀγαθὰ ἢ καλὰ, ἀλλ' a.

busque celebraverint, eam ipsis propitiam reddunt: Erato autem eos, qui in rebus amatoriis honoraverint: atque aliis eodem modo, pro sua cuiusque venerationis specie. Calliopae autem antiquissimae, eamque sequenti Uraniae, eos, qui in philosophia vivunt, coluntque ipsarum musicam, referunt: quae prae ceteris Musis circa coelum, atque sermones tam divinos, quam humanos, versantur, vocem pulcherrime modulantes. Itaque multis de causis dicendum est aliquid, neque in meridie dormitandum. *Phae.* Dicendum certe. *So.* Igitur, quod modo statueramus, iam considerandum est, qua videlicet ratione quis recte, aut non recte & loquatur, & scribat. *Phae.* Procul dubio. *So.* An non necesse est, eum, qui recte dicturus sit, veram in ea re, de qua loquatur, intelligentiam habere? *Phae.* Audivi equidem, o Socrates amice, non esse futuro oratori necessarium, quae revera iusta sunt discere, sed quae iudicantium multitudini videantur: neque revera bona, aut honesta, sed quae sic appareant. ex his enim po-

ὅσα δέξει. ἐκ γὰρ τούτων εἶναι τὸ πείθειν, ἀλλ' οὐκ ἐκ τῆς
ἀληθείας. ΣΩ. Οὔποι ἀπόβλητον ἔπος εἶναι δεῖ, ὦ Φαῖδρε,
ὃ ἂν εἴπωσι σοφοί, ἀλλὰ σκοπεῖν μή τι λέγωσι. καὶ δὴ καὶ
τὸ νῦν λεχθὲν οὐκ ἀφετέον. ΦΑΙ. Ὀρθῶς λέγεις. ΣΩ. Ὧδε
δὴ σκοπῶμεν αὐτό. ΦΑΙ. Πῶς; ΣΩ. Εἴ σε πείθοιμι ἐγὼ
b. τοὺς πολεμίους ἀμύνειν, κτησάμενον ἵππον· ἄμφω δὲ ἵππον
ἀγνοοῖμεν, τοσόνδε μέντοι τυγχάνοιμι εἰδὼς περὶ σοῦ, ὅτι
Φαῖδρος ἵππον ἡγεῖται τὸ τῶν ἡμέρων ζώων μέγιστα ἔχον
ὦτα. ΦΑΙ. Γελοῖόν γ' ἂν, ὦ Σώκρατες, εἴη. ΣΩ. Οὔπω γε·
ἀλλ' ὅτε δὴ σπουδῇ σε πείθοιμι, συντιθεὶς λόγον, ἔπαινον
κατὰ τοῦ ὄνου, ἵππον ἐπονομάζων· καὶ λέγων ὡς παντὸς
ἄξιον τὸ ϑρέμμα οἴκοι τε κεκτῆσϑαι καὶ ἐπὶ στρατιᾶς· ἀποπο-
c. λεμεῖν τε χρήσιμον καὶ προσενεγκεῖν δυνατὸν σκεύη, καὶ ἄλ-
λα πολλὰ ὠφέλιμον. ΦΑΙ. Παγγέλοιόν γ' ἂν ἤδη εἴη. ΣΩ.
Ἆρ' οὖν οὐ κρεῖττον, γελοῖον ἢ δεινόν τε καὶ ἐχϑρὸν εἶναι,
ἢ φίλον; ΦΑΙ. Φαίνεται. ΣΩ. Ὅταν οὖν ὁ ῥητορικὸς
ἀγνοῶν ἀγαϑὸν καὶ κακὸν, λαβὼν πόλιν ὡσαύτως ἔχουσαν,

tius, quam ex veritate, poſſe perſuadere. *So.* Nunquam, o Phaedre, ſapientum contemnenda ſunt dicta: immo diligenter, quid ſibi velint, conſideranda. itaque, quod modo dicebas, praetereundum eſſe non arbitror. *Phae.* Probe loqueris. *So.* Sic igitur iſtud conſideremus. *Phae.* Quo pacto? *So.* Si tibi ſuaderem, hoſtes te equo expugnaturum, utrique vero equum ignoraremus, ſed ego id tantum de te ſcirem, quod Phaedrus equum putat eſſe illud animal, quod ex omnibus domeſticis auriculas maximas habet. *Phae.* Ridiculum id quidem eſſet, o Socrates. *So.* Nondum iſtud: ſed quando obnixe tibi perſuadere conarer, oratione in aſini laudes compoſita, equum illum vocans, affirmanſque praeſtantiſſimum animal eſſe, utile domi & foris, ad bellum promtiſſimum, ad ſarcinas ferendas aptum, & ad multa alia commodiſſimum. *Phae.* Valde id abſurdum. *So.* Nonne praeſtat ridiculum amicum eſſe, quam gravem & inimicum? *Phae.* Videtur. *So.* Quando igitur orator boni malique ignarus, civitati ſimi-

πείθῃ, μὴ περὶ ὄνου σκιᾶς, ὡς ἵππου, τὸν ἔπαινον ποιουμενος, ἀλλὰ περὶ κακοῦ, ὡς ἀγαθοῦ· δόξας δὲ πλήθους μεμελετηκὼς, πείσῃ κακὰ πράττειν ἀντ' ἀγαθῶν· ποῖόν τινα οἴει μετὰ ταῦτα τὴν ῥητορικὴν καρπὸν ὂν ἔσπειρε θερίζειν; d.
ΦΑΙ. Οὐ πάνυ ἐπιεικῆ. ΣΩ. Ἆρ' οὖν, ὦ 'γαθὲ, ἀγροικότερον τοῦ δέοντος λελοιδορήκαμεν τὴν τῶν λόγων τέχνην; ἦδ' ἴσως ἂν εἴποι, Τί ποτ', ὦ θαυμάσιοι, ληρεῖτε; ἐγὼ γὰρ οὐδένα ἀγνοοῦντα τἀληθὲς ἀναγκάζω μανθάνειν λέγειν· ἀλλ' εἴτις ἐμῇ ξυμβουλῇ κτησάμενος ἐκεῖνο, οὕτως ἐμὲ λαμβάνειν. τὸ δ' οὖν μέγα λέγω, ὡς ἄνευ ἐμοῦ τῷ τὰ ὄντα εἰδότι οὐδέν τι μᾶλλον ἔξαι πείθειν τέχνη. Οὐκοῦν δίκαια ἐρεῖ, λέγουσα e.
ταῦτα; ΦΑΙ. Φημὶ, ἐὰν οἵ γε ἐπιόντες αὐτῇ λόγοι μαρτυρῶσιν εἶναι τέχνῃ. ὥσπερ γὰρ ἀκούειν δοκῶ τινων προσιόντων καὶ διαμαρτυρομένων λόγων ὅτι ψεύδεται, καὶ οὐκ ἔστι τέχνη ἀλλ' ἄτεχνος τριβή. τοῦ δὲ λέγειν, φησὶν ὁ Λάκων, ἔτυμος τέχνη, ἄνευ τοῦ ἀληθείας ἥφθαι, οὔτ' ἔστιν οὔτε μήποτε ὑστέρως γένηται. τούτων δὴ τῶν λόγων, ὦ Σώκρατες. ἀλλὰ p. 261 a.

liter affectae ſuadeat, non oratione quidem in umbrae aſini laudem, tanquam equus illa ſit, compoſita, ſed de malo, tanquam bonum id ſit, differens, vulgique opiniones aucupatus, mala facere pro bonis inducat: qualem putas oratorem huiuſmodi ſegetem, quam ſevit, meſſurum? *Phae.* Haud ſane bonam. *So.* Num, o bone vir, ruſticius, quam deceat, dicendi artem vituperavimus? Illa vero forſitan dixerit: Quid, o viri mirabiles, deliratis? ego enim neminem veritatis ignarum diſcere orare compello: ſed ſi quis, conſilio uſus meo, percepta veritate me capiet. Hoc ſane affirmo eſſe maximum, quod abſque me etiam ſi quis res noverit, nihilo magis perſuadendi vim tenebit. An non iure haec dixerit? *Phae.* Fateor equidem, ſi modo ſequentes rationes artem eſſe illam teſtentur. audire namque mihi videor rationes nonnullas, quae aſſerunt, mentiri eam, neque artem eſſe, ſed aliquem ſine arte uſum. veram autem dicendi artem abſque veritate, inquit Laco, neque eſſe aliquam, neque unquam fore. Has

ὁ ὗρο αὐτοὺς παράγων, ἐξέταζε τί καὶ πῶς λέγουσι. ΣΩ. Πάριτε δὴ θρέμματα γενναῖα· καλλιπαιδά τε Φαίδρου πείσετε, ἕως ἂν μὴ ἱκανῶς φιλοσοφήσῃ, οὐδὲ ἱκανὸς ποτε λέγειν ἔσαι περὶ οὑδενός. ἀποκρινέσθω δὴ ὁ Φαῖδρος, ἐρωτᾶτε δ' οὖ τὸ μὲν ὅλον ἡ ῥητορικὴ ἂν εἴη τέχνη ψυχαγωγία τις διὰ λόγων, οὐ μόνον ἐν δικαστηρίοις καὶ ὅσοι ἄλλοι δημόσιοι σύλλογοι, ἀλλὰ καὶ ἐν ἰδίοις ἡ αὐτὴ, σμικρῶν τε καὶ
b. μεγάλων πέρι; καὶ οὐδὲν ἐντιμότερον τόγε ὀρθὸν περι σπουδαῖα ἢ φαῦλα γιγνόμενον; ἢ πῶς σὺ ταῦτ' ἀκήκοας; ΦΑΙ. Οὐ μὰ τὸν Δία οὐ παντάπασιν οὕτως· ἀλλὰ μάλιστα μέν πως περὶ τὰς δίκας λέγεται καὶ γράφεται τέχνη, λέγεται δὲ καὶ περὶ δημηγορίας· ἐπὶ πλέον δὲ οὐκ ἀκήκοα. ΣΩ. Ἀλλ' ἢ τὰς Νέστορός τε καὶ Ὀδυσσέως τέχνας μόνον περὶ λόγων ἀκήκοας, ἃς ἐν Ἰλίῳ σχολάζοντε συνεγραψάτην, τῶν δὲ
c. Παλαμήδους ἀνήκοος γέγονας; ΦΑΙ. Καὶ ναὶ μὰ Δία ἔγωγε τῶν Νέστορος. εἰ μὴ Γοργίαν, Νέστορα τινὰ κατασκευάζεις· ἢ τινα Θρασύμαχόν τε καὶ Θεόδωρον, Ὀδυσσέα.

rationes, o Socrates, ſed huc eas adducens, quid dicant, & quomodo, diſcute. *So.* Adeſte, animalia generoſa, ac Phaedro honeſto adoleſcenti perſuadete, niſi ſufficienter philoſophetur, eum nunquam aliqua de re ſufficienter eſſe dicturum. Reſpondeat Phaedrus Socrati interroganti: An non rhetorica omnino ars erit alliciens animam per ſermones, non in iudiciis modo, ceteriſque publicis coetibus, verum etiam in privatis congreſſibus eadem de magnis quibuſque rebus & parvis? nihil enim honorabilius in magnis, quam in exiguis, ex recta artis ratione ſe gerere. Numquid tu haec audiſti? *Phae.* Non ita prorſus per Iovem. verum circa iudicia praecipue ars iſta dicitur, ſcribiturque, nec non circa conciones: ultra vero eam porrigi non audivi. *So.* Numquid artem dicendi, qua Neſtor & Ulyſſes apud Ilium uſi ſunt, audiſti? eam vero, qua Palamedes, audiſti nunquam? *Phae.* Et per Iovem, Neſtoris orationes audivi: niſi forte Gorgiam, Neſtorem fingis eſſe, aut Thraſymachum Theodorumque Ulyſſem. *So.* For-

ΣΩ. Ἴσως. ἀλλὰ γὰρ τούτους ἐῶμεν· σὺ δ' εἰπὲ, ἐν δικαστηρίοις οἱ ἀντίδικοι τί δρῶσιν; οὐκ ἀντιλέγουσι μέντοι; ἢ τί φήσομεν; ΦΑΙ. Τοῦτ' αὐτό. ΣΩ. Περὶ τοῦ δικαίου τε καὶ ἀδίκου; ΦΑΙ. Ναι. ΣΩ. Οὐκοῦν ὁ τέχνῃ τοῦτο δρῶν, ποιήσει φανῆναι τὸ αὐτὸ τοῖς αὐτοῖς τοτὲ μὲν δίκαιον, ὅταν δὲ βούληται, ἄδικον; ΦΑΙ. Τί μήν; ΣΩ. Καὶ ἐν δημῃ ορίᾳ δὴ d.
τῇ πόλει δοκεῖν τὰ αὐτὰ, τοτὲ μὲν ἀγαθὰ, τοτὲ δ' αὖ τἀναντία; ΦΑΙ. Οὕτως. ΣΩ. Τὸν οὖν Ἐλεατικὸν Παλαμήδην λέγοντα οὐκ ἴσμεν τέχνῃ, ὥστε δοκεῖν φαίνεσθαι τοῖς ἀκούουσι τὰ αὐτὰ ὅμοια καὶ ἀνόμοια, καὶ ἓν καὶ πολλὰ, μένοντά τε αὖ καὶ φερόμενα; ΦΑΙ. Μάλα γε. ΣΩ. Οὐκ ἄρα μόνον περὶ δικαστήριά τε ἐστὶν ἡ ἀντιλογικὴ, καὶ περὶ δημῃ ορίαν, ἀλλ', ὡς ἔοικε, περὶ πάντα τὰ λεγόμενα μία τις τέχνη, εἴπερ ἔστιν αὖ- e.
τη ἣν εἴη ἡτις οἵα τ' ἔσαι πᾶν παντὶ ὁμοιοῦν τῶν δυνατῶν, καὶ οἷς δυνατόν· καὶ ἄλλου ὁμοιοῦντος καὶ ἀποκρυπτομένου, εἰς φῶς ἄγειν. ΦΑΙ. Πῶς δὴ τὸ τοιοῦτον λέγεις; ΣΩ. Τῇδε δοκῶ ζητοῦσι φανεῖσθαι. ἀπάτη πότερον ἐν πολὺ διαφέρουσι γί-

ſan: ſed hos mittamus: tu vero reſponde: Quid in iudiciis adverſarii faciunt? nonne contradicunt? An quid aliud dicemus? *Phae.* Hoc ipſum. *So.* Nonne de iuſto atque iniuſto? *Phae.* Ita. *So.* Nonne qui arte id agit, efficiet, ut idem iiſdem tum iuſtum, tum iniuſtum appareat? *Phae.* Quid prohibet? *So.* Et in concione, ut eadem civitati modo bona, modo contraria videantur? *Phae.* Certe. *So.* Enimvero Eleatem Palamedem artificio ſuo efficere ſolitum accepimus, ut eadem audientibus ſimilia & diſſimilia, unum & multa, manentia & fluentia viderentur. *Phae.* Maxime. *So.* Facultas ergo contradictoria, non in iudiciis ſolum & concionibus, verum etiam in omnibus, ut apparet, quae dicuntur, quandoquidem una quaedam ars eſt, verſatur: qua quis poterit omnia omnibus, & quae poſſunt, & quibus poſſunt, ſimilia fingere, &, alio ſimilia iſta occulente, in lucem educere. *Phae.* Quonam pacto id ais? *So.* Hoc equidem. Num deceptio in his, quae multum, an quae parum differunt, accidit? *Phae.*

γ νεται μᾶλλον, ἢ ὀλίγον; ΦΑΙ. Ἐν τοῖς ὀλίγον. ΣΩ. Ἀλλὰ
p 200 a ὅτι, κατὰ σμικρὸν μεταβαίνων, μᾶλλον λήσεις ἐλθὼν ἐπὶ τὸ
ἐναντίον, ἢ κατὰ μέγα. ΦΑΙ. Πῶς δ' οὔ; ΣΩ. Δεῖ ἄρα τὸν
μέλλοντα ἀπατήσειν μὲν ἄλλον, αὐτὸν δὲ μὴ ἀπατήσεσθαι,
τὴν ὁμοιότητα τῶν ὄντων καὶ ἀνομοιότητα ἀκριβῶς διειδέναι.
ΦΑΙ. Ἀνάγκη μὲν οὖν. ΣΩ. Ἦ οὖν οἷός τε ἔσαι, ἀλήθειαν
ἀγνοῶν ἑκάστου, τὴν τοῦ ἀγνοουμένου ὁμοιότητα μικράν τε
b. καὶ μεγάλην ἐν τοῖς ἄλλοις διαγιγνώσκειν; ΦΑΙ. Ἀδύνατον. ΣΩ. Οὐκοῦν τοῖς παρὰ τὰ ὄντα δοξάζουσι καὶ ἀπατωμένοις δῆλον ὡς τὸ πάθος τοῦτο δι' ὁμοιοτήτων τινῶν εἰσέρρυη.
ΦΑΙ. Γίγνεται οὖν οὕτως. ΣΩ. Ἔστιν οὖν ὅπως τεχνικὸς ἔσαι, μεταβιβάζων κατὰ σμικρὸν, δι' ὁμοιοτήτων ἀπὸ τοῦ ὄντος ἑκάστοτε ἐπὶ τοὐναντίον ἀπάγων, ἢ αὐτὸς τοῦτο διαφεύγειν, ὃ μὴ ἐγνωρικὼς ὅ ἐστιν ἕκαστον τῶν ὄντων; ΦΑΙ. Οὐ μήποτε.
c. ΣΩ. Λόγων ἄρα τέχνην, ὦ ἑταῖρε, ὁ τὴν ἀλήθειαν μὴ εἰδὼς, δόξας δὲ τεθηρακὼς, γελοίαν τινὰ, ὡς ἔοικε, καὶ ἀτεχνον παρέξεται. ΦΑΙ. Κινδυνεύει. ΣΩ. Βούλει οὖν, ἐν

In his, quae parum. *So.* Atqui ſi paulatim tranſieris, latebis magis, dum ad contrarium venies, quam ſi ſubito tranſilieris. *Phae.* Quidni? *So.* Oportet igitur eum, quicunque deceptu-rus ſit alium, ipſe minime decipiendus, ſimilitudinem & diſ-ſimilitudinem rerum exquiſite dignoſcere. *Phae.* Neceſſarium eſt. *So.* Numquid igitur ſingulorum veritatis inſcius poterit eius, quod ignorat, ſimilitudinem in univerſis parvam aut ma-gnam diiudicare? *Phae.* Impoſſibile id quidem. *So.* Ergo il-los, qui praeter rerum naturam opinantur, falſique ſunt, con-ſtat propter ſimilitudines aliquas ſic eſſe affectos. *Phae.* Sic accidit. *So.* Num igitur poterit quiſquam, ſi rem quamcunque ignoraverit, artificioſe aliquem ſenſimque a vero in contra-rium per ſimilitudines aliquas ſigillatim traducere, aut erro-rem hunc in ſe ipſo vitare? *Phae.* Nunquam. *So.* Quamo-brem, o amice, quicunque veritatem ignorat, & opinioni-bus ducitur, dicendi quoque facultatem, ut videtur, inertem exhibet atque ridiculam. *Phae.* Ita videtur. *So.* An vis in

τῷ Λυσίου λόγῳ ὃν φέρεις, καὶ ἐν οἷς ἡμεῖς εἴπομεν, ἰδεῖν τι ὧν φαμεν ἄτεχνόν τε καὶ ἔντεχνον εἶναι. ΦΑΙ. Πάντων γέ που μάλιστα· ὡς νῦν γε ψιλῶς πως λέγομεν, οὐκ ἔχοντες ἱκανὰ παραδείγματα. ΣΩ. Καὶ μὴν κατὰ τύχην γέ τινα, ὡς ἔοικεν, ἐρρήθητην τὼ λόγω, ἔχοντε τι παράδειγμα· ὡς ἂν ὁ εἰδὼς τὸ ἀληθὲς, προσπαίζων ἐν λόγοις παρά- d.
γοι τοὺς ἀκούοντας. καὶ ἐγωγε, ὦ Φαῖδρε, αἰτιῶμαι τοὺς ἐντοπίους θεούς. ἴσως δὲ καὶ οἱ τῶν Μουσῶν προφῆται οἱ ὑπὲρ κεφαλῆς ᾠδοὶ ἐπιπεπνευκότες ἂν ἡμῖν εἶεν τοῦτο τὸ γέρας. οὐ γάρ που ἔγωγε τέχνης τινὸς τοῦ λέγειν μέτοχος. ΦΑΙ. Ἔξω ὡς λέγεις· μόνον δήλωσον ὃ φῂς. ΣΩ. Ἴθι δή μοι ἀναγνωθι τὴν τοῦ Λυσίου λόγου ἀρχήν. ΦΑΙ. Περὶ μὲν τῶν ἐμῶν πραγμάτων ἐπίσασαι καὶ ὡς νομίζω συμφέρειν ἡμῖν e.
τούτων γενομένων, ἀκήκοας. ἀξιῶ δὲ μὴ διὰ τοῦτο ἀτυχῆσαι ὧν δέομαι, ὅτι οὐκ ἐραστὴς ὢν σοῦ τυγχάνω. ὡς ἐκείνοις μὲν τότε μεταμέλει ὧν ἂν εὖ ποιήσωσιν, ἐπειδὰν τῆς ἐπιθυμίας παύσωνται. ΣΩ. Παῦσαι. τί δὴ οὖν οὗτος ἁμαρτάνει

oratione Lyſiae, quam in manibus habes, & in noſtra diſputatione videre, ubi artificioſe, & ubi ſine arte agitur? *Phae.* Maxime omnium. nude enim in praeſentia loquimur, cum exemplis idoneis careamus. *So.* At enim fortuna quadam rationes dictae ſunt, ut videtur, exemplo monſtrantes, compotem veritatis virum, dum verbis iocatur, trahere auditores. Atque ego, o Phaedre, locales Deos huius rei cauſas arbitror. Forte etiam Muſarum prophetae, ſuper capita noſtra cantores, munus hoc nobis inſpiraverunt. Ego enim dicendi artem habeo nullam. *Phae.* Eſto, ut ais. ſolum, quod dicis, oſtende. *So.* Age itaque, prooemium orationis Lyſiae lege. *Phae.* Mearum quidem rerum ſtatus ſic, ut intellexiſti, ſe habet. itaque cum ita ſit, quemadmodum nobis conducere putem, audiſti. Arbitror equidem, me non minus ob id abs te, ſi quid petiero, conſecuturum, quod amore tui captus minime ſum. nam amatores, cum primum amare deſierint, collati beneficii poenitet. *So.* Deſine. in quo enim iſte delinquat, &

p. καὶ ἄτεχνον ποιεῖ, λεκτέον. ἢ γάρ; ΦΑΙ. Ναί. ΣΩ. Ἆρ'
263 οὖν οὐ παντὶ δῆλον τόγε τοιόνδε, ὡς περὶ μὲν ἕνια τῶν τοιού-
a. τῶν ὁμονοητικῶς ἔχομεν, περὶ δ' ἕνια ἐριστικῶς; ΦΑΙ. Δο-
κῶ μὲν ὃ λέγεις μανθάνειν· ἔτι δ' εἰπὲ σαφέστερον. ΣΩ. Ὅταν
τις ὄνομα εἴπῃ σιδήρου, ἢ ἀργύρου, ἆρ' οὐ τὸ αὐτὸ πάντες
διενοήθημεν; ΦΑΙ. Καὶ μάλα. ΣΩ. Τί δ' ὅταν δικαίου, ἢ
ἀγαθοῦ; οὐκ ἄλλος ἄλλῃ φέρεται; καὶ ἀμφισβητοῦμεν ἀλ-
λήλοις τε καὶ ἡμῖν αὐτοῖς; ΦΑΙ. Πάνυ μὲν οὖν. ΣΩ. Ἐν
b. μὲν ἄρα τοῖς συμφωνοῦμεν, ἐν δὲ τοῖς, οὔ. ΦΑΙ. Οὕτω. ΣΩ.
Ποτέρωσι οὖν εὐαπατητότεροι ἐσμέν; καὶ ἡ ῥητορικὴ ἐν ποτέ-
ροις μεῖζον δύναται; ΦΑΙ. Δηλονότι ἐν οἷς πλανώμεθα. ΣΩ.
Οὐκοῦν τὸν μέλλοντα τέχνην ῥητορικὴν μετιέναι, πρῶτον
μὲν δεῖ ταῦτα ὁδῷ διῃρῆσθαι· καὶ εἰληφέναι τινὰ χαρακτῆρα
ἑκατέρου τοῦ εἴδους, ἐν ᾧ τε ἀνάγκη τὸ πλῆθος πλανᾶσθαι,
καὶ ἐν ᾧ μή. ΦΑΙ. Καλὸν γοῦν ἂν, ὦ Σώκρατες, εἶδος εἴη
c. κατανενοηκὼς ὁ τοῦτο λαβών. ΣΩ. Ἔπειτά γε οἶμαι πρὸς
ἑκάστῳ γιγνόμενον μὴ λανθάνειν, ἀλλ' ὀξέως αἰσθάνεσθαι

quid ſine arte faciat, dicendum. nonne? *Phae.* Profecto. *So.* An non conſtat cuique, quod in aliis, dum loquimur, idem ſentimus omnes, in aliis vero non idem? *Phae.* Quamvis, quod ais, intelligere videor; planius tamen ut dicas, cupio. *So.* Quando quis ferri nomen vel argenti pronuntiat, idem omnes protinus intelligimus. *Phae.* Prorſus. *So.* Quid, cum iuſti, vel boni nomen? nonne alius alio fertur, atque cum aliis, & nobiſcum ipſi ambigimus? *Phae.* Magnopere. *So.* In aliis ergo conſentimus, in aliis diſſentimus. *Phae.* Sic eſt. *So.* Ubinam facilius falli poſſumus? & in quibus horum rhetorica plurimum valet? *Phae.* Patet, in quibus ambigimus. *So.* Oportet igitur eum, qui rhetoricam ſit aſſecuturus, primum haec ordine diſcreviſſe, &, quae utriuſque ſpeciei figurae ſint, percepiſſe, & ubi maxime falli ambiguitate multitudo poteſt, ubi non poteſt. *Phae.* Praeclaram quandam, o Socrates, agnoſceret ſpeciem, qui cogitatione id caperet. *So.* Deinde oportere arbitror eum nihil latere, cum ad ſingula

περὶ οὗ ἂν μέλλῃ ἐρεῖν, ποτέρου ὂν τυγχάνει τοῦ γένους. ΦΑΙ. Τί μήν; ΣΩ. Τί οὖν; τὸν Ἔρωτα πότερον φῶμεν εἶναι τῶν ἀμφισβητησίμων, ἢ τῶν μή; ΦΑΙ. Τῶν ἀμφισβητησίμων δήπου. ΣΩ. Ἦ οἴει ἂν σοι συγχωρῆσαι εἰπεῖν ἃ νῦν δὴ εἶπες περὶ αὐτοῦ, ὡς βλάβη τέ ἐστι τῷ ἐρωμένῳ καὶ ἐρῶντι, καὶ αὖθις ὡς μέγιστον τῶν ἀγαθῶν τυγχάνει; ΦΑΙ. Ἄριστα λέγεις. ΣΩ. Ἀλλ' εἰπὲ καὶ τόδε, (ἐγὼ γάρ τοι, διὰ τὸ ἐνθουσιαστικὸν, οὐ πάνυ μέμνημαι) εἰ ὡρισάμην ἔρωτα ἀρχόμενος τοῦ λόγου. ΦΑΙ. Νὴ Δια, ἀμηχάνως γε ὡς σφόδρα. ΣΩ. Φεῦ, ὅσῳ λέγεις τεχνικωτέρας νύμφας τὰς Ἀχελῴου, καὶ Πᾶνα τὸν Ἑρμοῦ, Λυσίου τοῦ Κεφάλου, πρὸς λόγους εἶναι. ἢ οὐδὲν λέγω; ἀλλὰ καὶ ὁ Λυσίας ἀρχόμενος τοῦ ἐρωτικοῦ ἠνάγκασεν ἡμᾶς ὑπολαβεῖν τὸν Ἔρωτα ἕν τι τῶν ὄντων, ὃ αὐτὸς ἠβουλήθη; καὶ πρὸς τοῦτο ἤδη συντα- e. ξάμενος πάντα τὸν ὕστερον λόγον διεπεράνατο; βούλει πάλιν ἀναγνῶμεν αὐτοῦ τὴν ἀρχήν; ΦΑΙ. Εἰ σοί γε δοκεῖ· ὃ μέντοι ζητεῖς οὐκ ἔστ' αὐτόθι. ΣΩ. Λέγε, ἵνα ἀκούσω αὐτοῦ

venerit, ſed acute perſentire, id, de quo dicturus ſit, utrius ſit generis. *Phae.* Cur non? *So.* Quid porro Amorem? utrum ambigui generis, an alterius eſſe dicemus? *Phae.* Ambigui prorſus. *So.* An putas, eum tibi illa de ſe dicere conceſſurum, quae ſupra dicebas? quod videlicet amato ſimul atque amanti pernicioſus eſt; ac rurſus quod omnium maximum eſt bonorum? *Phae.* Scite loqueris. *So.* Sed id quoque dicas, (ego enim propter divinum illum afflatum non admodum memini) num amorem in diſputationis principio definierim. *Phae.* Per Iovem mirifice. *So.* O quanto ſollertiores Acheloi nymphas, & Pana Mercurii filium, Lyſia Cephali filio ad orationes componendas eſſe demonſtras! An vero nihil dico? ſed Lyſias in amatorii ſermonis exordio coëgit nos intelligere, Amorem certum aliquid eſſe, quod ipſe volebat, atque ad id ſequentia referens orationem omnem peregit? Viſne principium rurſus legamus? *Phae.* Ut lubet: quamvis ibi, quod quaeris, minime ſit. *So.* Lege, ut illum ipſum audiam.

ἐκείνου. ΦΑΙ. Περὶ μὲν τῶν ἐμῶν πραγμάτων ἐπίσασαι καὶ
ὡς νομίζω συμφέρειν ἡμῖν τούτων γενομένων, ἀκήκοας. ἀξιῶ
p. δὲ μὴ διὰ τοῦτο ἀτυχῆσαι ὧν δέομαι, ὅτι οὐκ ἐραστὴς ὢν σοῦ
264 a. τυγχάνω. ὡς ἐκείνοις μὲν τότε μεταμέλει ὧν ἂν εὖ ποιήσωσιν, ἐπειδὰν τῆς ἐπιθυμίας παύσωνται. ΣΩ. Ἦ πολλοῦ δεῖν ἔοικε ποιεῖν ὅδε γε ὁ ζητοῦμεν· ὃς οὐδὲ ἀπ' ἀρχῆς, ἀλλ' ἀπὸ τελευτῆς ἐξ ὑπτίας ἀνάπαλιν διανεῖν ἐπιχειρεῖ τὸν λόγον· καὶ ἄρχεται ἀφ' ὧν πεπαυμένος ἂν ἤδη ὁ ἐραστὴς λέγοι πρὸς τὰ παιδικά. ἦ οὐδὲν εἶπον, Φαῖδρε, Φίλη κεφαλή;
b. ΦΑΙ. Ἔστι γέ τοι δή, Σώκρατες, τελευτὴ, περὶ οὗ τὸν λόγον ποιεῖται. ΣΩ. Τί δέ; τἄλλα οὐ χύδην δοκεῖ βεβλῆσθαι τὰ τοῦ λόγου; ἢ φαίνεται, τὸ δεύτερον εἰρημένον, ἔκ τινος ἀνάγκης δεύτερον δεῖν τεθῆναι; ἤ τι ἄλλο τῶν ῥηθέντων; ἐμοὶ μὲν γὰρ ἔδοξεν, ὡς μηδὲν εἰδότι, οὐκ ἀγεννῶς τὸ ἐπιὸν εἰρῆσθαι τῷ γράφοντι. σὺ δ' ἔχεις τινὰ ἀνάγκην λογογραφικὴν, ἣ ταῦτα ἐκείνος οὕτως ἐφεξῆς παράλληλα ἔθηκε;

Phae. Mearum quidem rerum ſtatus, ſicut intellexiſti, ſe habet. itaque cum ita ſit, quemadmodum nobis conducere putem, audiſti. Arbitror equidem, non minus ob id abs te, ſi quid petiero, conſecuturum, quod amore tui captus minime ſum. nam amatores, cum primum amare deſierint, collati beneficii poenitet. *So.* Permultum abeſſe videtur, ut, quod quaerimus, faciat. ſiquidem non a principio, ſed a fine, modo quodam converſo & reſupino ſermonem tranſigere nititur, incipitque ab illis, quae amator, exſtincto amore, adoleſcentibus obiicit. An forte nihil dixi, o Phaedre, mi lepidum caput? *Phae.* Finis eſt profecto, o Socrates, de quo ſermonem habet. *So.* Quid alia? nonne ſparſim disiecta omnia videntur? an cenſes, quod ſecundo loco poſitum eſt, neceſſitate quadam ita eſſe ſubiunctum? aut aliquid aliud ab illo dictorum? Nam mihi quidem, utpote omnium ignaro, videtur non ingeneroſe, quidquid incidit a ſcriptore, dictum fuiſſe. tu vero neceſſitatem ſcribendi aliquam habes, per quam ille ſic ea invicem deinceps diſpoſuit? *Phae.* Opti-

ΦΑΙ. Χρηστὸς εἶ, ὅτι με ἡγῇ ἱκανὸν εἶναι τὰ ἐκείνου οὕτως c.
ἀκριβῶς διϊδεῖν. ΣΩ. Ἀλλὰ τό γε εἰμαί σε φάναι ἂν δεῖν, πάντα λόγον ὥσπερ ζῷον συνεστάναι, σῶμά τι ἔχοντα αὐτὸν αὑτοῦ· ὥστε μήτε ἀκέφαλον εἶναι, μήτε ἄπουν, ἀλλὰ μέσά τε ἔχειν καὶ ἄκρα, πρέποντα ἀλλήλοις καὶ τῷ ὅλῳ γεγραμμένα. ΦΑΙ. Πῶς γὰρ οὔ; ΣΩ. Σκέψαι τοίνυν τὸν τοῦ ἑταίρου σου λόγον, εἴτε οὕτως εἴτε ἄλλως ἔχει· καὶ εὑρήσεις τοῦ ἐπιγράμματος οὐδὲν διαφέροντα, ὃ Μίδᾳ τῷ Φρυγὶ Ὅσοι d.
τινὲς ἐπιγεγράφθαι. ΦΑΙ. Ποῖον τοῦτο; καὶ τί πεπονθός; ΣΩ. Ἔξι μὲν τοῦτο, τόδε, Χαλκῆ παρθένος εἰμὶ· Μίδα δ' ἐπὶ σήματι κεῖμαι. Ὅφρ' ἂν ὕδωρ τε νάῃ, καὶ δένδρεα μακρὰ τεθήλῃ, Αὐτοῦ τῇδε μένουσα, πολυκλαύτου ἐπὶ τύμβου, Ἀγγελέω παριοῦσι, Μίδας ὅτι τῇδε τέθαπται. Ὅτι δὲ οὐδὲν διαφέρει αὐτοῦ πρῶτον ἢ ὕστατόν τι λέγεσθαι, ἐννοεῖς e.
που, ὡς ἐγῷμαι. ΦΑΙ. Σκώπτεις τὸν λόγον ἡμῶν, ὦ Σώκρατες. ΣΩ. Τοῦτον μὲν τοίνυν, ἵνα μὴ σὺ ἄχθῃ, ἐάσω· (καίτοι συχνά γε ἔχειν μοὶ δοκεῖ παραδείγματα πρὸς ἃ τὶς

mus es, o Socrates, ſiquidem me putas ſcripta adeo ſubtiliter poſſe diiudicare. *So.* Sed hoc arbitror te dicturum, oportere orationem omnem tanquam animal quoddam conſtitui, ut ſuum quoddam habeat corpus, quod neque ſine capite ſit, neque pedibus careat, ſed habeat media atque extrema ſibi invicem & toti convenientia. *Phae.* Quidni? *So.* Conſidera, quaeſo, utrum amici tui oratio ſic ſe, an aliter, habeat. reperies, eam nihilo ab eo epigrammate diſcrepare, quod Midae Phrygio inſcriptum nonnulli fuiſſe tradunt. *Phae.* Quid iſtud, & quale? *So.* Audi: *Aenea virgo, Midae regis ſum impoſita ſepulcro, Dumque fluunt fontes, arbos dum celſa vireſcit, Aeternum durans lugubre inſiſto monumentum, Atque Midam viatori narro hic eſſe ſepultum.* Quod vero nihil intereſt, quamlibet eius partem ut primam, vel ut ultimam ponere, ut arbitror, tu ipſe vides. *Phae.* Orationem noſtram mordes, o Socrates. *So.* Hanc ergo, ne nobis ſuccenſeas, dimittamus: quamvis in ea multa reperiri poſſe exempla videantur, qui-

βλέπων, ὀνίναιτ' ἂν μιμεῖσθαι αὐτὰ ἐπιχειρῶν, μὴ πάνυ τι) εἰς δὲ τοὺς ἑτέρους λόγους ἴωμεν. ἦν γάρ τι ἐν αὐτοῖς, ὡς
p. δοκῶ, προσῆκον ἰδεῖν τοῖς βουλομένοις περὶ λόγων σκοπεῖν.
265 a. ΦΑΙ. Τὸ ποῖον δὴ λέγεις; ΣΩ. Ἐναντίω που ἤχην. ὁ μὲν γάρ, ὡς τῷ ἐρῶντι, ὁ δ' ὡς τῷ μὴ, δεῖ χαρίζεσθαι, ἐλεγέτην. ΦΑΙ. Καὶ μάλ' ἀνδρικῶς. ΣΩ. Ὤμην σὲ τἀληθες ἐρεῖν, ὅτι μανικῶς. ὁ μέντοι ἐζήτουν, ἔστιν αὐτὸ τοῦτο. μανίαν γάρ τινα ἐφήσαμεν εἶναι τὸν Ἔρωτα. ἦ γάρ; ΦΑΙ. Ναί. ΣΩ. Μανίας δέ γε εἰδη δύο· τὴν μὲν, ὑπὸ νοσημάτων ἀνθρωπίνων· τὴν δὲ, ὑπὸ θείας ἐξαλλαγῆς τῶν εἰωθότων νομίμων
b. γιγνομένην. ΦΑΙ. Πάνυ γε. ΣΩ. Τῆς δὲ θείας, τεττάρων θεῶν τέτταρα μέρη διελόμενοι· μαντικὴν μὲν ἐπίπνοιαν, Ἀπόλλωνος θέντες, Διονύσου δὲ, τελεστικήν· Μουσῶν δ' αὖ, ποιητικήν· τετάρτην δὲ, Ἀφροδίτης καὶ Ἔρωτος, ἐρωτικὴν μανίαν ἐφήσαμέν τε ἀρίστην εἶναι. καὶ οὐκ οἶδ' ὅπη τὸ ἐρωτικὸν πάθος ἀπεικάζοντες, ἴσως μὲν ἀληθοῦς τινος ἐφαπτό-

bus inſpectis utilitas nobis ex hoc proventura ſit, ne talia imitemur. Verum ad orationes alias deſcendamus. habebant illae quidem nonnihil, ut arbitror, quod a viris dicendi ſtudioſis ſit obſervandum. *Phae.* Quid illud? *So.* Erant utique contrariae. altera ſiquidem amanti, altera non amanti inhaerendum aſſeverabat. *Phae.* Ac ſtrenue quidem. *So.* Quod verius eſt, te reſponſurum putaram, videlicet, Ac furioſe quidem. ceterum, quod quaerebamus, id ipſum eſt. nam furorem quendam Amorem vocavimus. an non? *Phae.* Certe. *So.* Furoris autem duas ſpecies ponimus: alteram, ab humanis morbis: alteram, ex alienatione divina, qua extra conſuetam vitae conſtitutionem quis rapitur. *Phae.* Omnino. *So.* Divinae autem partes quatuor, ut etiam Dii praeſunt quatuor. & vaticinii quidem inſpirationem Apollini: myſteria, Dionyſo: poëticam, Muſis: amatorium furorem, Veneri & Amori omnium optimum tribuimus. Ac neſcio, quo modo, dum amoris affectum per imagines quaſdam effingeremus, veritatem forte aliquam attigimus: forte etiam alio tranſgreſſi ſu-

μενοι· τάχα δ' ἂν καὶ ἄλλοσε παραφερόμενοι, κεράσαντες
οὐ παντάπασιν ἀπίθανον λόγον, μυθικόν τινα ὕμνον προσε- c.
παίσαμεν μετρίως τε καὶ εὐφήμως τὸν ἐμόν τε καὶ σὸν δε-
σπότην Ἔρωτα, ὦ Φαῖδρε, καλῶν παίδων ἔφορον. ΦΑΙ. Καὶ
μάλα ἐμοὶ μὲν οὐκ ἀηδῶς ἀκοῦσαι. ΣΩ. Τόδε τοίνυν αὐτό-
θεν λάβωμεν, ὡς ἀπὸ τοῦ ψέγειν πρὸς τὸ ἐπαινεῖν ἔσχεν ὁ
λόγος μεταβῆναι. ΦΑΙ. Πῶς δὴ οὖν αὐτὸ λέγεις; ΣΩ.
Ἐμοὶ μὲν φαίνεται τὰ μὲν ἄλλα τῷ ὄντι παιδιᾷ πεπαῖσθαι·
τούτων δὲ τινῶν ἐκ τύχης ῥηθέντων δυοῖν εἰδοῖν εἰ αὐτὴν d.
τὴν δύναμιν τέχνῃ λαβεῖν δύναιτό τις, οὐκ ἄχαρι. ΦΑΙ.
Τίνων δή; ΣΩ. Εἰς μίαν τε ἰδέαν συνορῶντα ἄγειν τὰ πολ-
λαχῇ διεσπαρμένα· ἵνα ἕκαστον ὁριζόμενος, δῆλον ποιῇ περὶ
οὗ ἂν αἰεὶ διδάσκειν ἐθέλῃ. ὥσπερ τανῦν δὴ περὶ Ἔρωτος, ὅ
ἐστιν, ὁρισθέν, εἴτ' εὖ εἴτε κακῶς ἐλέχθη. τὸ γοῦν σαφὲς καὶ
τὸ αὐτὸ αὑτῷ ὁμολογούμενον, διὰ ταῦτα ἔσχεν εἰπεῖν ὁ λό-
γος. ΦΑΙ. Τὸ δ' ἕτερον δὴ εἶδος τί λέγεις, ὦ Σώκρατες; e.
ΣΩ. Τὸ πάλιν κατ' εἴδη δύνασθαι διατέμνειν, κατ' ἄρθρα,

mus: ideoque miſcentes orationem non penitus improbabilem, fabuloſum quendam hymnum compoſuimus, & quaſi ludentes meum ac tuum, o Phaedre, dominum Amorem, pulchrorum praeſidem puerorum, modeſte laudavimus. *Phae.* Haec mihi auditu non iniucunda. *So.* Hoc itaque inde accipiamus, quo pacto a vituperatione ad laudes diſputatio pertranſivit. *Phae.* Quonam modo id ais? *So:* Mihi quidem videmur cetera revera luſiſſe: at ſi quis duarum ſpecierum, in quas modo fortuna incidimus, vim arte comprehenderit, opus non ingratum fuerit conſecutus. *Phae.* Quas ſpecies dicis? *So.* Ut in unam ideam conſpiciens, paſſim diſperſa conducat: quo ſingula definiens, manifeſtum reddat ſemper id, quod docere inſtituit: quemadmodum nos in praeſentia, quid Amor ſit, definivimus, ſive bene, ſive male id factum ſit. Certe hinc diſputatio noſtra claritatem in ſe habuit, conſtantemque ſibi ipſi concordiam. *Phae.* Alteram vero ſpeciem quam dicis, o Socrates? *So.* Ut rurſus ſecundum ſpecies ar-

ἢ πέφυκε, καὶ μὴ ἐπιχειρεῖν καταγνύναι μέρος μηδὲν, κακοῦ μαγείρου τρόπῳ χρώμενον· ἀλλα ὥσπερ ἄρτι τῷ λόγῳ τὸ ἄφρον τῆς διανοίας ἕν τι κοινῇ εἶδος ἐλαβέτην. ὥσπερ δὲ σώ-
P. ματος ἐξ ἑνὸς διπλᾶ καὶ ὁμώνυμα πέφυκε, σκιὰ τάδε ἡ δε-
241. a. ξιὰ κληθέντα· οὕτω καὶ τὸ τῆς παρανοίας ὡς ἐν ἡμῖν πεφυκὸς εἶδος ἡγησαμένω τῷ λόγω, ὁ μὲν, τὸ ἐπ' ἀριστερα τεμνόμενος μέρος, πάλιν τοῦτο τέμνων οὐκ ἐπανῆκε, πρὶν ἐν αὐτοῖς ἐφευρὼν ὀνομαζόμενον σκιόν τινα ἔρωτα ἐλοιδόρησε μάλ' ἐν δίκῃ· ὁ δ' εἰς τὰ δεξιὰ τῆς μανίας ἀγαγὼν ἡμᾶς, ὁμώνυμον μὲν ἐκεινῳ, θεῖον δ' αὖ τινα ἔρωτα ἐφευρὼν καὶ
b. προτεινάμενος ἐπήνεσεν, ὡς μεγίστων ἡμῖν αἴτιον ἀγαθῶν. ΦΑΙ. Ἀληθέστατα λέγεις. ΣΩ. Τούτων δὴ ἔγωγε αὐτός τε ἐραστὴς, ὦ Φαῖδρε, τῶν διαιρέσεων, καὶ συναγωγῶν, ἵν' οἷός τε ὦ λέγειν τε καὶ φρονεῖν· ἐάν τε τινὰ ἄλλον ἡγήσωμαι δυνατὸν εἰς ἓν καὶ ἐπὶ πολλὰ πεφυκότα ὁρᾶν, τοῦτον διώκω — κατόπισθε μετ' ἴχνιον ὥστε θεοῦ. καὶ μέντοι καὶ τοὺς

ticulatim pro rerum natura incidat: neque imperiti coqui ritu ulla membra confringat, ſed perinde faciat, ut ſuperiores ſermones fecerunt, qui concitationem mentis unam communem ſpeciem acceperunt. Quemadmodum vero in uno corpore membra gemina eodem nomine nuncupantur, dextrum unum, ſiniſtrum alterum: ſic & concitationis ſpeciem in nobis natura unam ſermones illi exiſtimaverunt. & prior ille quidem partem ſiniſtram dividens, ac rurſus hanc partiens, non prius deſtitit, quam ibi ſiniſtrum quendam reperiret Amorem, inventumque, ut par eſt, improbaret. ſequens alter in dextram furoris partem nos duxit, ubi Amorem, nomine priori ſimilem, ſeu divinum inveniens, & amplificans, laudavit tanquam bonorum nobis cauſam maximorum. *Phae.* Veriſſima loqueris. *So.* Huiuſmodi ego diviſiones collectioneſque, o Phaedre, amo, quo & intelligendi, & loquendi ſim compos. Ac ſi quem alium, unum & multa pro rerum natura perſpicere poſſe arbitror, eius ego veſtigia velut numinis cuiuſdam ſequor. atque eos, qui id facere poſſunt, rectene an

δυναμένους αὐτὸ δρᾶν, εἰ μὲν ὀρθῶς ἢ μὴ προσαγορεύω,
θεὸς οἶδε· καλῶ δὲ οὖν μέχρι τοῦδε διαλεκτικούς. τὰ νῦν δὲ c.
παρὰ σοῦ τε καὶ Λυσίου μαθόντας εἰπὲ τί χρὴ καλεῖν. ἢ
τοῦτο ἐκεῖνό ἐστιν ἡ λόγων τέχνη, ἣν Θρασύμαχός τε καὶ οἱ
ἄλλοι χρώμενοι, σοφοὶ μὲν αὐτοὶ λέγειν γεγόνασιν, ἄλλους
τε ποιοῦσιν, οἳ ἂν δωροφορεῖν αὐτοῖς, ὡς βασιλεῦσιν, ἐθέ-
λωσι; ΦΑΙ. Βασιλικοὶ μὲν ἄνδρες, οὐ μὲν δὴ ἐπιξήμονές γε
ὧν ἐρωτᾷς. Ἀλλὰ τοῦτο μὲν τὸ εἶδος, ὀρθῶς ἔμοιγε δοκεῖς
καλεῖν, διαλεκτικὸν καλῶν· τὸ δὲ ῥητορικὸν δοκεῖ μοι διαφεύ-
γειν ἔθ' ἡμᾶς. ΣΩ. Πῶς φῄς; καλόν που τί ἂν εἴη ὃ τούτων d.
ἀτελεσφόρητον, ὁμως τέχνῃ λαμβάνεται; πάντως δ' οὐκ ἀτι-
μαστέον αὐτὸ σοί τε καὶ ἐμοί. λεκτέον δὲ τί μέντοι καὶ ἔστι τὸ
λειπόμενον τῆς ῥητορικῆς. ΦΑΙ. Καὶ μάλα που συχνά, ὦ
Σώκρατες, τάγ' ἐν τοῖς βιβλίοις τοῖς περὶ λόγων τέχνης γε-
γραμμένοις. ΣΩ. Καὶ καλῶς γε ὑπέμνησας. προοίμιον μὲν
οἶμαι πρῶτον ὡς δεῖ τοῦ λόγου λέγεσθαι ἐν ἀρχῇ ταῦτα λέ-
γεις; ἢ γὰρ τὰ κομψὰ τῆς τέχνης; ΦΑΙ. Ναί. ΣΩ. Δεύ- e.

contra cognominem, Deus ipſe novit. voco autem hactenus Dialecticos. Nunc vero dic, obſecro, quo nomine tua Lyſiaeque ſententia nuncupari oporteat. An haec dicendi ars eſt, qua Thraſymachus aliique uſi, ſapientes & ipſi in dicendo fuerunt, ceteroſque reddiderunt tales, quicunque illis, tanquam regibus, offerre munera volunt? *Phae.* Regii quidem illi viri, non tamen earum rerum periti, de quibus interrogas. *So.* Sed hanc ſpeciem recte ſane Dialecticam appellare videris: rhetorica vero adhuc nos fugit. *Phae.* Quomodo iſtud ais? *So.* Pulchrumne aliquid erit, quod ab iis alienum, arte tamen percipiatur? haudquaquam ſpernendum id tibi mihique eſt, ſed dicendum, quid ſit reliquum in rhetorica. *Phae.* Permulta, o Socrates, in libris, de arte dicendi compoſitis, tradita. *So.* Opportune commemoraſti. Prooemium arbitror primam orationis partem eſſe vocandam. talia quaedam egregia illa ornamenta artis appellas? *Phae.* Sane. *So.* Sequitur ſecundo loco narratio, teſtimoniorumque aſſertio:

τερον δὲ δὴ, διήγησιν τινὰ, μαρτυρίας τε ἐπ' αὐτῇ· τρίτον, τεκμήρια· τέταρτον, εἰκότα· καὶ πίστωσιν οἶμαι καὶ ἐπιπίστωσιν τόνγε βέλτιστον λογοδαίδαλον Βυζάντιον ἄνδρα. ΦΑΙ. Τὸν χρηστὸν λέγεις Θεόδωρον; ΣΩ. Τί μήν; καὶ ἔλεγχόν γε
γ. καὶ ἐπεξέλεγχον ὡς ποιητέον ἐν κατηγορίᾳ τε καὶ ἀπολογίᾳ.
a. τὸν δὲ κάλλιστον Πάριον Εὔηνὸν εἰς μέσον οὐκ ἄγομεν; ὃς ὑποδήλωσίν τε πρῶτος εὗρε καὶ παρεπαίνους; οἱ δ' αὐτὸν καὶ παραψόγους φασὶν ἐν μέτρῳ λέγειν, μνήμης χάριν. σοφὸς γὰρ ἀνήρ. Τισίαν τε Γοργίαν τε ἐάσομεν εὕδειν, οἳ πρὸ τῶν ἀληθῶν τὰ εἰκότα εἶδον ὡς τιμητέα μᾶλλον· τάτε αὖ σμικρὰ, μεγάλα, καὶ τὰ μεγάλα, σμικρὰ φαίνεσθαι ποιοῦσι
b. διὰ ῥώμην λόγου· καινά τ' ἀρχαίως, τά τ' ἐναντία καινῶς· συντομίαν τε λόγων καὶ ἄπειρα μήκη περὶ πάντων ἀνεῦρον. ταῦτα δὲ ἀκούων ποτὲ μοῦ Πρόδικος ἐγέλασε, καὶ μόνος αὐτὸς εὑρηκέναι ἔφη ὧν δεῖ λόγων τέχνῃ. δεῖν δὲ οὔτε μακρῶν οὔτε βραχέων, ἀλλὰ μετρίων. ΦΑΙ. Σοφώτατά γε, ὦ Πρό-

tertio, coniecturae: quarto, verisimilia: probationem quoque & approbationem, ut arbitror, optimus orationum faber Byzantius vir induxit. *Phae.* Eximium dicis Theodorum? *So.* Equidem. hic etiam invenit, quo pacto in accusatione & defensione fieri, & geminari redargutio possit. Egregium virum autem Evenum Parium cur in medium non adducimus? qui subdeclarationes primus invenit, collaudationes praeterea. nec desunt, qui dicant, vituperationes huiusmodi quasdam carminibus memoriae gratia illum inserere. vir enim sapiens est. Lysiam vero Gorgiamque dormire sinemus, qui verisimilia veris anteposuerunt, ac vi orationis efficiunt, ut parva esse magna, & magna vicissim parva, vetera item nova, & novissima vetera videantur. Brevitatem quoque loquendi concisam, rursusque infinitam verborum prolixitatem adinvenerunt. Quae cum olim ex me audiret Prodicus, risit, seque solum inveniisse asseruit, quibus verbis ars illa indigeat. egere autem neque paucis, neque multis, sed mediocribus. *Phae.* Sapientissime respondisti, Prodice. *So.* Hippiam vero nequa-

δ.κε. ΣΩ. Ἱππίαν δὲ οὐ λέγομεν; οἶμαι γὰρ ἂν σύμψηφον αὐτῷ καὶ τὸν Ἠλεῖον ξένον γενέσθαι. ΦΑΙ. Τί δ' οὔ; ΣΩ. Τὰ δὲ Πώλου πῶς φράσομεν αὖ μουσεῖα λόγων; ὃς διπλα- c.
σιολογίαν, καὶ γνωμολογίαν, καὶ εἰκονολογίαν, ὀνομάτων τε Λικυμνίων ἃ ἐκείνῳ ἐδωρήσατο πρὸς ποίησιν εὐεπείας; ΦΑΙ. Πρωταγόρεια δὲ, ὦ Σώκρατες, οὐκ ἦν μέντοι τοιαῦτ' ἄττα; ΣΩ. Ὀρθοέπεια γέ τις, ὦ παῖ, καὶ ἄλλα πολλὰ καὶ καλά· τῶν γε μὴν οἰκτρογόων ἐπὶ γῆρας καὶ πενίαν ἑλκομένων λόγων κεκρατηκέναι τέχνῃ μοὶ φαίνεται τὸ τοῦ Χαλκηδονίου σθένος. ὀργίσαι τε αὖ πολλοὺς ἅμα δεινὸς ἀνὴρ γεγονε, καὶ πάλιν ὠργισμένους ἐπᾴδων κηλεῖν, ὡς ἔφη· δια- d.
βάλλειν τε καὶ ἀπολύσασθαι διαβολὰς ὅθεν δὴ κράτιστος. τὸ δὲ δὴ τέλος τῶν λόγων κοινῇ πᾶσιν ἔοικε συνδεδογμένον εἶναι· ᾧ τινες μὲν ἐπάνοδον, ἄλλοι δὲ ἄλλο τίθενται ὄνομα. ΦΑΙ. Τὸ ἐν κεφαλαίῳ ἑκάστα λέγεις ὑπομνῆσαι ἐπὶ τελευτῆς τοὺς ἀκούοντας περὶ τῶν εἰρημένων. ΣΩ. Ταῦτα λέγω, καὶ εἴτι σὺ ἄλλο ἔχεις εἰπεῖν λόγων τέχνης πέρι. ΦΑΙ. Σμικρά γε,

quam commemoramus. arbitror enim, cum ipſo Elienſem quoque hoſpitem conſentire. *Phae.* Cur non? *So.* Quid porro de muſica Poli concinnitate dicemus? qui geminationem verborum, inſignes ſententias, comparationes, ſimilitudineſque invexit, nominumque uſum ad orationis ſplendorem, prout a Licymnione didicit. *Phae.* Protagorae autem ſcripta nonne talia quaedam erant, o Socrates? *So.* Recta ſane ac propria, o puer, Protagorae elocutio, & multa in ſtilo praeclara. In commiſerationibus autem, a ſenectute & paupertate commovendis, Chalcedonius orator excelluit: in ira item concitanda & ſedanda potens, quaſi incantatione, ut inquit, mulceret: in conficiendis ſolvendiſque calumniis, unde opus fuerit, ſummus. De fine autem orationis omnes convenire videntur: ſed hunc alii ἐπάνοδον, id eſt, repetitionem, alii aliter nominant. *Phae.* Finem dicis ſummatim, ſupra dicta omnia in orationis calce in memoriam auditoribus revocare? *So.* Haec inquam, & ſi quid tu aliud habes, quod de hac arte

καὶ οὐκ ἄξια λέγειν. ΣΩ. Ἐῶμεν δὴ τά γε σμικρά· ταῦτα
p. δὲ ὑπ' αὐγὰς μᾶλλον ἴδωμεν τίνα καὶ ποτ' ἔχει τὴν τῆς
268 τέχνης δυναμιν. ΦΑΙ. Καὶ μάλα ἐρῳμένην, ὦ Σώκρατες,
a. ἔν γε δὴ πλήθους συνόδοις. ΣΩ. Ἔχει γάρ. ἀλλ', ὦ δαι-
μόνιε, ἴδε καὶ σὺ εἰ ἄρα καί σοι φαίνεται διαγνὸς αὐτῶν
τὸ ἠτρίον, ὥσπερ ἐμοί. ΦΑΙ. Δείκνυε μόνον. ΣΩ. Εἰπὲ δή
μοι· εἴτις προσελθὼν τῷ ἑταίρῳ σου Ἐρυξιμάχῳ, ἢ τῷ πα-
τρὶ αὐτοῦ Ἀκουμενῷ, εἴποι ὅτι ἐγω ἐπίσαμαι τοιαῦτ' ἄττα
b. σώματι προσφέρειν, ὥστε θερμαίνειν τε ἐὰν βούλωμαι καὶ
ψύχειν· καὶ ἐὰν μὲν δόξῃ μοι, ἐμεῖν ποιεῖν· ἐὰν δ' αὖ, κάτω
διαχωρεῖν, καὶ ἄλλα πάμπολλα τοιαῦτα· καὶ ἐπιστάμενος
αὐτὰ, ἀξιῶ ἰατρὸς εἶναι, καὶ ἄλλον ποιεῖν ᾧ ἂν τὴν τούτων
ἐπιστήμην παραδῶ· τί ἂν οἴει ἀκούσαντας εἰπεῖν; ΦΑΙ. Τί δ'
ἄλλό γε ἢ ἐρεσθαι εἰ προσεπίσταται καὶ οὕστινας δεῖ, καὶ ὁπό-
τε ἕκαστα τούτων ποιεῖν, καὶ μέχρις ὁπόσου; ΣΩ. Εἰ οὖν εἴ-
ποι ὅτι, Οὐδαμῶς· ἀλλ' ἀξιῶ τὸν ταῦτα παρ' ἐμοῦ μαθόν-

dicas. *Phae.* Exigua quidem habeo, neque memoratu digna. *So.* Mittamus exigua: ſed haec in lucem potius educamus, ut, quam & quando artis vim habeant, videre poſſimus. *Phae.* Et maximam quidem, o Socrates, in hominum coetibus potentiam habent. *So.* Habent profecto. ſed, o beate, tu etiam vide, utrum tibi horum veſtis, quemadmodum mihi, rara diſſutaque videatur. *Phae.* Oſtende modo. *So.* Dic age; ſi quis amico tuo Eryximacho, vel patri eius Acumeno dicat in hunc modum: Ego quidem illa ſcio corpori admovere, quibus & caleſcat pro arbitrio meo, & frigeat, vomitum quoque, rurſuſque deiectionem, & expurgationes alias provocare, ceteraque huiuſmodi multa teneo, quibus cognitis, & medicum me eſſe profiteor, & alium quemlibet medicum me facere poſſe: quid illos reſponſuros exiſtimas? *Phae.* Quidnam aliud, quam percontaturos, numquid etiam ſciat, quibus, quando, quouſque ſingula horum ſint adhibenda? *So.* Ergo ſi dicat, nullo modo ſe id intelligere, ſed oportere eum, qui ab ipſo didicerit, talia quaedam facere poſſe: quid

τα, αὐτὸν οἴεσθ' εἶναι ποιεῖν ἃ ἐρωτᾷς; ΦΑΙ. Εἴποι ἄν, οἶ- c.
μαι, ὅτι μαίνεται ἄνθρωπος, καὶ ἐκ βιβλίου ποθὲν ἀκούσας,
ἢ περιτυχὼν φαρμακείοις, ἰατρὸς εἶεται γεγονέναι, οὐδὲν
ἑταῖον τῆς τέχνης. ΣΩ. Τί δ' εἰ Σοφοκλεῖ αὖ προσελθὼν καὶ
Εὐριπίδῃ τις λέγοι, ὡς ἐπίσαται περὶ σμικροῦ πράγματος
ῥήσεις παμμήκεις εἰπεῖν, καὶ περὶ μεγάλου πάνυ σμικράς;
ὅταν τε βούληται, οἰκτρὰς, καὶ τοὐναντίον, καὶ αὖ φοβερὰς
καὶ ἀπειλητικάς· ὅσά τ' ἄλλα τοιαῦτα; καὶ διδάσκων αὐτὰ, d.
τραγῳδικὴν ποίησιν οἴεται παραδιδόναι; ΦΑΙ. Καὶ οὗτοι ἄν,
ὦ Σώκρατες, οἶμαι, καταγελῷεν, εἴτις οἴεται τραγῳδίαν ἄλ-
λό τι εἶναι ἢ τὴν τούτων σύσασιν, πρέπουσαν ἀλλήλοις τε
καὶ τῷ ὅλῳ, συνισαμένην. ΣΩ. Ἀλλ' οὐκ ἂν ἀγροίκως γε,
οἶμαι, λοιδορήσειαν· ἀλλ' ὥσπερ ἂν μουσικὸς ἑντυχὼν ἀνδρὶ
οἰομένῳ ἁρμονικῷ εἶναι, ὅτι δὴ τυγχάνει ἐπισάμενος ὡς οἵου-
τε ὀξυτάτην καὶ βαρυτάτην χορδὴν ποιεῖν, οὐκ ἀγρίως εἴποι
ἄν, Ὦ μοχθηρὲ, μελαγχολᾷς, ἀλλ' ἅτε μουσικὸς ὢν, πρᾳό- e.
τερον, ὅτι Ὦ ἄριστε, ἀνάγκη μὲν καὶ ταῦτ' ἐπίστασθαι τὸν

respondebunt? *Phae.* Certe huiuſmodi hominem inſanire, qui, cum ex aliquo medicorum libro audiverit quandoque aliquid, & in medelas nonnullas inciderit, neque quidquam artis intelligat, medicum evaſiſſe ſe putat. *So.* Quid vero, ſi ad Sophoclem & Euripidem diceret quis, ſcire ſe parva de re prolixam orationem habere, & contra de magna breviſſimam, &, quoties velit, miſericordiam movere, atque eius contrarium, horrorem, & minas incutere, ceteraque ſimilia, atque his docendis tragicam poëſin ſe docere putaret? *Phae.* Et hi, o Socrates, ut opinor, illum riderent, qui tragoediam aliud quidquam putaret eſſe, quam horum compoſitionem, & partibus invicem, & toti convenientem. *So.* Non tamen ruſtice, ut arbitror, increparent, ſed facerent perinde ac muſicus aliquis, offendens hominem, credentem ſe muſicum eſſe, ex eo quod ſciat, quo pacto fides tum graviſſimae reddantur, tum acutiſſimae. hic enim non acerbe quidem diceret, O miſer, inſanis: ſed, utpote muſicus, ſic mitius admo-

μέλλοντα ἁρμονικὸν ἔσεσθαι, οὐδὲν μὴν κωλύει οὐδὲ σμικρὸν ἁρμονίας ἐπαίειν τὸν τὴν σὴν ἕξιν ἔχοντα. τὰ γὰρ πρὸ ἁρμονίας ἀναγκαῖα μαθήματα ἐπίστασαι, ἀλλ' οὐ τὰ ἁρμονικά.
p. ΦΑΙ. Ὀρθότατά γε. ΣΩ. Οὐκοῦν καὶ ὁ Σοφοκλῆς τὸν σοφὸν ἐπιδεικνύμενον τὰ πρὸ τραγῳδίας ἂν φαίη, ἀλλ' οὐ τὰ
269 a. τραγικά· καὶ ὁ Ἀκουμενὸς, τὰ πρὸ ἰατρικῆς, ἀλλ' οὐ τὰ ἰατρικά. ΦΑΙ. Παντάπασι μὲν οὖν. ΣΩ. Τί δέ; τὸν μελίγηρυν Ἄδραστον οἰόμεθα, ἢ καὶ Περικλέα, εἰ ἀκούσειαν ὧν νῦν ἡμεῖς διΐμεν τῶν παγκάλων τεχνημάτων, βραχυλογιῶν τε καὶ εἰκονολογιῶν, καὶ ὅσα ἄλλα διελθόντες, ὑπ' αὐγὰς ἐφάμεν εἶναι σκεπτέα· πότερον χαλεπῶς ἂν αὐτοὺς, ὥσπερ ἐγώ
b. τε καὶ σὺ, ὑπ' ἀγροικίας, ῥῆμά τι εἰπεῖν ἀπαίδευτον εἰς τοὺς ταῦτα γεγραφότας τε καὶ διδάσκοντας, ὡς ῥητορικὴν τέχνην; ἢ, ἅτε ἡμῶν ὄντας σοφωτέρους, κἂν νῷν ἐπιπλῆξαι; εἰπόντας, Ὦ Φαῖδρέ τε καὶ Σώκρατες, οὐ χρὴ χαλεπαίνειν, ἀλλὰ συγγινώσκειν εἴ τινες μὴ ἐπιστάμενοι διαλέγεσθαι, ἀδύνατοι ἐγένοντο ὁρίσασθαι τί ποτέ ἐστιν ἡ ῥητορική.

neret, O vir optime, neceſſe eſt omnino haec illum tenere, qui futurus ſit muſicus. nihil autem prohibet, eum, qui ſic affectus eſt, ut tu, de harmonia nihil penitus intelligere. nempe quae ante harmoniam neceſſaria ſunt, agnoſcis: harmoniam prorſus ignoras. *Phae.* Rectiſſime. *So.* Sic & Sophocles illum ſibi obvium, quae tragoediam antecedunt potius, quam tragoediam, habere diceret: & Acumenus medicus, medicinae praecedentia, non medicinam. *Phae.* Ita prorſus. *So.* Quid vero, ſi mellifluus Adraſtus, aut Pericles, audirent, quae nunc ipſi referebamus egregia verborum artificia, breviloquia, ſimilitudines, & reliqua illa, quae in lucem producta conſideranda iudicabamus: numquid cenſemus, illos, quemadmodum nos, prae ruſticitate aſperrime illis ſuccenſuros, qui talia ſcripſerint docuerintque, tanquam rhetoricam facultatem? an potius, utpote nobis ſapientiores, nos ita increpaturos: O Phaedre atque Socrates, non ſuccenſendum eſt, ſed ignoſcendum, ſi qui differendi ignari, definire quid rhetorica ſit non

ἐκ δὲ τούτου τοῦ πάθους, τὰ πρὸ τῆς τέχνης ἀναγκαῖα μα- a
θήματα ἔχοντες, ῥητορικὴν ᾠήθησαν εὑρηκέναι· καὶ ταῦτα
δὴ διδάσκοντες ἄλλους, ἡγοῦνται σφίσι τελέως ῥητορικὴν δε- c.
διδάχθαι· τὸ δὲ ἕκαστα τούτων πιθανῶς λέγειν τε, καὶ τὸ
ὅλον συνίστασθαι, οὐδὲν ἔργον αὐτοὺς δεῖν παρ' ἑαυτῶν τοὺς
μαθητὰς σφῶν πορίζεσθαι ἐν τοῖς λόγοις. ΦΑΙ. Ἀλλὰ μήν,
ὦ Σώκρατες, κινδυνεύει γε τοιοῦτόν τι εἶναι τὸ τῆς τέχνης
ἣν οὗτοι οἱ ἄνδρες, ὡς ῥητορικήν, διδάσκουσί τε καὶ γράφουσι·
καὶ ἔμοιγε δοκεῖς ἀληθῆ εἰρηκέναι. ἀλλὰ δὴ τὴν τοῦ τῷ ὄντι
ῥητορικοῦ τε καὶ πιθανοῦ τέχνην, πῶς καὶ πόθεν ἄν τις δύ- d.
ναιτο περίσασθαι; ΣΩ. Τὸ μὲν δύνασθαι, ὦ Φαῖδρε, ὥστε
ἀγωνιστὴν τέλεον γενέσθαι, εἰκὸς, ἴσως δὲ καὶ ἀναγκαῖον,
ἔχειν ὥσπερ τἄλλα. εἰ μέν σοι ὑπάρχει φύσει ῥητορικῷ εἶναι,
ἔσῃ ῥήτωρ ἐλλόγιμος, προσλαβὼν ἐπιστήμην τε καὶ μελέτην·
ὅτου δ' ἂν ἐλλίπῃς τούτων, ταύτῃ ἀτελὴς ἔσῃ. ὅσον δὲ αὐτοῦ
τέχνη, οὐχ ἧ Λυσίας καὶ Θρασύμαχος πορεύεται δοκεῖ μοι
φαίνεσθαι ἡ μέθοδος. ΦΑΙ. Ἀλλὰ πῇ δή; ΣΩ. Κινδυνεύει, e.

possint: atque ita affecti, dum artem antecedentia possident rudimenta, rhetoricam inveniisse se iactent, & ea docentes, oratoriam artem absolutam tradere profiteantur: singula vero istorum ad persuasionem disponere, totamque orationem contexere, quasi in his praeceptore opus non sit, oportere discipulos suos propria industria comparare. *Phae.* Talis profecto, o Socrates, ars illa videtur esse, quam isti tanquam rhetoricam docent, & scribunt. ac mihi videris vera dixisse. Verum oratoris persuasoriisque veri artem quonam pacto, & unde nobis vindicare poterimus? *So.* Consentaneum est, o Phaedre, forte etiam necessarium, quemadmodum in ceteris, ita & in hoc certamine peragendo perfectum esse. quippe si tibi natura, ut sis orator, tribuerit, accedente doctrina & exercitatione excellens eris orator: si quid vero tibi horum defuerit, mancus eris. Quanta vero ars eiusmodi sit, non ea via, quam Gorgias & Thrasymachus secuti sunt, sed alia potius, constare videtur. *Phae.* Quanam maxime? *So.* Vide-

a ὦ ἄριστε, εἰκότως ὁ Περικλῆς πάντων τελεώτατος εἰς τὴν ῥητορικὴν γενέσθαι. ΦΑΙ. Τί δή; ΣΩ. Πᾶσαι ὅσαι μεγάλαι
p. τῶν τεχνῶν, προσδέονται ἀδολεσχίας καὶ μετεωρολογίας
270 φύσεως πέρι. τὸ γὰρ ὑψηλόνουν τοῦτο καὶ τὸ πάντη τελε-
a. σιουργικὸν ἔοικεν ἐντεῦθεν ποθὲν εἰσιέναι· ὃ καὶ Περικλῆς πρὸς τῷ εὐφυὴς εἶναι ἐκτήσατο. προσπεσὼν γάρ, οἶμαι, τοιούτῳ ὄντι Ἀναξαγόρᾳ, μετεωρολογίας ἐμπλησθεὶς, καὶ ἐπὶ φύσιν νοῦ τε καὶ ἀνοίας ἀφικόμενος (ὧν δὴ πέρι τὸν πολὺν λόγον ἐποιεῖτο Ἀναξαγόρας) ἐντεῦθεν εἵλκυσεν ἐπὶ τὴν τῶν λόγων τέχνην τὸ πρόσφορον αὐτῇ. ΦΑΙ. Πῶς τοῦτο λέγεις; ΣΩ.
b. Ὁ αὐτός που τρόπος τέχνης ῥητορικῆς, ὅσπερ καὶ ἰατρικῆς. ΦΑΙ. Πῶς δή; ΣΩ. Ἐν ἀμφοτέραις δεῖ διελέσθαι φύσιν, σώματος μὲν, ἐν τῇ ἑτέρᾳ· ψυχῆς δὲ, ἐν τῇ ἑτέρᾳ· εἰ μέλλεις μὴ τριβῇ μόνον καὶ ἐμπειρίᾳ, ἀλλὰ τέχνῃ, τῷ μὲν φάρμακα καὶ τροφὴν προσφέρων, ὑγίειαν καὶ ῥώμην ἐμποιήσειν· τῇ δὲ, λόγους τε καὶ ἐπιτηδεύσεις νομίμους, πείθω ἣν ἂν βούλῃ καὶ ἀρετὴν παραδώσειν. ΦΑΙ. Τὸ γοῦν εἰκὸς, ὦ

tur, o vir optime, non iniuria Pericles oratorum omnium perfectiſſimus exſtitiſſe. *Phae.* Cur? *So.* Magnae quaelibet artes exercitatione dialectica, contemplationeque ſublimium in natura rerum indigent. ipſa enim mentis ſublimitas, & vis efficax in quavis re perficienda, hinc quodammodo proficiſci videntur: quod Pericles ad ingenii acumen adiunxit. Anaxagorae namque, huiuſmodi rerum indagatoris, familiaritate fretus, contemplationi ſe tradidit, mentiſque & dementiae naturam illam comprehendit, de qua Anaxagoras diffuſe diſſeruit. unde ad dicendi artem, quod ipſi conducere videbatur, traduxit. *Phae.* Quomodo id ais? *So.* Medendi artis atque dicendi eadem ferme ratio eſt. *Phae.* Quonam pacto? *So.* In utriſque partiri naturam oportet, corporis quidem in una, in altera animae: ſi modo non exercitatione ſolum & uſu, verum etiam arte, corpori medicinas & alimenta ita ſis praebiturus, ut & ſanum & robuſtum efficias; animae autem per rationes legitimaſque inſtitutiones perſuaſionem affa-

Σώκρατες, οὕτω. ΣΩ. Ψυχῆς οὖν φύσιν ἀξίως λόγου κατα- c.
νοῆσαι οἴει δυνατὸν εἶναι ἄνευ τῆς τοῦ ὅλου φύσεως; ΦΑΙ.
Εἰ μὲν Ἱπποκράτει τε τῷ τῶν Ἀσκληπιαδῶν δεῖ τι πειθε-
σθαι, οὐδὲ περὶ σώματος ἄνευ τῆς μεθόδου ταύτης. ΣΩ.
Καλῶς γὰρ, ὦ ἑταῖρε, λέγει. χρὴ μέντοι, πρὸς τῷ Ἱπο-
κράτει τὸν λόγον ἐξετάζοντα, σκοπεῖν εἰ συμφωνεῖ. ΦΑΙ.
Φημί. ΣΩ. Τὸ τοίνυν περὶ φύσεως σκέπει τί ποτε λέγει Ἱπ-
ποκράτης τε καὶ ὁ ἀληθὴς λόγος. ἆρ' οὐχ ὧδε χρὴ διανοεῖ- d.
σθαι περὶ ἑτουοῦν φύσεως; πρῶτον μὲν, ἁπλοῦν ἢ πολυειδές
ἐστιν, οὗ πέρι βουλησόμεθα εἶναι αὐτοὶ τεχνικοὶ, καὶ ἄλλους
δυνατοὶ ποιεῖν, ἔπειτα δὲ, ἐὰν μὲν ἁπλοῦν ᾖ, σκοπεῖν τὴν
δύναμιν αὐτοῦ, τίνα πρός τι πέφυκεν εἰς τὸ δρᾶν ἔχον, ἢ
τίνα εἰς τὸ παθεῖν ὑπό του; ἐὰν δὲ πλείω εἴδη ἔχῃ, ταῦτα
ἀριθμησάμενος, ὅπερ ἐφ' ἑνὸς, τοῦτ' ἰδεῖν ἐφ' ἑκάστου, τὸ, τί
ποιεῖν αὐτὸ πέφυκεν, ἢ τὸ τί παθεῖν ὑπό του; ΦΑΙ. Κιν-
δυνεύει, ὦ Σώκρατες. ΣΩ. Ἦ γοῦν ἄνευ τούτων μέθοδος e.
ἐοίκοι ἂν ὥσπερ τυφλοῦ πορεία. ἀλλ' οὐ μὴν ἀπεικαστέον τόν

tim virtutemque adhibiturus. *Phae.* Ita verisimile est, o Socrates. *So.* Animae vero naturam absque totius natura sufficienter cognosci posse existimas? *Phae.* Si Hippocrati, Aesculapii successori, credendum est, neque etiam corporis naturam sine doctrina huiusmodi comprehendi posse putabimus. *So.* Scite loquitur, o amice. oportet autem praeter Hippocratem considerare, utrum disputationis nobis ratio consonet. *Phae.* Assentior. *So.* De naturae igitur perscrutatione quid Hippocrates, & vera ratio dicat, attende. An non ita cuiusque natura cogitanda est? primo quidem, utrum simplex illud sit, an multiplex, de quo & ipsi habere artem, & aliis dare posse desideramus: deinde, si est simplex, facultas eius investiganda est, quam, & ad quid agendo, rursusque quam, & a quo patiendo natura vim habeat. Quod si species habet multas, his dinumeratis in singulis similiter ac in uno, naturalis & agendi & patiendi vis inquirenda. *Phae.* Sic appareret, o Socrates. *So.* Sine his vero progressio, tanquam caeci

γε τέχνῃ μετιόντα ἐτοῦν τυφλῷ οὐδὲ κωφῷ· ἀλλὰ δῆλον ὡς ἄν τῳ τὶς τέχνῃ λόγους διδῷ, τὴν οὐσίαν δείξει ἀκριβῶς τῆς φύσεως τούτου πρὸς ὃ τοὺς λόγους προσοίσει· ἔσται δέ που ψυχὴ τοῦτο. ΦΑΙ. Τί μήν; ΣΩ. Οὐκοῦν ἡ ἅμιλλα αὐτῷ τέ-
p. ταται πρὸς τοῦτο πᾶσα; πειθὼ γὰρ ἐν τούτῳ ποιεῖν ἐπι-
271 χειρεῖ. ἦ γάρ; ΦΑΙ. Ναί. ΣΩ. Δῆλον ἄρα ὅτι ὁ Θρασύμαχός τε καὶ ὃς ἂν ἄλλος σπουδῇ τέχνην ῥητορικὴν διδῷ, πρῶτον πάσῃ ἀκριβείᾳ γράψει τε καὶ ποίησει ψυχὴν ἰδεῖν πότερον ἓν καὶ ὅμοιον πέφυκεν ἢ κατὰ σώματος μορφὴν πολυειδές. τοῦτο γὰρ φαμὲν φύσιν εἶναι δεικνύναι. ΦΑΙ. Παντάπασι μὲν οὖν. ΣΩ. Δεύτερον δέ γε, ὅτῳ τὶ ποιεῖν ἢ παθεῖν
b. ὑπό του πέφυκε. ΦΑΙ. Τί μήν; ΣΩ. Τρίτον δὲ δή, διαταξάμενος τὰ λόγων τε καὶ ψυχῆς γένη, καὶ τὰ τούτων παθήματα, δίεισι πάσας αἰτίας, προσαρμόττων ἕκαστον ἑκάστῳ, καὶ διδάσκων οἷα οὖσα ὑφ' οἵων λόγων, δι' ἣν αἰτίαν, ἐξ ἀνάγκης ἡ μὲν πείθεται, ἡ δὲ ἀπειθεῖ. ΦΑΙ. Κάλλιστα γοῦν

iter esse videtur. non tamen caeco vel surdo, qui arte tractat aliquid, est comparandus: sed patet, quod quisquis arte alicui sermones accommodat, substantiam naturae illius exquisite monstrabit, cui sermones adhibet: id autem est anima. *Phae.* Absque dubio. *So.* Nonne ad id studium illius omne contendit, ut huic penitus persuadeat? *Phae.* Prorsus. *So.* Constat igitur, quod Thrasymachus, & quicunque alius tradendae incumbit rhetoricae, primo quidem summa diligentia describere declarareque debebit, utrum anima naturaliter unum, & quiddam simile sit, an secundum formam corporis multiplex. hoc enim esse dicimus, naturam ostendere. *Phae.* Omnino. *So.* Secundo, quid facere cuique, quidve a quoque pati queat, ostendere. *Phae.* Certe. *So.* Tertio, distinctis sermonum animaeque generibus atque affectibus, causas omnes percurrere, singula singulis accommodans, docensque, qualis anima, qualibus sermonibus, quamve ob causam necessario haec quidem ad credendum movetur, illa vero nequaquam. *Phae.* Praeclarissimum, ut videtur, hoc esset. *So.* Neque igi-

ἂν, ὡς ἔοικ', ἔχοι οὕτως. ΣΩ. Οὕτοι μὲν οὖν, ὦ φίλε, ἄλλως ἐνδεικνύμενον ἢ λεγόμενον, τέχνῃ ποτὲ γραφήσεται ἢ λεχθήσεται οὐτέ τι ἄλλο, οὔτε τοῦτο. ἀλλ' οἱ νῦν γράφοντες, ὧν σὺ ἀκήκοας, τέχνας λόγων, πανοῦργοί εἰσι καὶ ἀποκρύπτονται, εἰδότες ψυχῆς πέρι παγκάλως. πρὶν ἂν οὖν τὸν τρόπον τοῦτον λέγωσι τε καὶ γράφωσι, μὴ πειθώμεθ' αὐτοῖς τέχνῃ γράφειν. ΦΑΙ. Τίνα τοῦτον; ΣΩ. Αὐτὰ μὲν τὰ ῥήματα εἰπεῖν οὐκ εὐπετές· ὡς δὲ δεῖ γράφειν, εἰ μέλλει τεχνικῶς ἔχειν καθόσον ἐνδέχεται, λέγειν ἐθέλω. ΦΑΙ. Λέγε δή. ΣΩ. Ἐπειδὴ λόγου δύναμις τυγχάνει ψυχαγωγία οὖσα, τὸν μέλλοντα ῥητορικὸν ἔσεσθαι ἀνάγκη εἰδέναι ψυχὴ ὅσα εἴδη ἔχει. ἔστιν οὖν τόσα καὶ τόσα, καὶ τοῖα καὶ τοῖα· ὅθεν οἱ μέν, τοιοίδε, οἱ δὲ, τοιοίδε γίγνονται. τούτων δὲ οὕτω διῃρημένων, λόγων αὖ τόσα καὶ τόσα ἐστὶν εἴδη, τοιόνδε ἕκαστον. οἱ μὲν οὖν τοιοίδε, ὑπὸ τῶν τοιῶνδε λόγων διὰ τήνδε τὴν αἰτίαν εἰς τὰ τοιάδε εὐπειθεῖς· οἱ δὲ τοιοίδε, διὰ τάδε δυσπειθεῖς. δεῖ δή, ταῦτα ἱκανῶς νοήσαντα, μετὰ ταῦτα

c.

d.

tur hoc, o amice, neque aliud quidquam, si aliter tractetur, artificiole unquam tractabitur. Nostri vero in hac arte scriptores, quos ipse audisti, callidi sunt, &, animae naturam pulcherrime cognoscentes, nos celant. Nos vero, priusquam hoc modo loquantur, & scribant, nunquam ex arte eos scribere confitebimur. *Phae.* Quem dicis modum? *So.* Verba quidem ipsa non facile dixerim. quo autem modo scribere oporteat, si arte scripturi simus, quoad fieri potest, exponam. *Phae.* Dic, obsecro. *So.* Postquam dicendi facultas, quaedam animi tractio & oblectatio est: futurum oratorem necesse est, quot species animus habet, cognoscere. hae vero tot talesque sunt, unde tales alii, alii tales efficiuntur. His ita distinctis, sermonum quoque tot talesque sunt species. Tales igitur animi, talibus quibusdam sermonibus certa quadam de causa ad talia quaedam facile persuadentur: aliter vero affecti, aliquam ob causam minime. Oportet itaque eum, qui haec satis perspexerit, postea in ipsis negotiis animad-

θεώμενον αὐτὰ ἐν ταῖς πράξεσιν ὄντα τε καὶ πραττόμενα,
e. ὀξέως τῇ αἰσθήσει δυνασθαι ἑπακολουθεῖν· ἢ μηδὲ εἰδέναι
πω πλέον αὐτῶν ὧν τότε ἤκουε λόγων ξυνών. ὅταν δὲ εἰπεῖν
τε ἱκανῶς ἔχῃ, οἷος ὑφ' οἵων πείθεται, παραγινόμενόν τε δυ-
νατὸς ᾖ διαισθανόμενος, ἑαυτῷ ἐνδεικνυσθαι ὅτι οὔτός ἐς-
p. καὶ αὕτη ἡ φύσις περὶ ἧς τότε ἦσαν οἱ λόγοι, νῦν ἔργῳ παρ-
272 οὖσα, ᾗ προσοιστέον τοῦσδε ὧδε τοὺς λόγους, ἐπὶ τὴν τῶνδε
a. πειθώ. ταῦτα δὲ ἤδη πάντα ἔχοντι, προσλαβόντι καιροὺς
τοῦ πότε λεκτέον καὶ ἐπισχετέον, βραχυλογίας τε αὖ καὶ
ἐλεεινολογίας καὶ δεινώσεως, ἑκάστων τε ὃς ἂν εἴδῃ μάθῃ λό-
γων, τούτων τὴν εὐκαιρίαν τε καὶ ἀκαιρίαν διαγνόντι, κα-
λῶς τε καὶ τελέως ἔστιν ἡ τέχνη ἀπειργασμένη, πρότερον δ'
b. οὔ· ἀλλ' ὅ, τι ἄν τις αὐτῶν ἐλλείπῃ λέγων, ἢ διδάσκων, ἢ
γράφων, φῇ δὲ τέχνῃ λέγειν, ὁ μὴ πειθόμενος κρατεῖ. τί δὴ
οὖν; (φήσει ἴσως ὁ συγγραφεὺς) ὦ Φαῖδρέ τε καὶ Σώκρα-
τες, δοκεῖ οὕτως ἢ ἄλλως πως ἀποδεκτέον λεγομένης λόγων
τέχνης; ΦΑΙ. Ἀδύνατόν που, ὦ Σώκρατες, ἄλλως· καίτοι

versa deprehensaque momento posse signare, & sensus consequi: alioquin nondum quidquam plus, quam verba sibi quondam a doctoribus tradita, habet. At cum sufficienter potest dicere, quis quibus sermonibus persuadeatur, praesentemque hominem acute persentit eo ingenio praeditum esse, de quo antea fuerit disputatum, sicque ipsum esse talibus sermonibus ad talia compellendum: is ita instructus tunc demum perfecte artem hanc erit consecutus, cum ad superiora haec adiunxerit, ut opportunitatem loquendi tacendique calleat, & usum abusumve breviloquii, commiserationis, vehementiae acrioris, amplificationisque, ceterarumque partium orationis, a praeceptoribus traditarum, recte cognoscat: antea vero nequaquam. Eum vero, qui horum quocunque caruerit dicendo, aut docendo, aut scribendo, dixeritque ex arte verba se facere, qui non persuadetur, exsuperat. Ceterum scriptor ita forsitan nos compellabit: O Phaedre atque Socrates, itane prorsus, an aliter, dicendi artem capessendam

οὐ σμικρόν γε φαίνεται ἔργον. ΣΩ. Ἀληθῆ λέγεις. τούτου τοι εἵνεκα χρὴ, πάντας τοὺς λόγους ἄνω καὶ κάτω μεταστρέφοντα, ἐπισκοπεῖν εἴτις πη ῥᾴων καὶ βραχυτέρα φαίνεται c. ἐπ' αὐτὴν ὁδός· ἵνα μὴ μάτην πολλὴν ἀπίῃ καὶ τραχεῖαν, ἐξὸν ὀλίγην τε καὶ λείαν. ἀλλ' εἴ τινά πη βοήθειαν ἔχεις, ἐπακηκοὰς Λυσίου ἢ τινος ἄλλου, πειρῶ λέγειν, ἀναμιμνησκόμενος. ΦΑΙ. Εἰκὸς μὲν πείρας ἔχοιμ' ἄν, ἀλλ' οὐτι νῦν γ' οὕτως ἔχω. ΣΩ. Βούλει οὖν ἐγὼ τιν' εἶπω λόγον ὃν περὶ ταὐτὰ τινῶν ἀκήκοα; ΦΑΙ. Τί μήν; ΣΩ. Λέγεται γοῦν, ὦ Φαῖδρε, δίκαιον εἶναι καὶ τὸ τοῦ λύκου εἰπεῖν. ΦΑΙ. Καὶ d σὺ γε οὕτω ποίει. ΣΩ. Φασὶ τοίνυν οὐδὲν οὕτω ταῦτα δεῖν σεμνύνειν, οὐδ' ἀνάγειν ἄνω μακρὰν περιβαλλομένους. παντάπασι γὰρ, ὃ καὶ κατ' ἀρχὰς εἴπομεν τοῦδε τοῦ λόγου, ὅτι οὐδὲν ἀληθείας μετέχειν δέοι δικαίων ἢ ἀγαθῶν πέρι πραγμάτων, ἢ καὶ ἀνθρώπων γε τοιούτων φύσει ὄντων ἢ τροφῇ, τὸν μέλλοντα ἱκανῶς ῥητορικὸν ἔσεσθαι. τοπαράπαν γὰρ

esse censetis? *Phae.* Impossibile est, o Socrates, aliter: quamvis non parvum id opus appareat. *So.* Vera loqueris: atque horum causa oportet, omnibus sursum deorsumque sermonibus revolutis, perquirere, numquid via ad illam ulla facilior breviorque occurrat, ne temere per longam & asperam pererremus, cum liceat per brevem & planam incedere. Quare si quam tu opem afferre potes per ea, quae a Lysia, vel aliquo alio accepisti, revoca in memoriam, & expone. *Phae.* Experiundi causa possem quidem, non tamen ad praesens. *So.* Visne ego tibi & sermonem recenseam, quem aliquando de huiusmodi rebus audivi? *Phae.* Quidni? *So.* Aiunt igitur, o Phaedre, iustum esse, etiam quod de lupo dicitur, narrare. *Phae.* Ac tu ita facias. *So.* Aiunt itaque, nihil opus esse haec adeo extollere ac magnificare: neque ab alto nimisque procul disputationem repetere. quippe, sicut disputationis principio diximus, oratorem futurum non oportere veritatem nosse de iustis, & bonis, sive rebus, sive hominibus, natura vel educatione talibus. nam in iudiciis nulli prorsus ho-

e. οὐδὲν ἐν τοῖς δικαστηρίοις τούτων ἀληθείας μέλειν οὐδενί, ἀλλὰ τοῦ πιθανοῦ. τοῦτο δ' εἶναι τὸ εἰκός· ᾧ δεῖν προσέχειν τὸν μέλλοντα τέχνῃ ἐρεῖν. οὐδὲ γὰρ αὖ τὰ πραχθέντα δεῖν λέγειν ἐνίοτε, ἐὰν μὴ εἰκότως ᾖ πεπραγμένα· ἀλλὰ τὰ εἰκότα, ἔν τε κατηγορίᾳ καὶ ἀπολογίᾳ· καὶ πάντως λέγοντα, τὸ δὴ εἰκὸς διωκτέον εἶναι, πολλὰ εἰπόντα χαίρειν τῷ ἀληθεῖ. τοῦτο γὰρ διὰ παντὸς τοῦ λόγου γιγνόμενον, τὴν ἅπασαν τέχνην πορίζειν. ΦΑΙ. Αὐτά γε, ὦ Σώκρατες, διελήλυθας ἃ λέγουσιν οἱ περὶ τοὺς λόγους τεχνικοὶ προσποιούμενοι εἶναι. ἀνεμνήσθην γὰρ ὅτι ἐν τῷ πρόσθεν βραχέως τοῦ τοιούτου ἐφηψάμεθα. δοκεῖ δὲ τοῦτο πάμμεγα εἶναι τοῖς περὶ ταῦτα. ΣΩ. Ἀλλὰ μὴν τόνγε Τισίαν αὐτὸν πεπάτηκας ἀκριβῶς. εἰπέτω τοίνυν καὶ τόδε ἡμῖν ὁ Τισίας, μήτι ἄλλο
p. 273 a. λέγει τὸ εἰκὸς, ἢ τὸ τῷ πλήθει δοκοῦν. ΦΑΙ. Τί γὰρ ἄλλο; ΣΩ. Τοῦτο δή, ὡς ἔοικε, σοφὸν εὑρὼν ἅμα καὶ τεχνικὸν ἔγραψεν, ὡς ἐάν τις ἀσθενὴς καὶ ἀνδρικὸς ἰσχυρὸν καὶ δειλὸν συγκόψας, ἱμάτιον ἤ τι ἄλλο ἀφελόμενος, εἰς δικαστή-

rum veritatem unquam, ſed perſuaſionem, curae eſſe ſolere. Id autem eſſe veriſimile, ad quod mentem intendere debeat, qui ſit arte dicturus. neque facta dicenda eſſe aliquando, niſi probabile ſit, facta fuiſſe; ſed tam in accuſatione, quam defenſione, ſemper veriſimilia inducenda: & omnino dicentem, veriſimile quidem perſequi, multa vero dicentem, verum negligere. hoc enim ſi in omni oratione ſervetur, perfectam artem oratoriam exhiberi. *Phae.* Ea narraſti, o Socrates, quae dicunt, qui artem rhetoricam profitentur. memini enim, id nos in ſuperioribus breviter attigiſſe. videtur autem hoc magnum quiddam eſſe his, qui in hac arte verſantur. ſed & Tiſiam ipſum graviter peſſumdediſti. *So.* Dicat ergo id quoque nobis Tiſias, numquid aliud probabile & veriſimile nuncupet, quam quod vulgo videtur. *Phae.* Quidnam aliud? *So.* Hoc praeterea ſcitum & artificioſum inveniſſe & ſcripſiſſe videtur, quod ſi quis imbecillis & audax, cum robuſtum quendam timidumque verberibus caeſum ſpoliaverit,

ριον ἄγηται, δεῖ δὴ τἀληθὲς μηδέτερον λέγειν· ἀλλὰ τὸν μὲν δειλὸν μὴ ὑπὸ μόνου φάναι τοῦ ἀνδρικοῦ συγκεκόφθαι· τὸν δὲ τοῦτο μὲν ἐλέγχειν, ὡς μόνω ἤςην· ἐκείνῳ δὲ καταχρήσασθαι, τῷ, πῶς δ' ἂν ἐγὼ τοιόσδε τοιῷδε ἐπεχείρησα; ὁ δ' c.
οὐκ ἐρεῖ δὴ τὴν ἑαυτοῦ κάκην· ἀλλά τι ἄλλο ψεύδεσθαι ἐπιχειρῶν, τάχ' ἂν ἔλεγχόν πη παραδῴη τῷ ἀντιδικῳ. καὶ περὶ τἄλλα δὴ τοιαῦτ' ἄττα ἐςὶ τὰ τέχνῃ λεγόμενα. οὐ γὰρ, ὦ Φαῖδρε; ΦΑΙ. Τί μήν; ΣΩ. Φεῦ, δεινός γ' ἔοικεν ἀποκεκρυμμένην τέχνην ἀνευρεῖν ὁ Τισίας, ἢ ἄλλος ὅστις δή ποτ' ὢν τυγχάνει, καὶ ὁπόθεν χαίρει ὀνομαζόμενος. ἀτὰρ, ὦ ἑταῖρε, τούτῳ ἡμεῖς πότερον λέγωμεν, ἢ μή. ΦΑΙ. Τὸ d.
ποῖον; ΣΩ. Ὅτι, ὦ Τισία, πάλαι ἡμεῖς, πρὶν καί σε παρελθεῖν, τυγχάνομεν λέγοντες ὡς ἄρα τοῦτο τὸ εἰκὸς τοῖς πολλοῖς δι' ὁμοιότητα τοῦ ἀληθοῦς τυγχάνει ἐγγιγνόμενον· τὰς δὲ ὁμοιότητας ἄρτι διήλθομεν ὅτι πανταχοῦ ὁ τὴν ἀλήθειαν εἰδὼς κάλλιςα ἐπίςαται εὑρίσκειν. ὥστε εἰ μὲν ἄλλό τι περὶ τέχνης λόγων λέγεις, ἀκούοιμεν ἄν· εἰ δὲ μὴ, οἷς νῦν διήλ-

in iudicium deducatur, neutrum horum verum confiteri oportet: ſed timidum quidem dicere, non a ſolo audace illo eſſe ſe caeſum: audacem vero hoc refellere, ſolos fuiſſe monſtrantem, atque ad tale quiddam confugere: Quonam pacto, imbecillis cum ſim, robuſtum hunc invaſiſſem? Ille autem timiditatem ſuam non dicet, ſed falſum aliquid excogitans, forte adverſarium arguet. Atque in aliis etiam talia quaedam ſunt, quae arte dicuntur. an non ſic eſt, o Phaedre? *Phae.* Ita prorſus. *So.* O quam callide abſtruſam artem adinveniſſe videtur Tiſias, vel quicunque alius fuerit, vel quocunque alio cognomine delectetur. Sed numquid hoc, o amice, dicemus, an non? *Phae.* Quid iſtud? *So.* O Tiſia, iampridem, antequam accederes, affirmabamus, probabile iſtud & veriſimile vulgo non aliter, quam per veritatis ſimilitudinem, fieri. ſimilitudines autem veri, ab eo, qui veritatem novit, aptiſſime ubique reperiri poſſe aſſerebamus. Quapropter, ſi aliud quidquam de hac arte dixeris, auſcultabimus quidem: ſin

ϑομεν πειτόμεϑα· ὡς ἐὰν μή τις τῶν τε ἀκουσομένων τὰς
c. ψυσεις διαριϑμήσηται, καὶ κατ' εἴδη τε διαιρεῖσϑαι τὰ ὄντα
καὶ μιᾷ ἰδέᾳ δυνατὸς ᾖ καϑ' ἓν ἕκαστον περιλαμβάνειν, οὐ-
ποτ' ἔσαι τεχνικὸς λόγων πέρι, καϑ' ὅσον δυνατὸν ἀνϑρώπῳ.
ταῦτα δὲ οὐ μήποτε κτήσηται ἄνευ πολλῆς πραγματειας·
ἣν οὐχ ἕνεκα τοῦ λέγειν καὶ πράττειν πρὸς ἀνϑρώπους δεῖ
διαπονεῖσϑαι τὸν σώφρονα, ἀλλὰ τοῦ ϑεοῖς κεχαρισμένα
μὲν λέγειν δύνασϑαι, κεχαρισμένως δὲ πράττειν τὸ πᾶν εἰς
δύναμιν. οὐ γὰρ δὴ ἄρα, ὦ Τισία, φασὶν οἱ σοφώτεροι ἡμῶν,
p. μὴ ὁμοδούλοις δεῖ χαρίζεσϑαι μελετᾷν τὸν νοῦν ἔχοντα,
274 a. ὅτι μὴ πάρεργον, ἀλλὰ δεσπόταις ἀγαϑοῖς τε καὶ ἐξ ἀγα-
ϑῶν. ὥστ' εἰ μακρὰ ἡ περίοδος, μὴ ϑαυμάσῃς. μεγάλων γὰρ
ἕνεκα περιϊτέον, οὐχ ὡς σὺ δοκεῖς. ἔσαι μὴν, ὡς ὁ λόγος
φησὶν, ἐάν τις ἐϑέλῃ, καὶ ταῦτα κάλλιστα ἐξ ἐκείνων γι-
γνόμενα. ΦΑΙ. Παγκάλως ἔμοιγε δοκεῖ λέγεσϑαι, ὦ Σώ-
κρατες, εἴπερ οἷός γέ τις εἴη. ΣΩ. Ἀλλὰ καὶ ἐπιχειροῦντί
b. τοι τοῖς καλοῖς, καλὸν καὶ πάσχειν ὅ, τι ἄν τῳ ξυμβῇ πα-

minus, his, quae paulo ante diximus, fidem praeſtabimus, quod videlicet, niſi auditorum quis ingenia noverit diſtinxeritque, atque res ipſas in ſpecies ſuas diſcreverit, rurſuſque ſingula idea una comprehenderit, nunquam dicendi artem, quoad homini licet, adipiſcetur. hoc autem ſine longo ſtudio aſſequetur nunquam. In quo non ideo inſudabit vir prudens, ut dicere & agere ad homines poſſit, ſed ut ea potius pro facultate & loqui & facere, quae Diis grata ſint, valeat. Viri enim nobis ſapientiores, o Tiſia, virum mentis compotem aiunt non id meditari debere, ut conſervis ſuis, niſi prout contigerit, obſequatur; ſed ut dominis bonis, atque ex bonis, obtemperet. Quamobrem ſi longior ſit circuitus, ne mireris. non enim ut ipſe putas, ſed magnarum rerum gratia, circumeundum. erunt autem, ut ratio dictat, ſi quis voluerit, haec pulcherrime ex illis effecta. *Phae.* Perpulchre admodum dici hoc videtur, o Socrates: modo aliquis aſſequi poſſit. *So.* At praeclarum eſt, ad praeclara ſemper anniti, &, quidquid con-

θεῖν. ΦΑΙ. Καὶ μάλα. ΣΩ. Οὐκοῦν τὸ μὲν τέχνης τε καὶ ἀτεχνίας λόγων πέρι, ἱκανῶς ἐχέτω. ΦΑΙ. Τί μήν; ΣΩ. Τὸ δ' εὐπρεπείας δὴ γραφῆς πέρι καὶ ἀπρεπείας, πῇ γιγνόμενον, καλῶς ἂν ἔχοι, καὶ ὅπη ἀπρεπῶς, λοιπόν. ἦ γάρ; ΦΑΙ. Ναι. ΣΩ. Οἶσθ' οὖν ὅπη μάλιστα θεῷ χαριῇ λόγων πέρι πράττων ἢ λέγων; ΦΑΙ. Οὐδαμῶς. σὺ δέ; ΣΩ. Ἀκοὴν γ' ἔχω λέγειν τῶν προτέρων· τὸ δ' ἀληθὲς αὐτοὶ ἴσασιν. εἰ δὲ τοῦτο εὑρίσκειν αὐτοί, ἆρά γ' ἂν ἔτ' ἡμῖν μέλοι τι τῶν ἀνθρωπίνων δοξασμάτων; ΦΑΙ. Γελοῖον ἤρου· ἀλλ' ἃ φῂς ἀκηκοέναι, λέγε. ΣΩ. Ἤκουσα τοίνυν, περὶ Ναύκρατιν τῆς Αἰγύπτου γενέσθαι τῶν ἐκεῖ παλαιῶν τινα θεῶν, οὗ καὶ τὸ ὄρνεον τὸ ἱερὸν ὃ δὴ καλοῦσιν Ἶβιν· αὐτῷ δὲ ὄνομα τῷ δαίμονι εἶναι Θεύθ. τοῦτον δὲ, πρῶτον ἀριθμόν τε καὶ λογισμὸν εὑρεῖν, καὶ γεωμετρίαν καὶ ἀστρονομίαν, ἔτι δὲ πεττείας τε καὶ κυβείας, καὶ δὴ καὶ γράμματα. βασιλέως δ' αὖ τότε ὄντος Αἰγύπτου ὅλης Θαμοῦ περὶ τὴν μεγάλην πόλιν τοῦ ἄνω τόπου, ὃν οἱ Ἕλληνες Αἰγυπτίας Θήβας καλοῦσι, καὶ

tigerit, tolerare. *Phae.* Valde. *So.* De arte hactenus & inscitia orationis sit dictum. *Phae.* Satis profecto. *So.* Reliquum est, ut scribendo quid deceat, quid dedeceat, dicamus. *Phae.* Plane. *So.* Scisne, quo pacto maxime de sermonibus dicendo, vel agendo, Deo placere potes? *Phae.* Minime. tu vero? *So.* Audivi equidem nonnulla a veteribus tradita: verum autem ipsi intelligunt. id vero si nos inveniremus, numquid humanarum deinceps nobis opinationum cura nulla futura sit? *Phae.* Ridicula sane interrogatio: sed, quae audisse dicis, recense. *So.* Audivi equidem, circa Naucratim Aegypti priscorum quendam fuisse Deorum, cui dicata sit avis, quam Ibin vocant: daemoni autem ipsi nomen Theuth. hunc primum omnium numerum & numeri computationem invenisse, geometriamque, & astronomiam: talorum rursus alearumque ludos, & literas. Erat tunc totius Aegypti rex Thamus, & in eminentissima amplissimaque civitate, quas Graeci Aegyptias Thebas appellant: Deumque ipsum Ammonem vocant.

τὸν Διὸς Ἄμμωνα. παρὰ τοῦτον ἐλθὼν ὁ Θεὺθ' τὰς τέχνας
ἐπέδειξε, καὶ ἔφη δεῖν διαδοθῆναι τοῖς ἄλλοις Αἰγυπτιοις. ὁ
δὲ ἤρετο ἥντινα ἑκάστη ἔχει ὠφέλειαν. διεξιόντος δὲ, ὅ, τι
καλῶς ἢ μὴ καλῶς δοκεῖ λέγειν, τὸ μὲν ἔψεγε, τὸ δ' ἐπῄνει.
c. πολλὰ μὲν δὴ περὶ ἑκάστης τῆς τέχνης ἐπ' ἀμφότερα Θαμοῦν
τῷ Θεῦθ λέγεται ἀποφήνασθαι, ἃ λόγος πολὺς ἂν εἴη διελ-
θεῖν· ἐπειδὴ δὲ ἐπὶ τοῖς γράμμασιν ἦν, Τοῦτο δὲ, ὦ βασι-
λεῦ, τὸ μάθημα, ἔφη ὁ Θεῦθ, σοφωτέρους Αἰγυπτίους καὶ
μνημονικωτέρους παρέξει. μνήμης τε γὰρ καὶ σοφίας φάρ-
μακον εὑρέθη. ὁ δ' εἶπεν, Ὦ τεχνικώτατε Θεῦθ, ἄλλος μὲν
τεκεῖν δυνατὸς τὰ τῆς τέχνης, ἄλλος δὲ κρῖναι τίν' ἔχει
μοῖραν βλάβης τε καὶ ὠφελείας τοῖς μέλλουσι χρῆσθαι. καὶ
P. νῦν σὺ πατὴρ ὢν γραμμάτων, δι' εὔνοιαν τοὐναντίον εἶπες ἢ
275 a. δύναται. τοῦτο γὰρ τῶν μαθόντων λήθην μὲν ἐν ψυχαῖς
παρέξει, μνήμης ἀμελετησίᾳ, ἅτε διὰ πίστιν γραφῆς ἔξωθεν
ὑπ' ἀλλοτρίων τύπων, οὐκ ἔνδοθεν αὐτοὺς ὑφ' αὑτῶν ἀναμι-

Ad hunc Theuth profectus, artes demonſtravit ſuas, dixitque, eas diſtribui deinceps Aegyptiis ceteris oportere. Verum ille, quae cuiuſque utilitas foret, interrogavit: &, ipſo referente, quod bene dictum videbatur, probabat quidem; quod contra, vituperabat. ubi multa de qualibet arte in utramque partem Thamus fertur Theuthi oſtendiſſe, quorum ſingula ſi enarrare pergamus, prolixior erit oratio. Cum vero ad literas deſcendiſſent, Diſciplina haec, inquit Theuth, o rex, ſapientiores & memoria promtiore Aegyptios faciet. memoriae namque & ſapientiae remedium id eſt inventum. At ille, O artificioſiſſime Theuth, inquit, alius quidem ad artis opera fabricanda idoneus eſt, alius ad iudicandum promtior, quid emolumenti damnive ſint utentibus allatura. atqui & tu literarum pater, propter benevolentiam contrarium, quam efficere valeant, affirmaſti. nam illarum uſus, propter recordationis negligentiam, oblivionem in animo diſcentium pariet: quippe qui, externis literarum confiſi monumentis, res ipſas intus animo non revolvent. quamobrem non memo-

μνησκομένους. οὔκουν μνήμης ἀλλ' ὑπομνήσεως φάρμακον εὗρες. σοφίας δὲ τοῖς μαθηταῖς δόξαν οὐκ ἀλήθειαν πορίζεις. πολυήκοοι γάρ σοι γενόμενοι ἄνευ διδαχῆς, πολυγνώμονες εἶναι δόξουσιν· ἀγνώμονες, ὡς ἐπὶ τὸ πλῆθος, ὄντες, b. καὶ χαλεποὶ ξυνεῖναι· δοξόσοφοι γεγονότες ἀντὶ σοφῶν. ΦΑΙ. Ὦ Σώκρατες, ῥᾳδίως σὺ Αἰγυπτίους τε καὶ ὁποδαποὺς ἂν ἐθέλῃς λόγους ποιεῖς. ΣΩ. Οἱ δέ γ', ὦ φίλε, ἐν τῷ τοῦ Διὸς τοῦ Δωδωναίου ἱερῷ, δρυὸς λόγους ἔφασαν μαντικοὺς πρώτους γενέσθαι. τοῖς μὲν οὖν τότε, ἅτε οὐκ οὖσι σοφοῖς, ὥσπερ ὑμεῖς οἱ νέοι, ἀπέχρη δρυὸς καὶ πέτρας ἀκούειν ὑπ' εὐηθείας, εἰ μόνον ἀληθῆ λέγοιεν· σοὶ δ' ἴσως διαφέρει τίς ὁ c. λέγων καὶ ποδαπός. οὐ γὰρ ἐκεῖνο μόνον σκοπεῖς, εἴτε οὕτως εἴτε ἄλλως ἔχει. ΦΑΙ. Ὀρθῶς ἐπέπληξας. καί μοι δοκεῖ περὶ γραμμάτων ἔχειν ἥπερ ὁ Θηβαῖος λέγει. ΣΩ. Οὐκοῦν ὁ τέχνην οἰόμενος ἐν γράμμασι καταλιπεῖν, καὶ αὖ ὁ παραδεχόμενος, ὡς τι σαφὲς καὶ βέβαιον ἐκ γραμμάτων ἐσόμενον, πολλῆς ἂν εὐηθείας γέμοι· καὶ τῷ ὄντι τὴν Ἀμ-

riae, ſed monitionis, remedium inveniſti. ſapientiae quoque opinionem potius, quam veritatem, diſcipulis tradis. nam cum multa abſque praeceptoris doctrina perlegerint, multarum rerum periti vulgo, cum ignari ſint, videbuntur. conſuetudine quoque moleſtiores erunt, utpote qui non ſapientia ipſa ſint praediti, ſed opinione ſapientiae ſubornati. *Phae.* Facile tu, o Socrates, Aegyptios, & alios cuiuſvis gentis ſermones facis. *So.* At, o amice, qui in Iovis Dodonaei templo verſantur, ex quercu ſermones primos fatidicos erupiſſe aſſerunt. priſcis itaque illis, utpote qui non ita, ut vos recentiores, ſapientes erant, ſatis erat ob eorum inſcitiam petras & quercus audire, modo vera promerent. tu forſitan intereſſe cenſes, quiſnam cuiaſve ſit, qui dixerit. non enim id ſolum conſideras, verane an falſa dicantur. *Phae.* Recte admodum increpuiſti, ac mihi videtur ita in literis evenire, ut Thebanus ait. *So.* Igitur quicunque ſe putat ſic artem aut mandare literis, aut mandatam ſuſcipere, ut certum quiddam &

μωνος μαντειαν ἀγνοεῖ, πλέον τι οἰόμενος εἶναι λόγους γε-
d. γραμμένους τοῦ τὸν εἰδότα ὑπομνῆσαι περὶ ὧν ἂν ᾖ τα γε-
γραμμένα. ΦΑΙ. Ὀρθότατα. ΣΩ. Δεινον γάρ που, ὦ Φαῖ-
δρε, τοῦτ' ἔχει γραφή, καὶ ὡς ἀληθῶς ὅμοιον ζωγραφίᾳ.
καὶ γὰρ τὰ ἐκείνης ἔκγονα ἕστηκεν μὲν ὡς ζῶντα· ἐὰν δ'
ἀνέρῃ τι, σεμνῶς πάνυ σιγᾷ. ταυτὸν δὲ καὶ οἱ λόγοι· δόξαις
μὲν ἂν ὥς τι φρονοῦντας αὐτοὺς λέγειν· ἐὰν δέ τι ἔρῃ τῶν
λεγομένων, βουλόμενος μαθεῖν, ἕν τι σημαίνει μόνον ταυ-
e. τὸν ἀεί. ὅταν δὲ ἅπαξ γραφῇ, κυλινδεῖται μὲν πανταχοῦ
πᾶς λόγος ὁμοίως παρὰ τοῖς ἐπαΐουσιν, ὡς δ' αὕτως παρ'
οἷς οὐδὲν προσήκει· καὶ οὐκ ἐπίσταται λέγειν οἷς δεῖ γε καὶ
μή. πλημμελούμενος δὲ καὶ οὐκ ἐν δίκῃ λοιδορηθεὶς, τοῦ
πατρὸς ἀεὶ δεῖται βοηθοῦ. αὐτὸς γὰρ οὔτ' ἀμύνασθαι οὔτε
βοηθῆσαι δυνατὸς αὑτῷ. ΦΑΙ. Καὶ ταῦτά σοι ὀρθότατα εἴ-
p. ρηται. ΣΩ. Τί δ'; ἄλλον ὁρῶμεν λόγον τούτου ἀδελφὸν
276 γνήσιον, τῷ τρόπῳ γίγνεται, καὶ ὅσῳ ἀμείνων καὶ δυνα-
a.

firmum ex literis ſit futurum, admodum ineptus eſt, ac revera Ammonis vaticinium prorſus ignorat, cum plus aliquid in ſcriptis eſſe credat, praeter id quod ſcienti res ipſas, quae in literis ſignificantur, commemorant. *Phae.* Rectiſſime. *So.* Grave id habet, o Phaedre, ſcriptura, & picturae revera perſimile. picturae namque opera tanquam viventia exſtant: ſi quid vero rogaveris, verecunde admodum ſilent. Non aliter ſermones putabis fortaſſe quaſi aliquid ipſos intelligentes dicere. verum ſi ſciendi avidus ab iis dictorum aliquid ſciſcitaberis, idem in his ſemper & unum ſignificatur: omniſque ſermo, cum ſemel ſcriptus eſt, paſſim revolvitur aeque apud intelligentes, atque alios, inter quos minime decet: neſcitque dicere, quibus oportet, & quibus non oportet. Iniuria vero immerito contumeliaque affectus, patris ſemper eget praeſidio. ipſe enim neque adverſario repugnare, neque opem ferre ſibi ipſi poteſt. *Phae.* Haec quoque recte abs te dicta videntur. *So.* Quid porro? alium videmus ſermonem huius fratrem, quemadmodum legitimus ſit, & quanto melior atque poten-

τάτερος τούτου φύεται; ΦΑΙ. Τίνα τοῦτον, καὶ πῶς λέγεις γιγνόμενον; ΣΩ. Ὃς μετ' ἐπιστήμης γράφεται ἐν τῇ τοῦ μανθάνοντος ψυχῇ, δυνατὸς μὲν ἀμῦναι ἑαυτῷ, ἐπιστήμων δὲ λέγειν τε καὶ σιγᾶν πρὸς οὓς δεῖ. ΦΑΙ. Τὸν τοῦ εἰδότος λόγον λέγεις ζῶντα καὶ ἔμψυχον· οὗ ὁ γεγραμμένος εἴδωλον ἂν τι λέγοιτο δικαίως. ΣΩ. Παντάπασι μὲν οὖν. τόδε δή μοι εἰπέ· ὁ νοῦν ἔχων γεωργὸς, ὧν σπερμάτων κήδοιτο, καὶ ἧ καρπα βουλοιτο γενέσθαι, πότερα σπουδῇ ἂν θέρους εἰς Ἀδωνιδος κήπους ἀρᾶν χαίροι, θεωρῶν καλοὺς ἐν ἡμέραισιν ὀκτὼ γιγνομένους; ἢ ταῦτα, μὲν δὴ παιδιᾶς τε καὶ ἑορτῆς χάριν δρῴη ἄν, ὅτε καὶ ποιοῖ· ἐφ' οἷς δὲ ἐσπούδακε, τῇ γεωργικῇ ἂν χρώμενος ἂν τέχνῃ, σπείρας εἰς τὸ προσῆκον, ἀγαπῴη ἂν ἐν ὀγδόῳ μηνὶ ὅσα ἔσπειρε τέλος λαβόντα; ΦΑΙ. Οὕτω που, ὦ Σώκρατες, τὰ μὲν, σπουδῇ, τὰ δὲ, ὡς ἑτέρως ἂν, ἢ λέγεις, ποιοῖ. ΣΩ. Τὸν δὲ δικαίων τε καὶ καλῶν καὶ ἀγαθῶν ἐπιστήμας ἔχοντα, τοῦ γεωργοῦ φῶμεν ἧττω νοῦν ἔχειν εἰς τὰ ἑαυτοῦ σπέρματα; ΦΑΙ. Ἥκιστά

b.

c.

tior, quam is, naſcatur? *Phae.* Quem iſtum? & quomodo fieri dicis? *So.* Eum, inquam, qui in animo diſcentis cum ſcientia ſcribitur, quia ſibi ipſi auxiliari poteſt, intelligitque apud quos loquendum ſit, apud quos tacendum. *Phae.* Scientis ſermonem dicis viventem, & animatum, cuius oratio ſcripta ſimulacrum quoddam non iniuria nuncupabitur. *So.* Omnino. ſed hoc quoque mihi dicas. Mentis compos agricola numquid cariſſima ſibi ſemina, quorum fructus exſpectat, aeſtate in Adonidis hortis ſummo ſtudio & diligentia ſparget, gaudebitque ſpectare eos intra dies octo iam pulchros effectos? an potius, ſi quando id egerit, feſti cuiuſdam diei ludique gratia faciet? at ubi ſerio agens agriculturae ſtudium adhibuerit, ſeret quidem, ubi convenit, & ſatis ſe conſecutum putabit, ſi octo menſium intervallo ſatio ſua ad fruges pervenerit? *Phae.* Ita prorſus, o Socrates, illa quidem ioco, ut ais, haec autem ſerio faciet. *So.* Hominem vero, iuſtorum, honeſtorum, bonorumque ſcientiam poſſiden-

γε. ΣΩ. Οὐκ ἄρα σπουδῇ αὐτὰ ἐν ὕδατι γράψει, μέλανι σπείρων διὰ καλάμου μετὰ λόγων· ἀδυνατῶν μὲν αὐτοῖς λόγῳ βοηθεῖν, ἀδυνατῶν δὲ ἱκανῶς τἀληθῆ διδάξαι. ΦΑΙ. Οὔκουν δὴ τό γ' εἰκός. ΣΩ. Οὐ γάρ· ἀλλὰ τοὺς μὲν ἐν
d. γράμμασι κήπους, ὡς ἔοικε, παιδιᾶς χάριν σπερεῖ τε καὶ γράψει· ὅταν δὲ γράφῃ, ἑαυτῷ τε ὑπομνήματα θησαυριζόμενος, εἰς τὸ λήθης γῆρας ἐὰν ἵκηται, καὶ παντὶ τῷ ταυτὸν ἴχνος μετιόντι, ἡσθήσεταί τε αὐτοὺς θεωρῶν φυομένους ἁπαλούς· ὅταν δὲ ἄλλοι παιδιαῖς ἄλλαις χρῶνται, συμποσίοις τε ἄρδοντες αὐτούς, ἑτέροις τε ὅσα τούτων ἀδελφά, τότ' ἐκεῖνος, ὡς ἔοικεν ἀντὶ τούτων οἷς λέγων παίζων διάξει.
e. ΦΑΙ. Παγκάλην λέγεις παρὰ φαύλην παιδιάν, ὦ Σώκρατες, τοῦ ἐν λόγοις δυναμένου παίζειν, δικαιοσύνης τε καὶ ἄλλων ὧν λέγεις πέρι μυθολογοῦντα. ΣΩ. Ἔστι γάρ, ὦ φίλε Φαῖδρε, οὕτω. πολὺ δ', οἶμαι, καλλίων σπουδὴ περὶ αὐτὰ γίγνεται, ὅταν τὶς τῇ διαλεκτικῇ τέχνῃ χρώμενος,

tem, agricola imperitiorem ad ſemina ſua ſpargenda putabimus? *Phae.* Minime omnium. *So.* Non igitur in aqua nigra ſtudioſe ipſa calamo cum ſermonibus ſeminabit, cum ſuccurrere illis periclitantibus nequeat, nequeat & ex ipſis veritatem ſufficienter oſtendere. *Phae.* Certe id non eſt conſentaneum. *So.* Non ſane. Ceterum hortos quidem literarum, ut ludi cauſa, ut videtur, ſeret atque deſcribet: & poſtquam ſcripſerit tanquam monumenta theſauroſque ad ſenectutis futurae oblivionem, tam ſibi, quam ceteris veſtigiorum eorundem ſectatoribus, laetabitur utique, natos iam tenellos ſuos fructus inſpiciens: ceteriſque hominibus ludos alios ſequentibus, & convivia horumque ſimilia celebrantibus, ipſe interim, his omiſſis, in ſermonum oblectamentis vitam ducet. *Phae.* Praeclariſſimum prae aliorum viliſſimo narras, o Socrates, eius ludum, qui poteſt in ſermonibus ludere, ac de iuſtitia, & aliis, quae tu dicis, confabulari. *So.* Eſt ita profecto, amice Phaedre. ſed multo mea ſententia in his praeclarius ſtudium, quando quis arte dialectica utens, animam na-

λαβὼν ψυχὴν προσήκουσαν, φυτεύῃ τε καὶ σπείρῃ μετ' ἐπιστήμης λόγους οἳ ἑαυτοῖς τῷ τε φυτεύσαντι βοηθεῖν ἱκανοί τε καὶ οὐχὶ ἄκαρποι, ἀλλὰ ἔχοντες σπέρμα. ὅθεν ἄλλοι ἐν ἄλλοις ἤθεσι φυόμενοι τοῦτ' ἀεὶ ἀθάνατον παρέχειν ἱκανοί, καὶ τὸν ἔχοντα εὐδαιμονεῖν ποιοῦντες εἰς ὅσον ἀνθρώπῳ δυνατὸν μάλιστα. ΦΑΙ. Πολὺ γὰρ τοῦτ' ἔτι κάλλιον λέγεις. ΣΩ. Νῦν δὴ ἐκεῖνα ἤδη, ὦ Φαῖδρε, δυνάμεθα κρίνειν, τούτων ὁμολογημένων. ΦΑΙ. Τὰ ποῖα; ΣΩ. Ὧν δὴ πέρι βουληθέντες ἰδεῖν ἀφικόμεθα εἰς τόδε· ὅπως τὸ Λυσίου τε ὄνειδος ἐξετάσαιμεν τῆς τῶν λόγων γραφῆς πέρι, καὶ αὐτοὺς τοὺς λόγους οἳ τέχνῃ καὶ ἄνευ τέχνης γράφοιντο. τὸ μὲν οὖν ἔντεχνον, καὶ μὴ, δοκεῖ μοι δεδηλῶσθαι μετρίως. ΦΑΙ. Ἔδοξέ γε δή. ΣΩ. Πάλιν δὲ ὑπόμνησόν με πῶς, πρὶν ἂν τις τό, τε ἀληθὲς ἑκάστων εἰδῇ περὶ ὧν λέγει, ἢ γράφει, κατ' αὐτό γε πᾶν ὁρίζεσθαι δυνατὸς γένηται, ὁρισάμενός τε, πάλιν κατ' εἴδη μέχρι τοῦ ἀτμήτου τέμνειν ἐπιστῇ· περί τε

p. 277 a.

b.

ctus idoneam, ſermones cum ſcientia plantat, & ſeminat, qui & ſibi ipſis, & ſatori ſuo afferre opem poſſunt, fructuſve producunt, & ſemina reddunt. Unde alii, in moribus aliis nati, id ſemper munus immortale ſervare poſſunt, atque eum, qui haec habet, beatiſſimum, quoad homini licet, efficiunt. *Phae.* Multo id quoque praeclarius. *So.* Nunc iam illa, o Phaedre, his conceſſis, diſcernere poſſumus. *Phae.* Quaenam? *So.* Ea videlicet, quorum cognoſcendorum gratia hucuſque deſcendimus, ut vituperationem Lyſiae diſcuteremus in ipſa ſcribendi arte, ſermoneſque ipſos, qui vel arte, vel ſine arte ſcribuntur. artificioſum quidem, & artis expers, ſatis iam declaraſſe videmur. *Phae.* Sic apparet. *So.* Meminiſſe rurſus oportet, non prius poſſe aliquem dicendi artem ad ſummum callere, ad perſuadendum atque docendum, ut ratio ſuperior nobis oſtendit, quam veritatem earum rerum, quas dicit aut ſcribit, cognoverit, univerſamque rem definire, &, definitione poſita, rurſus ſecundum ſpecies uſque ad individua dividere noverit: atque hac ratione animam con-

ψυχῆς φύσεως διῃδὼν κατὰ ταυτὰ τὸ προσαρμόττον ἑκάστῃ
c. φύσει εἶδος ἀνευρίσκων, οὕτω τιθῇ καὶ διακοσμῇ τὸν λόγον,
ποικίλῃ μὲν ποικίλους ψυχῇ καὶ παναρμονίους διδοὺς λό-
γους, ἁπλοῦς δὲ ἁπλῇ· οὐ πρότερον δυνατὸν τέχνῃ ἔσεσθαι
καθ' ὅσον πέφυκε μεταχειρισθῆναι τὸ λόγων γένος, οὔτε τι
πρὸς τὸ διδάξαι, οὔτε τι πρὸς τὸ πεῖσαι, ὡς ὁ ἔμπροσθεν πᾶς
μεμήνυκεν ἡμῖν λόγος. ΦΑΙ. Παντάπασι μὲν οὖν τοῦτό γε
οὕτω πως ἐφάνη. ΣΩ. Τι δ' αὖ περὶ τοῦ καλὸν ἢ αἰσχρὸν εἶναι
d. τὸ λόγους λέγειν τε καὶ γράφειν, καὶ ὅπῃ γιγνόμενον ἐν δίκῃ
λέγοιτ' ἂν ὄνειδος; εἰ μὴ ἄρα οὐ δεδήλωκε τὰ λεχθέντα
ὀλίγον ἔμπροσθεν. ΦΑΙ. Τὰ ποῖα; ΣΩ. Ὡς εἴτε Λυσίας ἤ
τις ἄλλος πώποτε ἔγραψεν ἢ γράφει, ἰδίᾳ ἢ δημοσίᾳ νόμους
τιθεὶς, σύγγραμμα πολιτικὸν γράφων, καὶ μεγάλην τινὰ ἐν
αὐτῷ βεβαιότητα ἡγούμενος καὶ σαφήνειαν, οὕτω μὲν ὀνει-
δος τῷ γράφοντι, εἴτέ τις φησὶν, εἴτε μή. τὸ γὰρ ἀγνοεῖν
e. ὕπαρ τε καὶ ὄναρ δικαίων τε καὶ ἀδίκων πέρι, καὶ κακῶν
καὶ ἀγαθῶν, οὐκ ἐκφεύγει τῇ ἀληθείᾳ μὴ οὐκ ἐπονειδιστον

templatus, & quid cuique ingenio congruum eſt aucupatus, ita maxime diſponat exornetque ſermonem, variae quidem animae varios, & harmonia multiplices, ſimplici vero ſimplices ſermones accommodans. *Phae.* Sic prorſus apparuit. *So.* Quid autem de illa quaeſtione dicemus, quam ſupra tetigimus? honeſtumne an turpe ſit orationes pronuntiare, & ſcribere, & quomodo ſtudium hoc iure vituperari queat, quomodo nequeat? Num ſuperiora nobis hoc ſatis declaraverunt? *Phae.* Quaenam illa? *So.* Quippe, ſive Lyſias, ſive alius quiſpiam ſcripſit quandoque, aut ſcribit, ſcribetque privatim quidquam, vel publice civiles quaſdam conſtitutiones, ita ut ſuis in ſcriptis magnam quandam ſtabilitatem & certitudinem putet ineſſe, turpe id eſſe ſcriptori, ſive dicatur a quoquam, ſive non dicatur, putandum eſt. ſiquidem ignorare quid verum ſit, quid falſum, de iuſtis & iniuſtis, de bonis & malis, etiamſi vulgus univerſum laudaverit, fieri nunquam poteſt quin ſit revera turpiſſimum. *Phae.* Turpiſ-

εἶναι, οὐδὲ ἂν ὁ πᾶς ὄχλος αὐτὸ ἐπαινέσῃ. ΦΑΙ. Οὐ γὰρ οὖν. ΣΩ. Ὁ δέ γε ἐν μὲν τῷ γεγραμμένῳ λόγῳ περὶ ἑκάστου παιδιάν τε ἡγούμενος πολλὴν ἀναγκαῖον εἶναι, καὶ οὐδένα πώποτε λόγον ἐν μέτρῳ οὐδ' ἄνευ μέτρου μεγάλης ἀξίου σπουδῆς γραφῆναι, οὐδὲ λεχθῆναι, ὡς οἱ ῥαψῳδούμενοι ἄνευ ἀνακρίσεως καὶ διδαχῆς πειθοῦς ἕνεκα ἐλέχθησαν, ἀλλὰ τῷ ὄντι αὐτῶν τοὺς βελτίστους εἰδότων ὑπόμνησιν γεγονέναι· ἐν δὲ τοῖς διδασκομένοις καὶ μαθήσεως χάριν λεγομένοις, καὶ τῷ ὄντι γραφομένοις ἐν ψυχῇ περὶ δικαίων τε καὶ καλῶν καὶ ἀγαθῶν, ἐν μόνοις ἡγούμενος τό, τε ἐναργὲς εἶναι καὶ τέλεον καὶ ἄξιον σπουδῆς· δεῖν δὲ τοὺς τοιούτους λόγους αὐτοῦ λέγεσθαι οἷον υἱεῖς γνησίους εἶναι· πρῶτον μὲν τὸν ἐν ἑαυτῷ, ἐὰν εὑρεθεὶς ἐνῇ· ἔπειτα εἴτινες τούτου ἔκγονοί τε καὶ ἀδελφοὶ ἅμα ἐν ἄλλαισιν ἄλλων ψυχαῖς κατ' ἀξίαν ἐνέφυσαν· τοὺς δὲ ἄλλους χαίρειν ἐῶν. οὗτος δὲ ὁ τοιοῦτος ἀνὴρ κινδυνεύει, ὦ Φαῖδρε, εἶναι οἷον ἐγώ τε καὶ σὺ εὐξαίμεθ' ἂν σέ τε καὶ ἐμὲ γενέσθαι. ΦΑΙ. Παντάπασι μὲν οὖν ἔγωγε p. 278 a. b.

simum. *So.* Contra, qui in oratione quacunque de re scripta ludum iocumque necessarium putat, orationemque nullam aut solutam, aut adstrictam numeris, magno componendi studio dignam esse ducit, instar eorum, qui sine diiudicatione & doctrina persuadendi tantum gratia carmina recitare consueverunt: sed revera sermonum illorum optimos commonendi peritos causa compositos fuisse: in sermonibus autem his, qui docendi discendique causa dicuntur, ac vere in animo de iustis, honestis, & bonis scribuntur, dumtaxat perspicuitatem perfectionemque inesse, eosque solos studio dignos existimat: iudicatque sermones huiusmodi filios suos legitimos esse vocandos, eum ante omnia, qui ipsi inest, si modo sit inventus, deinde quicunque ex hoc foetu filii fratresque, vel in ipsius, vel in aliis aliorum mentibus, sic ut decet, nati sunt, reliquos autem omnes postponit: hic vir, inquam, talis, o Phaedre, videtur esse, quales esse nos exoptaremus. *Phae.* Equidem, ut dicis, cupio prorsus, & voto precor.

βούλομαί τε καὶ εὔχομαι ἃ λέγεις. ΣΩ. Οὐκοῦν ἡδὴ πεπαίσθω μετρίως ἡμῖν τὰ περὶ λόγων· καὶ σύ τε ἐλθὼν φράζε Λυσίᾳ, ὅτι νῷ καταβάντες εἰς τὸ Νυμφῶν νᾶμά τε καὶ Μουσῶν, ἠκούσαμεν λόγων οἳ ἐπέσελλον λέγειν Λυσίᾳ τε,
c. καὶ εἴτις ἄλλος συντίθησι λόγους, καὶ Ὁμήρῳ, καὶ εἴτις ἄλλος αὖ ποίησιν ψιλὴν ἢ ἐν ᾠδῇ συντέθεικε· τρίτον δὲ, Σόλωνι, καὶ ὅστις ἐν πολιτικοῖς λόγοις νόμους ὀνομάζων συγγράμματα ἔγραψεν· εἰ μὲν εἰδὼς ἧ τἀληθὲς ἔχει συντέθεικε ταῦτα, καὶ ἔχων βοηθεῖν, εἰς ἔλεγχον ἰὼν περὶ ὧν ἔγραψε, καὶ λέγων αὐτὸς δυνατὸς τὰ γεγραμμένα φαῦλα ἀποδεῖξαι, οὔτι τῶνδε ἐπωνυμίαν ἔχοντα δεῖ λέγεσθαι τὸν τοιοῦ-
d. τον, ἀλλ' ἐφ' οἷς ἐσπούδακεν ἐκείνων. ΦΑΙ. Τίνας οὖν τὰς ἐπωνυμίας αὐτῷ νέμεις; ΣΩ. Τὸ μὲν σοφὸν, ὦ Φαῖδρε, καλεῖν ἔμοιγε μέγα εἶναι δοκεῖ, καὶ θεῷ μόνῳ πρέπειν· τὸ δὲ ἢ φιλόσοφον, ἤ τι τοιοῦτον, μᾶλλόν γε ἂν αὐτῷ καὶ ἁρμόττοι καὶ ἐμμελεςέρως ἔχοι. ΦΑΙ. Καὶ οὐδέν γε ἄπο τρόπου. ΣΩ. Οὐκοῦν αὖ τὸν μὴ ἔχοντα τιμιώτερα ὧν συνέθη-

So. Satis haec iam a nobis de arte dicendi, quaſi ludentibus dicta ſint. Quare Lyſiae dicas, nos ad Nymphae Muſarumque profluentem profectos, ſermones quoſdam audiſſe, qui dicere iuſſerunt Lyſiae, ceteriſque orationum ſcriptoribus, Homero praeterea, & ſi quis alius nudam poëſim, vel cantu exornatam compoſuit, Soloni poſtremo, & omnibus, qui civiles inſtitutiones literis mandaverunt: quod ſi veritatis conſcii talia compoſuerunt, poſſuntque ſua in diſcuſſionem tracta defendere, ac dicendo efficere, ut prae verbis ſcripta vileſcant, non utique ab his, quae calamo luſerunt, ſed ab illis potius, quae ſerio excogitarunt, cognominandi videntur. *Phae.* Quaenam cognomina, & quo pacto accommodas? *So.* Sapientis cognomen, o Phaedre, magnum, ſolique Deo convenire videtur. Philoſophi vero, aut ſimilis alicuius cognomine, eiuſmodi viros, quales modo deſcripſimus, convenientius modeſtiuſque nuncuparemus. *Phae.* Certe non dedecet. *So.* Eum igitur, qui nulla habet in ſe praeſtantiora iis, quae conſcripſit,

κεν, ἢ ἔγραψεν, ἄνω καὶ κάτω στρέφων ἐν χρόνῳ, πρὸς ἄλ-
ληλα κολλῶν τε καὶ ἀφαιρῶν, ἐν δικῃ ποιητὴν, ἢ λόγων c.
συγγραφέα, ἢ νομογράφον προσερεῖς; ΦΑΙ. Τί μήν; ΣΩ.
Ταῦτα τοίνυν τῷ ἑταίρῳ φράζε. ΦΑΙ. Τί δὲ σύ; πῶς ποιή-
σεις; οὐδὲ γὰρ οὐδὲ τὸν σὸν ἑταῖρον δεῖ παρελθεῖν. ΣΩ. Τίνα
τοῦτον; ΦΑΙ. Ἰσοκράτην, τὸν καλόν. ὦ τί ἀπαγγελεῖς, ὦ
Σώκρατες; τίνα αὐτὸν φήσομεν εἶναι; ΣΩ. Νέος ἔτι, ὦ
Φαῖδρε, Ἰσοκράτης. ὁ μέντοι μαντεύομαι κατ' αὐτοῦ, λέ- p.
γειν ἐθέλω. ΦΑΙ. Τὸ ποῖον δή; ΣΩ. Δοκεῖ μοι ἀμείνων ἢ 279
κατὰ τοὺς περὶ Λυσίαν εἶναι λόγους, τὰ τῆς φύσεως· ἔτι a.
δὲ ἥθει γεννικωτέρῳ κεκράσθαι· ὥστε οὐδὲν ἂν γένοιτο θαυ-
μαστὸν προϊούσης τῆς ἡλικίας εἰ περὶ αὐτούς τε τοὺς λόγους
οἷς νῦν ἐπιχειρεῖ, πλέον ἢ παίδων διενέγκοι τῶν πώποτε ἁψα-
μένων λόγων· ἔτι τε εἰ αὐτῷ μὴ ἀποχρήσαι ταῦτα, ἐπὶ
μειζω δέ τις αὐτὸν ἄγοι ὁρμὴ θειοτέρα. φύσει γὰρ, ὦ φίλε,
ἔνεστι τις φιλοσοφία τῇ τοῦ ἀνδρὸς διανοίᾳ. ταῦτα δὴ οὖν b.
ἐγὼ μὲν παρὰ τῶνδε τῶν θεῶν, ὡς ἐμοῖς παιδικοῖς, Ἰσοκρά-

& ſurſum deorſumque retorquens, diuturna emendatione addendo, vel ſubtrahendo compoſuit, iure poëtam vel orationum legumve ſcriptorem cognominabis? *Phae.* Quidni? *So.* Haec itaque amico referas tuo. *Phae.* Tu vero quid facies? neque enim amicus tuus praetermittendus. *So.* Quis iſte? *Phae.* Iſocratem probum, inquam. quid illi nuntiabis? o Socrates. quem eſſe dicemus? *So.* Adoleſcens etiam nunc, o Phaedre, Iſocrates eſt. ſed quid de illo augurer, lubet dicere. *Phae.* Quid tandem? *So.* Maiore ingenio mihi videtur eſſe, quam ut cum orationibus Lyſiae comparetur. praeterea ac virtutem maiore indole, ut minime mirum futurum ſit, ſi cum aetate proceſſerit, aut in hoc orationum genere, cui nunc ſtudet, tantum, quantum pueris reliquis, praeſtet omnibus, qu unquam orationes attigerunt: aut ſi non contentus his fuerit, divino aliquo animi motu maiora concupiſcat. ineſt enim natura philoſophia in huius viri mente quaedam. Haec ego, ab iis Diis accepta, Iſocrati mihi dilectiſſimo nuntio:

τει ἐξαγγελῶ· σὺ δ' ἐκεῖνα, ὡς σοῖς, Λυσίᾳ. ΦΑΙ. Ταῦτα ἔσται. ἀλλὰ ἴωμεν· ἐπειδὴ καὶ τὸ πνῖγος ἠπιώτερον γέγονεν. ΣΩ. Οὐκοῦν εὐξαμένῳ πρέπει τοῖσδε πορεύεσθαι; ΦΑΙ. Τί μήν; ΣΩ. Ὦ φίλε Πάν τε καὶ ἄλλοι ὅσοι τῇδε θεοί, δοίητέ μοι καλῷ γενέσθαι τἄνδοθεν· τὰ ἔξωθεν δὲ ὅσα ἔχω, τοῖς ἐν-
c. τὸς εἶναί μοι φίλια. πλούσιον δὲ νομίζοιμι τὸν σοφόν. τὸ δὲ χρυσοῦ πλῆθος εἴη μοι ὅσον μήτε φέρειν μήτε ἄγειν δύναιτο ἄλλος ἢ ὁ σώφρων. ἔτι ἄλλου του δεόμεθα, ὦ Φαῖδρε; ἐμοὶ μὲν γὰρ μετρίως ηὖκται. ΦΑΙ. Καὶ ἐμοὶ ταῦτα συνεύχου. κοινὰ γὰρ τὰ τῶν φίλων. ΣΩ. Ἴωμεν.

tu illa, Lyſiae tibi cariſſimo. *Phae.* Ita fiet. ſed abeamus hinc, cum aeſtus nonnihil iam deferbuerit. *So.* Vota prius his facienda ſunt, quam abeamus. *Phae.* Quidni? *So.* O amice Pan, & alii omnes, qui locum hunc colitis, Dii, date mihi, ut pulcher intus efficiar: & quaecunque extrinſecus habeo, intrinſecus ſint amica. divitem autem ſapientem ſolum exiſtimem. tantum vero mihi ſit auri, quantum nec ferre nec ducere queat alius, niſi vir temperans. Numquid aliud crandum cenſes, o Phaedre? mihi enim ſatis eſt precatum. *Phae.* Mihi quoque eadem opta. amicorum enim communia omnia. *So.* Abeamus.

125030

B
353
1781
Pla

Plato - Opera Omnia
(ed.Stephani) Vol. 10

PONTIFICAL INSTITUTE
OF MEDIAEVAL STUDIES
59 QUEEN'S PARK
TORONTO 5, CANADA

4961 •